R. BIBLIOTECA NAZIONALE CENTRALE V. E. II
1
33 H
19
ROMA

Digitized by Google

1.33.H.19

1.33.H.19

ΙΩΑΝΝΟΥ ΣΤΟΒΑΙΟΥ

ΕΚΛΟΓΩΝ ΒΙΒΛΙΑ Β.

IOANNIS STOBÆI

ECLOGARUM PHYSICARUM ET ETHICARUM LIBRI DUO.

ACCEDIT

HIEROCLIS COMMENTARIUS

IN

AUREA CARMINA PYTHAGOREORUM.

AD MSS. CODD.

RECENSUIT

THOMAS GAISFORD, S. T. P.

ÆDIS CHRISTI DECANUS

NECNON

LINGUÆ GRÆCÆ PROF. REG.

TOM. II.

OXONII:

E TYPOGRAPHEO ACADEMICO.

MDCCCL.

Digitized by Google

[II. 2]

ΙΩΑΝΝΟΥ ΣΤΩΒΑΙΟΥ

ΕΚΛΟΓΩΝ ΑΠΟΦΘΕΓΜΑΤΩΝ ΥΠΟΘΗΚΩΝ

ΒΙΒΛΙΟΝ ΔΕΥΤΕΡΟΝ.

Κεφ. α΄. p. 156.

ΠΕΡΙ ΤΩΝ ΤΑ ΘΕΙΑ ΕΡΜΗΝΕΥΟΝΤΩΝ, ΚΑΙ ΩΣ ΕΙΗ ΑΝΘΡΩΠΟΙΣ [a]ΑΚΑΤΑΛΗΠΤΟΣ Η ΤΩΝ ΝΟΗΤΩΝ ΚΑΤΑ ΤΗΝ ΟΥΣΙΑΝ ΑΛΗΘΕΙΑ.

1 Ἀριστάρχου ἐκ Ταντάλου.

Καὶ [b]ταῦτ' ἴσον μὲν εὖ λέγειν, ἴσον δε μή·
ἶσον δ' ἐρευνᾶν, ἐξ ἴσου δὲ μὴ εἰδέναι.
[II. 4] πλεῖον γὰρ οὐδὲν οἱ σοφοὶ τῶν μὴ σοφῶν
εἰς ταῦτα [c]γιγνώσκουσιν. Εἰ δ' ἄλλου λέγει
ἄμεινον [d]ἄλλος, [e]τῷ λέγειν [f]ὑπερφέρει.

2 [a]Εὐριπίδου Φιλοκτήτῃ [Fr. 6.]

Τί δῆτα θώκοις [b]ἀρχικοῖς ἐνημένοι
σαφῶς διόμνυσθ' εἰδέναι τὰ δαιμόνων

1.
[a] ΑΚΑΤΑΛΗΠΤΟΣ om. A. Cant. sed agnoscit Photius.
[b] τ' αὖ] ταῦτ' V. E. ταυτ' A.
[c] γιγνώσκουσιν] γινώσκ. A. E.
[d] ἄλλος] ἄλλως A. V. E. Mox λέγει A.
[e] τῷ] τὸ V.
[f] ὑπερφέρει] ὑποφέρει A.

2.
[a] Deest lemma in marg. A.
[b] ἀρχικοῖς] Sic Valckenær. Diatr. p. 116. ἀργικοῖς vulgo.

Digitized by Google

[II. 6] οἱ τῶνδε χειρώνακτες ἄνθρωποι λόγων;
Ὅστις γὰρ αὐχεῖ θεῶν ἐπίστασθαι πέρι,
οὐδέν τι μᾶλλον οἶδεν, ἢ πείθει λέγων.

3 [a] Ἀναξανδρίδης Καυηφόρῳ.

Ἅπαντες ἐσμὲν πρὸς τὰ θεῖ' ἀβέλτεροι,
κοὐκ ἴσμεν οὐδέν.

4 Σοφοκλέους [fr. 659.]

Ἀλλ' οὐ γὰρ ἂν τὰ θεῖα κρυπτόντων [a] θεῶν
[b] μάθοις ἄν, οὐδ' εἰ πάντ' ἐπεξέλθοις σκοπῶν.

5 [a] Φιλήτου [Φιλήμονος fr. 112.]

Θεὸν νόμιζε, καὶ σέβου, ζήτει δὲ μή,
πλεῖον γὰρ [b] οὐδὲν ἄλλο τοῦ ζητεῖν ἔχεις.

[II. 8] εἴτ' ἐστιν εἴτ' οὐκ ἔστι [c] μὴ βούλου μαθεῖν·
ὡς ὄντα τοῦτον καὶ παρόντ' ἀεὶ σέβου.
[d] τί ἐστὶν ὁ θεὸς οὐ θέλει σε μανθάνειν.

6 Μενάνδρου Ὑποβολιμαίου [fr. 479.]

Δυσπαρακολούθητόν τι πρᾶγμ' ἐστιν τύχη.

7 Ἡσιόδου [Ἔργ. 42.]

Κρύψαντες γὰρ ἔχουσι [a] θεοὶ βίον ἀνθρώποισι.

8 [a] Πινδάρου Παιάνων.

[b] Τί ἔλπεαι σοφίαν εἶναι

3.

[a] Ἀναξανδρίδης] Sic Cant. in vers. Ἀλεξανδρίδης A. Ἀλεξανδρίδου ἀνηφόρῳ Cant. ad latus contextus Græci.

4.

[a] θεῶν om. A.
[b] μάθοις] μαθῇς V. A. E.

5.

[a] Φιλήτου] Sic A. φιλήτα Cant. Philemoni tribuit Heeren. post Grotium.
[b] οὐδὲν om. V. A.
[c] μὴ om. V. A. E.
[d] τί ἐστὶν] Hunc v. a præcedentibus separat Grotius. Post τι Heeren. inseruit δ'.

7.

[a] Post θεοὶ add. βίον V. A.

8.

[a] Πινδάρου non agnoscit A. marg. qui tantum exadversum v. Ἐπίσταμαι v. 32. habet παιάνω, (sic) ἰοφῶντος βαχῶν. In Cant. deest Παιάνων, sed in vers. Lat. *Pindari Pæanib.*
[b] Τί] Ἔτι V.

ἆ [c]ὀλίγον ἀνὴρ
ὑπὲρ ἀνδρὸς ἰσχύει;
οὐ γάρ ἐσθ' ὅπως
τὰ θεῶν βουλεύματ' ἐρευνῆσαι
βροτέᾳ [d]φρενί.

9 Ἰοφῶντος Βακχῶν.

[II. 10] Ἐπίσταμαι δὲ καὶ τάδ', οὖσά περ γυνὴ,
ὡς μᾶλλον ὅστις εἰδέναι τὰ τῶν θεῶν
ζητεῖ, [a]τοσούτῳ μᾶλλον ἥσσον εἴσεται.

10 [a]Σιμωνίδου.

Ῥεῖα θεοὶ κλέπτουσιν ἀνθρώπων νόον.

11

[a]Δημώναξ] ἐξεταζόντων τινῶν, εἰ ὁ κόσμος ἔμψυχος, καὶ αὖθις εἰ σφαιροειδής; [b]Ὑμεῖς, ἔφη, περὶ μὲν τοῦ κόσμου πολυπραγμονεῖτε, περὶ δὲ τῆς [c]ἑαυτῶν ἀκοσμίας οὐ φροντίζετε;

12 [a]Δημοκρίτου.

[II. 12] Μὴ πάντα ἐπίστασθαι προθύμεο, μὴ πάντων ἀμαθὴς γένῃ.

13 Πλουτάρχου περὶ Ἴσιδος [p. 382 F.]

[a]Ἀνθρώπων δὲ ψυχαῖς ἐνταυθοῖ μὲν ὑπὸ σωμάτων καὶ παθῶν περιεχομέναις οὐκ ἔστι μετουσία θεοῦ, πλὴν ὅσον ὀνείρατος ἀμαυροῦ θιγεῖν νοήσει διὰ φιλοσοφίας.

[c] ὀλίγον] ὀλίγοι V. A.
[d] φρονεῖ] φρενὶ V. A. E.

9.

[a] τοσουτῷ] τοσοῦτο V. A.

10.

[a] Σιμωνίδου] Sic Cant. et V. A. E. teste Heerenio. Atqui nil habet in marg. h. l. A.

11.

[a] Δημώναξ] Deest h. v. A. Cant. Inseruit Heerenius fidem cod. E. secutus, ubi in marg. legitur Δημώνακτος.
[b] ἡμεῖς] ὑμεῖς V. A. Mox πολυπραγμονεῖται A.
[c] αὐτῶν] σαυτῶν V. αὐτῶν ἀκοσμησίας A. ἑαυτῶν Heeren.

12.

[a] Δημοκρίτου] Sic A. Deest lemma Cant.

13.

[a] Ἀνθρώπω] Ἀνθρώπων A. V.

14 Πλάτωνος ἐκ τῶν Πολιτικῶν [p. 277.] p. 157.

Χαλεπὸν, ὦ δαιμόνιε, μὴ παραδείγμασι χρώμενον ἱκανῶς ἐνδείξασθαί τι τῶν μειζόνων. Κινδυνεύει γὰρ ἡμῶν ἕκαστος, οἷον ὄναρ, εἰδὼς ἕκαστα, πάντ' αὖ πάλιν ὥσπερ ὕπαρ ἀγνοεῖν.

15 Πλάτωνος ἐκ τοῦ Τιμαίου [p. 28.]

Τὸν μὲν [a]οὖν ποιητὴν καὶ πατέρα τοῦδε τοῦ παντὸς εὑρεῖν τε ἔργον, καὶ εὑρόντα εἰς [b]πάντας ἀδύνατον λέγειν.

16 Ἰαμβλίχου ἐκ τῶν περὶ Ψυχῆς.

Πόσῳ δὴ οὖν βέλτιον Ἡράκλειτος παίδων ἀθύρματα [a]ἐνόμισεν εἶναι τὰ ἀνθρώπινα δοξάσματα.

17 [a]Ξενοφάνους.

[II. 14] Ξενοφάνους [b]πρώτου λόγος ἦλθεν εἰς τοὺς Ἕλληνας ἄξιος γραφῆς, ἅμα παιδιᾷ τάς γε τῶν ἄλλων τόλμας ἐπιπλήττοντος καὶ τὴν αὐτοῦ παριστάντος εὐλάβειαν, ὡς ἄρα θεὸς μὲν οἶδε τὴν ἀλήθειαν,

[c]δοκὸς δ' ἐπὶ πᾶσι τέτυκται.

18 Διδύμου ἐκ τοῦ περὶ [a]αἱρέσεως.

[II. 16] Ἡ μὲν γὰρ φιλοσοφία [b]θήρα τῆς ἀληθείας ἐστὶ καὶ

15.

a οὖρανον] οὖν V. A. E.

b πάντα] πάντας V. A.

16.

a ἐνόμισεν] νενίμηκεν A.

17.

a Ξενοφάνους] Sic A. deest lemma Cant. Ceterum hunc articulum cum sequente jungendum esse et Didymo tribuendum censuit Heerenius.

b πρῶτος] πρώτου V. A.

c Alludit ad versus Xenophanis, quos integros servavit Sextus VII. 48. Καὶ τὸ μὲν οὖν σαφὲς οὔτις ἀνὴρ ἴδεν, οὐδέ τις ἔσται Εἰδὼς ἀμφὶ θεῶν τε, καὶ ἄσσα λέγω περὶ πάντων. Εἰ γὰρ καὶ τὰ μάλιστα τύχοι τετελεσμένα εἰπών, Αὐτὸς ὅμως οὐκ οἶδε, δοκὸς δ' ἐπὶ πᾶσι τέτυκται, quæ ultima tantum verba affert Didymus. HEEREN.

18.

a αἱρέσεως] αἱρέσεων malit Heeren.

b θήρα] θύρα A.

ὄρεξις [c] καὶ τῶν συγχορευτῶν καὶ τῆς πρὸς αὐτοὺς συμφωνίας φησίν. [d] Εἰ δὲ ναύτην εἰ δὲ [e] στρατιώτην.

Πότερον οὖν ὁ ἄνθρωπος αὐτὸς ὑφ' αὐτοῦ πεποιῆσθαί σοι δοκεῖ [f] ζῶον, ἢ πρὸς κοινωνίαν; [[g] Πρὸς κοινωνίαν.]

Ὑπὸ τίνος;

Ὑπὸ τῆς φύσεως.

Τίνος οὔσης καὶ πῶς;

[h] Διοικούσης τὰ ὅλα.

[i] Καὶ πότερον οὔσης ἢ μή;

Ταῦτα οὐκ [k] ἔτι ἀναγκαῖον πολυπραγμονεῖν.

19 Πορφυρίου ἐκ τῶν περὶ Στυγός.

Ἔστι δὲ ἡ τοῦ ποιητοῦ δόξα οὐχ ὡς ἄν τις νομίσειεν
[II. 18] εὔληπτος. Πάντες μὲν γὰρ οἱ παλαιοὶ τὰ περὶ τῶν θεῶν καὶ [a] δαιμόνων δι' αἰνιγμάτων [b] ἐσήμηναν, Ὅμηρος δὲ καὶ μᾶλλον τὰ περὶ τούτων ἀπέκρυψε, [c] τῷ μὴ προηγουμένως περὶ αὐτῶν διαλέγεσθαι, [d] καταχρῆσθαι δὲ τοῖς λεγομένοις εἰς παράστασιν ἄλλων. Τῶν [e] οὖν ἀναπτύσσειν ἐπιχειρησάντων [f] τὰ δι' ὑπονοίας παρ' αὐτῷ λεγόμενα, ἱκανώτατα

[c] καὶ τῶν συγχ.] καλῶν συγχ. Karsten. Xenoph. p. 189.

[d] Εἶδεν αὐτὴν] εἰδ. αὐτῇ V. εἶδεν αὐτὴ A. εἰ δὲ ναύτην Canter. in marg. qui lacunæ signum post στρατιώτην posuit.

[e] στρατιώτην] –της V. –τη A. E.

[f] ζῶον om. Heeren.

[g] [Πρὸς κοινωνίαν] supplevit Heeren.

[h] Pro διοικούσης, *administrantis*, codd. V. E. διηκούσης, *permeantis*, i. e. *penetrantis; natura nempe omnibus inditum esse, ut societatem cum aliis contrahant.* Utrumque commodum sensum præbet, nec quid præferendum sit, definire audeo. HEEREN. διοικούσης clare A.

[i] Si lectio sana est, quæstio foret, *Hæc vero natura, num omnino exsistit, necne?* quod quomodo quæri adhuc potuerit, non satis intelligo, nec ipso responso, *hoc abunde jam ostensum esse*, excusatur. Suspicor ante οὔσης vocem excidisse; v. c. καὶ ταύτης ἀκαταλήπτου οὔσης, ἢ μὴ, vel simile quid. HEEREN.

[k] ἐστὶν] ἔτι V. A. E.

19.

[a] Post δαιμόνων add. δι' αἰνιγμάτων V. A. E.

[b] ἐσήμηναν rescripsi pro ἐσήμαναν. HEEREN.

[c] τὸ] τῷ V. A.

[d] Post καταχρ. add. δὲ V. A.

[e] γοῦν] οὖν Heeren.

[f] τὰ δὲ] τὰ δι' A.

δοκῶν ὁ Πυθαγόρειος [g]Κρόνιος τοῦτ' ἀπειργάσασθαι, ὅμως ἐν τοῖς πλείστοις [h]ἄλλά τε ἐφαρμόζει ταῖς τεθείσαις ὑποθέσεσι, τὰ Ὁμήρου μὴ δυνάμενος, [i]οὐ τοῖς παρὰ τοῦ ποιητοῦ τὰς δόξας, ταῖς δὲ παρ' [k]αὐτοῦ προσάγειν τὸν ποιητὴν πεφιλοτίμηται.

20 Ξενοφῶντος.

Δαίμονες οἱ τὰ μέγιστα διαπρασσόμενοι ἥκιστα [a]ἀν-
[II. 20] θρώποισιν ἐπιφαίνονται. Ὁ γοῦν πάντα σείων καὶ ἀτρεμίζων ὡς μὲν μέγας τις καὶ δυνατὸς, [b]φανερός· ὁποῖος [c]δὲ τὴν μορφὴν, ἀφανής. Οὐδὲ μὴν ὁ [d]παμφανὴς δοκῶν εἶναι ἥλιος, οὐδ' οὗτος αὐτὸν ὡς ἔοικεν ὁρᾶν ἐπιτρέπει, [e]ἀλλ' ἄν τις [f]ἀναιδῶς αὐτὸν θεάσηται, τὴν ὄψιν ἀφαιρεῖται.

21 Πλάτωνος [Σοφιστῇ p. 231 A.]

Τὸν δὲ ἀσφαλῆ δεῖ πάντων μάλιστα περὶ τὰς ὁμοιότητας ποιεῖσθαι τὴν φυλακὴν, ὀλισθηρότατον γὰρ τὸ γένος.

g Κρόνειος] Κρόνιος V. A. E.

h ἄλλα σε ἐφαρμόζει] ἄλλα τ' ἐφαρμ. V. A. vertit Canterus *in multis tamen aliena inter se connectit*. An leg. ἄλλ' ἄττα?

i οὐ παρὰ] οὐ τοῖς παρὰ Heeren. qui insuper in præcedentibus malit ἐφαρμόζων, vel retento ἐφαρμόζει postea legerit καὶ οὐ τοῖς vel οὐδὲ τοῖς. Posterius voluisse videtur Canterus, qui vertit, *nec tam se ad Poetæ opiniones*.

k αὐτοῦ] ἑαυτοῦ V. A.

20.

Hæc in Xenophonte frustra quæres, nisi quod quodammodo ad ea accedant quæ Memorab. IV. 3, 14. leguntur: Ἐννόει δὲ, ὅτι ὁ πᾶσι φανερὸς δοκῶν εἶναι ἥλιος οὐκ ἐπιτρέπει τοῖς ἀνθρώποις ἑαυτὸν ἀκριβῶς ὁρᾶν, ἀλλ' ἐάν τις αὐτὸν ἀναιδῶς ἐγχειρῇ θεᾶσθαι, τὴν ὄψιν ἀφαιρεῖται. Olim tamen in Xenophonte ea lecta fuisse, dubitari nequit; bis enim ex eo citata sunt a Clemente Alex. in Protrept. Op. p. 61. et Stromat. V. Op. p. 714. ed. Potteri, ubi in not. ostenditur quoque alios scriptores ita in Xenophonte legisse. Desiderantur tantum ibi primum verba: Δαίμονες—ἀποφαίνονται, quæ Stob. solus sibi vindicat. HEEREN.

a ἀνθρώποισιν] ἄνθρωποί εἰσιν V. Statim ἀποφαίνονται Heeren.

b φανερὸς, ut sequenti ἀφανὴς respondeat, recepi ex Clement. l. c. pro φανερόν. HEEREN.

c Pro δὲ τὴν μορφὴν Clem. in Protrept. δέ τις μορφὴν, in Stromat. vero δ' ἐστὶν μορφήν. HEEREN.

d Pro παμφανὴς Clem. utroque loco παμφαής. HEEREN.

e ἀλλ' ἄν] ἀλλ' εἰ A.

f ἀνειδῶς] ἀναιδῶς V. A.

22 Τοῦ αὐτοῦ [Φαίδωνι p. 92.]

Ἐγὼ δὲ τοῖς διὰ τῶν εἰκότων τὰς ἀποδείξεις [a]ποιουμένοις λόγοις ξύνοιδα οὖσιν ἀλαζόσι, καὶ ἄν τις αὐτοὺς μὴ φυλάττηται εὖ μάλα ἐξαπατῶσι καὶ ἐν γεωμετρίᾳ καὶ ἐν ἄλλοις ἅπασιν.

Κεφ. β'.

[a]ΠΕΡΙ ΔΙΑΛΕΚΤΙΚΗΣ.

1 Πλάτωνος περὶ Πολιτείας [p. 533.]

[II. 22] [aa]Οὐκοῦν ἡ διαλεκτικὴ μέθοδος μόνη ταύτῃ πορεύεται, τὰς ὑποθέσεις ἀναιροῦσα ἐπ' αὐτὴν τὴν ἀρχήν, ἵνα βεβαιώσηται, [b]τῷ ὄντι ἐν βορβόρῳ βαρβαρικῷ τινὶ τὸ τῆς ψυχῆς ὄμμα κατορωρυγμένον ἠρέμα ἕλκει καὶ ἀνάγει ἄνω, συνερίθοις καὶ συμπεριαγωγοῖς χρωμένη αἷς διήλθομεν τέχναις· ἃς ἐπιστήμας μὲν πολλάκις προσείπομεν διὰ τὸ ἔθος, δέονται δὲ ὀνόματος ἄλλου, [c]ἐνεργεστέρου μὲν ἢ δόξης, ἀμυδροτέρου δὲ ἢ ἐπιστήμης. Διάνοιαν [d]δὲ αὐτὴν ἔν γε τῷ πρόσθέν που ὡρισάμεθα.

2 Ἐν ταυτῷ [p. 534.]

Ἆρ' οὖν δοκεῖ σοι, ἔφην ἐγὼ, ὥσπερ [a]θριγγὸς τοῖς μαθήμασιν ἡ διαλεκτικὴ ἡμῖν ἐπάνω κεῖσθαι, καὶ οὐκέτ' ἄλλο p. 158. τούτου ἀνωτέρω [b]μάθημα ὀρθῶς ἂν ἐπιτίθεσθαι, ἀλλ' ἔχειν ἤδη τέλος τὰ τῶν μαθημάτων;

3 Πλάτωνος ἐκ τοῦ Φαίδρου [p. 265.]

Τούτων δὲ τινῶν ἐκ τύχης ῥηθέντων δυοῖν εἰδοῖν, εἰ αὐτὴν τὴν δύναμιν [a]τέχνην λαβεῖν δύναιτό τις, οὐκ ἄχαρι. Τίνων

22.

[a] ποιουμένοις] ποιούμενος A.

1.

[a] Sic Heeren. cum Photio. Deest tit. A. Cant.

[aa] Οὐκοῦν, ἦν δ' ἐγὼ Plat.

[b] καὶ τῷ Plat.

[c] ἐναργεστέρου Plat.

[d] δὴ Plat.

2.

[a] θριγκὸς Plat.

[b] μάθημα ἀνωτέρω Plat.

3.

[a] τέχνη Plat.

δή; Εἰς μίαν τε ἰδέαν συνορῶντα ἄγειν τὰ πολλαχῇ διεσπαρμένα, ἵνα ἕκαστον [b]ὁριζόμενον δῆλον ποιῇ περὶ οὗ ἂν [c]ἀεὶ διδάσκειν ἐθέλῃ. Ὥσπερ τὰ νῦν δὴ περὶ Ἔρωτος, ὅ ἐστιν, ὁρισθὲν, εἴτ' εὖ εἴτε κακῶς [d]ἐλέχθη. Τὸ γοῦν σαφὲς καὶ τὸ αὐτὸ αὑτῷ ὁμολογούμενον, διὰ ταῦτα ἔσχεν εἰπεῖν ὁ λόγος. Τὸ δ' ἕτερον δὴ εἶδος τί λέγεις, ὦ Σώκρατες; Τὸ πάλιν κατ' εἴδη δύνασθαι διατέμνειν, κατ' ἄρθρα, [e]ᾗ πέφυκε, καὶ μὴ ἐπιχειρεῖν καταγνύναι μέρος μηδέν, κακοῦ [f]μαγείρου τρόπῳ χρώμενον· ἀλλὰ ὥσπερ ἄρτι τῷ λόγῳ τὸ [g]μὲν ἄφρον τῆς διανοίας ἕν τι κοινὴ εἶδος ἐλαβέτην, ὥσπερ δὲ [h]σώματι ἐξ ἑνὸς διπλᾶ καὶ ὁμώνυμα πέφυκε, [i]σκιὰ, τάδε [j]δεξιὰ κληθέντα· οὕτω καὶ [k]τὰ τῆς παροινίας ὡς [l]ἡμῖν πεφυκὸς εἶδος ἡγησαμένω τῷ λόγῳ, ὁ μὲν, [m]ἐπ' ἀριστερὰ τεμνόμενος μέρος, πάλιν [n]τούτῳ τέμνων [o]οὐκ ἀνῆκε, [p]πρὶν ἑαυτοῖς ἐφευρὼν [q]ὀνομαζόμενος σκαιόν τινα ἔρωτα ἐλοιδόρησε [r]μάλ' ἐν δίκῃ· ὁ δ' εἰς [s]τὰ ἐν δεξιᾷ τῆς μανίας ἀγαγὼν ἡμᾶς, ὁμώνυμον μὲν ἐκείνῳ, θεῖον δ' αὖ τινα ἔρωτα ἐφευρὼν καὶ [t]προτεινόμενος ἐπήνεσεν, ὡς μεγίστων [u]αἴτιον ἡμῖν ἀγαθῶν. Ἀληθέστατα λέγεις. Τούτων δὴ ἔγωγε αὐτός τε ἐραστὴς, ὦ Φαῖδρε, τῶν διαιρέσεων καὶ συναγωγῶν, ἵν' οἷός τε ὦ λέγειν τε καὶ φρονεῖν· ἐάν τε τινὰ ἄλλον ἡγήσωμαι δυνατὸν εἰς ἓν καὶ ἐπὶ πολλὰ πεφυκὸς ὁρᾶν, τοῦτον διώκω κατόπισθε μετ' [y]ἴχνους ὁμῶς τε θεοῖο. Καὶ

b ὁριζόμενος Plat.
c αἰεὶ Plat.
d ἠλέχθη A.
e ᾗ Plat. ᾖ A.
f μαγήρου A.
g μὲν om. Plat.
h σώματος Plat.
i καὶ ᾗ A.
j ἡ δεξιὰ Plat.
k τὸ τῆς παρανοίας Plat.
l ἐν ἡμῖν Plat.
m τὸ ἐπ' Plat.
n τοῦτο Plat.
o οὐκ ἐπανῆκε Plat.
p πρὶν ἐν αὐτοῖς Plat.
q ὀνομαζόμενον σκαιόν Plat.
r μάλλ' A.
s τὸ ἐνδεξιᾷ A.
t προτεινάμενος Plat.
u ἡμῖν αἴτιον Plat.
y ἴχνιον ὥστε Plat.

μέντοι καὶ τοὺς δυναμένους αὐτὸ δρᾶν, εἰ μὲν ὀρθῶς [z]ἢ μὴ προσαγορεύω, θεὸς οἶδε· καλῶ δὲ οὖν μέχρι τοῦδε διαλεκτικούς.

4 Ἀρχύτου περὶ τοῦ ὄντος.

Πάντα μοι [a]δοκοῦντι ἁμαρτάνειν [b]οἱ λέγοντες δύο λόγους περὶ παντὸς λέγεσθαι ἐναντίως [c]ἀλλάλοις [d]ναμαρτέας [e]ἀμφοτέρως. Ἐγὼ δὲ [f]πρᾶτον τοῦτ' ἀδύνατον νομίζω, ἀμφοτέρων πιστῶν ἐόντων, [g]ἐναντίως εἶμεν ἀλλάλοις τὸ καλὸν τῷ καλῷ, καὶ τὸ λευκὸν τῷ λευκῷ. Ἀλλὰ γὰρ οὐχ οὕτως ἔχει· ἀλλά [h]ἐστι τὸ καλὸν καὶ αἰσχρὸν [i]ἐναντία, καὶ τὸ λευκὸν καὶ τὸ μέλαν. Οὕτω [k]δὲ καὶ τὸ ναμερτὲς τῷ ψεύδει φαμὲν, [l]οὐδὲ ναμαρτέας δύο [m]λόγως [n]λέγεσθαι ἢ δύο ψευδέας, ἀλλὰ [o]τὸν μὲν ἀληθῆ, τὸν δὲ [p]ψεύσταν. [q]Ὁ γὰρ τὰν ψυχὰν ἐπαινῶν τῷ ἀνθρώπῳ καὶ τὸ σῶμα μεμφόμενος, οὐχ [r]ὑπὲρ ταυτῷ λέγοι τι, εἰ μὴ καὶ [s]εἴ τι περὶ τᾶς γᾶς [t]λέγοι καὶ τῷ οὐρανῷ ταυτόν. Ταῦτα γὰρ δύο ἐντὶ, ἀλλ' οὐχ ἓν ὄνομα. [u]Καὶ τί δὲ θέλω

[II. 24]

[z] ἢ A. Cant.

4.

[a] δοκοῦντι] δοκέοντι Heeren.

[b] οἱ] εἰ A.

[c] ἀλλήλοις] ἀλλάλοις V. A. E. ἐναντίως om. A.

ib. ἢ, quod male hic inserit Cant. delent codd. V. A. HEEREN. Habet A. planissime.

[d] ναμερτέας] ναμαρτέας A. V. Vid. Flor. LXV. 17. n. o. Infra v. 16. omnes, ut videtur, ναμερτές.

[e] ἀμφοτέρως] ἀμφοτέρους A.

[f] πρῶτον] πρᾶτον V. A. E.

[g] ἀντίως, ἐν μὲν ἀλλάλοις τὸ καλὸν] Restitui: ἐναντίως εἶμεν ἀλλάλοις, ὡς τὸ καλὸν. HEEREN.

[h] ἐστι] ἐντι Heeren.

[i] ἐναντία] ναντια V. ἀντία A. E.

[k] δὲ ante καὶ deest V.

[l] οὐδὲ ναμερτέας] οὐδέναμαρτέας A. οὐδὲν ἁμαρτέας V.

[m] λόγους] λόγως V. A. E.

[n] Post λέγεσθαι excidisse arbitror περὶ ταυτοῦ, id enim est quod exemplis quæ sequuntur probat, et res ipsa postulat, *non idem de eadem re verum esse posse et falsum.* HEEREN.

[o] τὸν] τὸ A.

[p] ψεύστην] ψεύσταν V. A. ψυσταν E.

[q] Ὁ] Sic Heeren. οὐ A. Cant.

[r] ὑπὲρ τὸ] ὑπὲρ τώτω sic V. A.

ib. οὐχ ὑπὲρ τὸ λέγοντι] οὐχ ὑπὲρ ταυτῶ λέγοι τι Heeren.

[s] ἔτι] εἴ τι A. V.

[t] λέγει] λέγοι V. A.

[u] Male repetitur ap. Cant. καὶ quod delent codd. V. A. E. HEEREN.

καὶ τοῦτο δεῖξαι; Ὁ γὰρ λέγων περὶ Ἀθαναίων, [x]ὡς ἔντι κατὰ λόγον ἀνδρὲς ἀγαθοὶ, καὶ ὁ λέγων ὡς ἔντι περὶ χάριτας φαῦλοι, οὐκ ἐναντία λέγοντι. Τὰ γὰρ ἐναντία περὶ [y]ταυτὸ πρᾶγμα ἀντικέαται ἀλλάλοις, ταῦτα δὲ δύο ἐντὶ πράγματα.

Κεφ. γ'.

[a]ΠΕΡΙ ΡΗΤΟΡΙΚΗΣ.

1 Πλάτωνος ἐκ τοῦ Ἀλκιβιάδου β'. [p. 145.]

[II. 26] Ποίαν οὖν οἴει πολιτείαν εἶναι τοξοτῶν τε ἀγαθῶν καὶ αὐλητῶν, ἔτι δὲ καὶ ἀθλητῶν τε καὶ τῶν ἄλλων τεχνιτῶν, ἀναμεμιγμένων ἐν τούτοις οἷς ἄρτι εἰρήκαμεν, τῶν τό τε αὐτὸ τὸ πολεμεῖν εἰδότων καὶ αὐτὸ τὸ ἀποκτιννύναι, πρὸς δὲ, καὶ ἀνδρῶν ῥητορικῶν, πολιτικὸν φύσημα φυσώντων, ἁπάντων δὲ τούτων ὄντων ἄνευ τῆς τοῦ βελτίστου ἐπιστήμης, καὶ τοῦ εἰδότος ὁπότε βέλτιστον ἑνὶ ἑκάστῳ τούτων χρήσασθαι, καὶ πρὸς τίνα; Φαύλην τινὰ ἔγωγε, ὦ Σώκρατες.

2 Πλάτωνος ἐκ τοῦ Γοργίου. [p. 453.]

Νῦν μοι δοκεῖς δηλῶσαι, ὦ Γοργία, ἐγγύτατα, τὴν ῥητορικὴν ἥντινα τέχνην ἡγῇ εἶναι, καὶ, εἴ τι ἐγὼ συνίημι, λέγεις ὅτι πειθοῦς δημιουργός ἐστιν ἡ ῥητορικὴ, καὶ ἡ πραγματεία αὐτῆς ἅπασα καὶ τὸ κεφάλαιον εἰς τοῦτο τελευτᾷ· ἢ ἔχεις τι λέγειν ἐπὶ πλέον τὴν ῥητορικὴν δύνασθαι, ἢ πειθὼ τοῖς ἀκούουσιν ἐν τῇ ψυχῇ ποιεῖν; Οὐδαμῶς, ὦ Σώκρατες, ἀλλά μοι δοκεῖς ἱκανῶς ὁρίζεσθαι.

3 [a]Πλάτωνος. [Comic. fr. 181.]

ἂν γὰρ ἀποθάνῃ
εἷς τις πονηρὸς, δύ' ἀνέφυσαν ῥήτορες·

[x] ὡς ἔν τι] καὶ ἔντι V. A. E. ἐν τὶ Cant.

[y] ταυτὸ Heeren. τούτω A. τούτου Cant.

1.

[a] Capitis inscriptionem supplevi ex Photio. HEEREN.

3.

[a] Πλάτωνος] Sic A. Vid. Porson. ad Eurip. Med. 139. XII. Mox ἡμῶν ἰόλεος A. et infra κεκολόπευκας cum Cant.

οὐδεὶς γὰρ ἡμῖν Ἰόλεως ἐν τῇ πόλει,
ὅστις ἐπικαύσει τὰς κεφαλὰς τῶν ῥητόρων. 45
Κεκολλόπευκας· τοιγαροῦν ῥήτωρ ἔσῃ.

4 Τοῦ αὐτοῦ.

[II. 28] Ἰδών τινα Πλάτων φαῦλα μὲν πράττοντα, δίκας δὲ 47
ὑπὲρ ἑτέρων [a] λέγοντα, εἶπεν, οὗτος νοῦν ἐπὶ γλώσσῃ φέρει.

Κεφ. δ'.

[a] ΠΕΡΙ ΠΟΙΗΤΙΚΗΣ.

1 Πλάτωνος Νόμων δ'. [p. 719.]

[II. 30] Παλαιὸς μῦθος, ὦ νομοθέτα, ὑπό τε αὐτῶν ἡμῶν ἀεὶ 50
λεγόμενός ἐστι, καὶ τοῖς ἄλλοις πᾶσι ξυνδεδογμένος, ὅτι ποιητὴς, ὁπόταν ἐν τῷ τρίποδι τῆς Μούσης καθίζηται, τότε οὐκ ἔμφρων ἐστὶν, οἷον δὲ κρήνη τις τὸ ἐπιὸν ῥεῖν ἑτοίμως ἐᾷ· καὶ τῆς τέχνης οὔσης μιμήσεως, ἀναγκάζεται, ἐναντίως ἀλλήλοις ἀνθρώπους ποιῶν διατιθεμένους, ἐναντία λέγειν αὐτῷ πολλάκις· οἶδε δὲ [b] οὔτ' εἰ ταῦτα οὔτ' εἰ θάτερα ἀληθῆ τῶν λεγομένων.

2 Τοῦ αὐτοῦ ἐκ τοῦ Φαίδρου [p. 245.]

Ὃς δ' ἂν ἄνευ μανίας Μουσῶν ἐπὶ ποιητικὰς θύρας ἀφίκηται, πεισθεὶς ἄρα ὡς ἐκ τέχνης ἱκανὸς ποιητὴς ἐσό- p. 159.
μενος, ἀτελὴς αὐτός τε καὶ ἡ ποίησις.

Κεφ. ε'.

[a] ΠΕΡΙ ΧΑΡΑΚΤΗΡΟΣ.

1 Τοῦ αὐτοῦ ἐκ τοῦ αὐτοῦ [p. 274.]

Οὐκοῦν τὸ μὲν τέχνης τε καὶ ἀτεχνίας λόγων πέρι, ἱκα-

4.
[a] λέγοντα, εἶπεν] λέγοντος, ἔφη A.

1.
[a] Inscriptionem iterum supplevi ex Photio. HEEREN.
[b] οὔτ' εἰ] οὔτι—οὔτι A. οὔτε—οὔτε Cant.

1.
[a] Hanc quoque inscriptionem ex Photio supplevi. Subintelligendum nempe est τοῦ λόγου, *de sermonis charactere*. HEEREN.

νῶς ἐχέτω. Τί μήν; Τὸ δ' [b]εὐπρεπείας, πῇ γιγνόμενον, καλῶς ἂν [c]ἔχοι, καὶ [d]ὅποι ἀπρεπῶς, λοιπόν. Ἦ γάρ; Ναί. Οἶσθ' οὖν ὅπη μάλιστα θεῷ [e]χαριεῖ λόγων πέρι πράττων ἢ λέγων; Οὐδαμῶς. [f]Σὺ δέ; Ἀκοήν γ' ἔχω λέγειν τῶν προτέρων· τὸ δ' ἀληθὲς αὐτοὶ ἴσασιν. Εἰ δὲ τοῦτο εὕροιμεν αὐτοί, ἆρά γ' ἂν ἔθ' ἡμῖν μέλοι τι τῶν ἀνθρωπίνων δοξασμάτων; Γελοῖον ἦρου· ἀλλ' [g]ἃ φὴς ἀκηκοέναι, λέγε. [v]Ηκουσα τοίνυν περὶ Ναύκρατιν τῆς Αἰγύπτου γενέσθαι τῶν ἐκεῖ παλαιῶν τινα θεῶν, οὗ καὶ τὸ ὄρνεον [h]ἱερὸν ὃ δὴ καλοῦσιν [i]Ἶβιν· αὐτῷ δὲ ὄνομα τῷ δαίμονι εἶναι Θεύθ. Τοῦτον [j]δὴ [k]πρῶτον ἀριθμόν τε καὶ λογισμὸν εὑρεῖν, καὶ γεωμετρίαν καὶ ἀστρονομίαν, ἔτι δὲ [kk]πεττείας τε καὶ κυβείας, καὶ δὴ καὶ γράμματα. Βασιλέως δ' αὖ τότε ὄντος Αἰγύπτου ὅλης Θαμοῦ περὶ τὴν μεγάλην πόλιν τοῦ ἄνω τόπου, ὃν οἱ [l]Ἕλληνες Αἰγυπτίας Θήβας καλοῦσι, καὶ τὸν θεὸν [v]Ἄμμωνα. Παρὰ τοῦτον ἐλθὼν ὁ Θεὺθ τὰς τέχνας ἐπέδειξε, καὶ ἔφη δεῖν [l]διανοηθῆναι τοῖς ἄλλοις Αἰγυπτίοις. Ὃ δὲ ἤρετο [m]ἦν δὴ ἑκάστη ἔχει ὠφέλειαν. Διεξιόντος δὲ, ὅ τι καλῶς [n]ἢ μὴ καλῶς [o]δοκοίη λέγειν, τὸ μὲν [p]ἔψεγε, τὸ δ' ἐπῄνει. Πολλὰ μὲν [q]οὖν περὶ ἑκάστης τῆς τέχνης ἐπ' ἀμφότερα Θαμοῦν τῷ Θεὺθ λέγεται ἀποφήνασθαι, ἃ λόγος πολὺς [r]μὲν ἂν εἴη διελθεῖν· ἐπειδὴ δὲ ἐπὶ τοῖς γράμμασιν ἦν, Τοῦτο δὲ, ὦ βασιλεῦ, τὸ μάθημα, ἔφη ὁ Θεὺθ, σοφωτέρους Αἰγυπτίους καὶ μνημονικωτέρους

b εὐπρεπείας δὴ γραφῆς πέρι καὶ ἀπρεπείας Plat.
c ἔχει A.
d ὅπη Plat.
e χαριῇ Plat.
f σὺ Plat. σοὶ A. Cant.
g ἃ φὴς Plat. ἀφεὶς A.
h τὸ ἱερὸν Plat.
i Ἶβιν Plat. ἴων A.
j δὲ Plat.
k πρῶτον Plat. πρώτων A.
kk πεττείας Plat. πεττείαις A.
l διαδοθῆναι Plat.
m ἥντινα Plat.
n εἰ A.
o δοκοῖ Plat. δοκείη A.
p ἔλεγε A.
q δὴ Plat.
r μὲν om. Plat.

παρέξει, μνήμης τε γὰρ καὶ σοφίας φάρμακον εὑρέθη. Ὁ δ' [s] εἶπεν, Ὦ τεχνικώτατε Θεὺθ, ἄλλος μὲν [t] δυνατὸς τεκεῖν [u] τὰ τέχνης, ἄλλος δὲ [x] κρῖναι τίν' ἔχει μοῖραν βλάβης τε καὶ ὠφελείας τοῖς μέλλουσι χρῆσθαι. Καὶ νῦν σὺ πατὴρ ὢν γραμμάτων, δι' εὔνοιαν τοὐναντίον εἶπες ἢ δύναται. Τοῦτο γὰρ τῶν μαθόντων λήθην μὲν ἐν ψυχαῖς παρέξει, μνήμης ἀμελετησίᾳ, ἅτε διὰ πίστιν γραφῆς ἔξωθεν ὑπ' [y] ἀλλοτρίων τύπων, οὐκ ἔνδοθεν αὐτοὺς ὑφ' αὑτῶν ἀναμιμνησκομένους. Οὐκοῦν [z] οὐ μνήμης ἀλλ' ὑπομνήσεως φάρμακον εὗρες, σοφίας δὲ τοῖς μαθηταῖς δόξαν οὐκ ἀλήθειαν πορίζεις. [a] Πολυήκοοι γάρ σοι γενόμενοι ἄνευ διδαχῆς, πολυγνώμονες εἶναι δόξουσιν· ἀγνώμονες, ὡς ἐπὶ [b] πλῆθος, ὄντες, καὶ χαλεποὶ ξυνεῖναι· [c] δόξουσι σοφοὶ γεγονότες ἀντὶ σοφῶν. Ὦ Σώκρατες, ῥᾳδίως σὺ Αἰγυπτίους [d] καὶ ὁποδαποὺς ἂν ἐθέλῃς λόγους [e] ποιεῖς. Σοὶ δ' ἐγὼ, φίλε, ἐν τῷ τοῦ Διὸς τοῦ Δωδωναίου ἱερῷ δρυὸς λόγους [f] ἔφησα μαντικοὺς πρώτους γενέσθαι. Τοῖς μὲν οὖν τότε, ἅτε οὐκ οὖσι σοφοῖς, ὥσπερ ὑμεῖς οἱ νέοι, [g] ἀπόχρη δρυὸς καὶ πέτρας ἀκούειν ὑπ' [h] εὐηθείας, εἰ μόνον ἀληθῆ λέγοιεν· σοὶ δ' ἴσως διαφέρει τίς ὁ λέγων καὶ ποδαπός. Οὐ γὰρ ἐκεῖνο μόνον σκοπεῖς, εἴτε οὕτως εἴτε ἄλλως ἔχει. Ὀρθῶς ἐπέπληξας. Καί μοι δοκεῖ περὶ [i] πραγμάτων ἔχειν [k] ἥπερ ὁ Θηβαῖος λέγει. Οὐκοῦν ὁ τέχνην οἰόμενος ἐν γράμμασι [l] καταλείπειν, καὶ αὖ ὁ παραδεχόμενος, ὡς [m] τι σαφὲς καὶ βέβαιον ἐκ γραμμάτων ἐσόμενον, πολλῆς ἂν εὐηθείας γέμοι· καὶ τῷ ὄντι

s εἶ A.
t τεκεῖν δυνατὸς Plat.
u τὰ τῆς τέχνης Plat.
x κρινέτην A.
y ἀλλοτρίως A.
z οὐ om. Plat.
a πολύκοι A.
b τὸ πλῆθος Plat.
c δοξόσοφοι Plat.
d τε καὶ ὁποδαποὺς Plat. ὁπαδοὺς A.
e ποιοίης. Οἱ δέ γ', ὦ φίλε Plat.
f ἔφασαν Plat.
g ἀπέχρη Plat.
h εὐθείας A.
i γραμμάτων Plat.
k εἴπερ A.
l καταλιπεῖν Plat.
m τις A.

τὴν Ἀμμωνος μαντείαν [n] ἀγνοοῖ, πλέον τὶ οἰόμενος εἶναι λόγους γεγραμμένους [o] καὶ τοῦ τὸν εἰδότα ὑπομνῆσαι περὶ ὧν ἂν ᾖ τὰ γεγραμμένα. Ὀρθότατα.

2 Πλάτωνος ἐκ τοῦ Φαίδρου. [p. 275.]

Δεινὸν γάρ που, ὦ Φαῖδρε, τοῦτ' ἔχει γραφὴ, καὶ ὡς ἀληθῶς ὅμοιον ζωγραφίᾳ. Καὶ γὰρ ταῦτα ἐκείνης ἔκγονα ἕστηκεν μὲν ὡς ζῶντα· ἐὰν δ' ἔρῃ τὶ, σεμνῶς πάνυ σιγᾷ. Ταὐτὸν δὲ καὶ οἱ λόγοι· δόξαις μὲν ἂν [p] ὥς τι φρονοῦντας αὐτοὺς λέγειν· ἐὰν δέ τι ἔρῃ τῶν λεγομένων, βουλόμενος μαθεῖν, ἕν τι σημαίνει μόνον ταὐτὸν ἀεί. Ὅταν δὲ ἅπαξ γράφῃ, κυλινδεῖται μὲν πανταχοῦ πᾶς λόγος ὁμοίως παρὰ τοῖς ἐπαΐουσιν.

3 Πλάτωνος ἐκ τοῦ Ἱππίου. [Ἴωνος p. 533.]

[II. 32] Ἔστι γὰρ τοῦτο τέχνη μὲν οὐκ [a] ἂν παρὰ σοὶ περὶ Ὁμήρου εὖ λέγειν, ὃ νῦν δὴ ἔλεγον, θεία δὲ δύναμις ἥ σε κινεῖ, ὥσπερ ἐν τῇ λίθῳ, ἣν Εὐριπίδης μὲν Μαγνῆτιν ὠνόμασεν, οἱ δὲ πολλοὶ Ἡρακλείαν· καὶ γὰρ αὕτη ἡ λίθος οὐ μόνον αὐτοὺς τοὺς δακτυλίους ἄγει τοὺς σιδηροῦς, ἀλλὰ καὶ δύναμιν ἐντίθησι τοῖς δακτυλίοις, ὥστε δύνασθαι ταυτὸν τοῦτο ποιεῖν, ὅπερ ἡ λίθος, ἄλλους ἄγειν δακτυλίους· ὥστ' ἐνίοτε ὁρμαθὸς [b] πάνυ μακρὸς σιδηρίων καὶ δακτυλίων ἐξ ἀλλήλων [c] ἤρτηται, πᾶσι δὲ τούτοις ἐξ ἐκείνης τῆς λίθου ἡ δύναμις ἀνήρτηται. Οὕτω δὲ καὶ ἡ Μοῦσα ἐνθέους μὲν ποιεῖ αὐτὴ, διὰ δὲ τῶν ἐνθέων τούτων [d] ἄλλως ἐνθουσιαζόντων ὁρμαθὸς ἐξαρτᾶται. Πάντες [e] γὰρ τῶν ἐπῶν ποιηταὶ οἱ ἀγαθοὶ, οὐκ ἐκ τέχνης, ἀλλ' ἔνθεοι ὄντες καὶ κατεχόμενοι πάντα ταῦτα τὰ καλὰ λέγουσι ποιήματα· καὶ οἱ [f] μὲν

n ἀγνοεῖ Plat.
o καὶ om. Plat.
p ὥς τις A. ὅστις Cant. Infra τοὺς ἐπ. A.

3.

a ἂν Plat.
b μακρὸς πάνυ Plat.
c ἤρτηται Plat. εἴρηται A. vid. inf. p. 546. n. 9.
d ἄλλων Plat.
e γὰρ οἵ τε τῶν Plat.
f μελοποιοὶ Plat.

λοιποὶ οἱ ἀγαθοὶ ὡσαύτως, ὥσπερ οἱ [g]κορυβαντιῶντες οὐκ ἔμφρονες [h]ὄντες τὰ καλὰ μέλη ταῦτα ποιοῦσιν, ἀλλ' ἐπειδὰν ἐμβῶσιν εἰς τὴν ἁρμονίαν καὶ εἰς τὸν ῥυθμὸν, βακχεύουσι καὶ [i]κατεχόμενοι, ἔμφρονες [k]δὲ, οὔ. Καὶ τῶν [l]μελοποιῶν ἡ ψυχὴ τοῦτο ἐργάζεται, ὅπερ αὐτοὶ λέγουσι. Λέγουσι γὰρ δήπουθεν πρὸς ἡμᾶς οἱ ποιηταὶ, ὅτι ἀπὸ κρηνῶν μελιρρύτων [m]ἢ ἐκ Μουσῶν κήπων τινῶν καὶ ναπῶν δρεπόμενοι τὰ μέλη ἡμῖν φέρουσιν, ὥσπερ αἱ μέλιτται, καὶ αὐτοὶ οὕτω [n]πετόμενοι, καὶ ἀληθῆ λέγουσι. Κοῦφον γὰρ χρῆμα ποιητής ἐστι καὶ πτηνὸν καὶ ἱερὸν, καὶ οὐ πρότερον οἷός τε ποιεῖν πρὶν ἂν [o]ἔνθεος γένηται καὶ [p]ἔμφρων, καὶ ὁ νοῦς [q]ἐν αὐτῷ μηκέτι ᾖ. . . . . Ἐπεὶ [r]εἰ περὶ ἑνὸς τέχνῃ καλῶς ἠπίσταντο λέγειν, κἂν περὶ τῶν ἄλλων [s]πάντων. Διὰ ταῦτα δὲ ὁ θεὸς, ἐξαιρούμενος τούτων τὸν νοῦν, τούτοις χρῆται ὑπηρέταις, καὶ τοῖς [t]χρησμῳδοῖς καὶ τοῖς μάντεσι τοῖς θείοις, ἵνα ἡμεῖς οἱ ἀκούοντες εἰδῶμεν, ὅτι οὐχ οὗτοι εἰσὶν οἱ ταῦτα λέγοντες, [u]τὰ οὕτω πολλοῦ ἄξια, οἷς νοῦς μὴ πάρεστιν, ἀλλ' ὁ θεός [x]ἐστιν αὐτὸς ὁ λέγων [y]ταῦτα, διὰ τούτων δὲ φθέγγεται πρὸς ἡμᾶς.

4

Πλάτων τὰ πολλὰ ὧν τινες συγγράφουσι τοῖς Ἀδωναϊ-

g πορυβαντιῶντες A.
h ὄντες ὀρχοῦνται, οὕτω καὶ οἱ μελοποιοὶ οὐκ ἔμφρονες ὄντες Plat.
i κατεχόμενοι, ὥσπερ αἱ βάκχαι ἀρύττονται ἐκ τῶν ποταμῶν μέλι καὶ γάλα κατεχόμεναι, ἔμφρονες Plat.
k δὲ οὖσαι, οὔ Plat.
l μολοποιῶν A.
m ἢ om. Plat.
n πετώμενοι A.
o ἔνθεός τε Plat.
p ἔκφρων Plat.
q μηκέτι ἐν αὐτῷ ἐνῇ Plat.
r ἡ A.
s ἁπάντων Plat.
t χρησμῳδεῖς A. qui mox ἰδῶμεν.
u τὰ om. Plat.
x αὐτός ἐστιν Plat.
y ταῦτα om. Plat.

4.

Ex quo scriptore Platonis hoc dictum petitum sit, non annotatur; forte ex Aristonymo. Eadem imagine de sermonibus temere habitis utitur Plato in Phædro Op. III. p. 276. De hortis arte factis, qui Adonidis vocantur, v. Hesych. in Ἀδώνιδος κήποι, et ibi interpret. HEEREN.

κοῖς κήποις εἴκαζεν, οἱ τὴν χάριν ἐφήμερον ἔχοντες ῥᾳδίως μαραίνονται.

Κεφ. ϛ'.

[a]ΠΕΡΙ 'ΗΘΙΚΗΣ ΚΑΙ ΤΩΝ 'ΑΚΟΛΟΥΘΩΝ.

I

'Ηθική ἐστι δύναμις ψυχῆς, δι' ἧς ἀσκηθείσης καλῶς
[II. 34] [b]ἡ πρακτικὴ κατασκευάζεται ἀρετὴ, ἢ λόγος καθ' ὃν [c]χρησόμεθα [d]ἠθικῇ ἀρετῇ. Ἦθος δέ ἐστι ποιότης τοῦ ἀλόγου μέρους τῆς ψυχῆς ὑποτακτικῶς ἔχειν ἐθιζομένου τῷ λόγῳ.

Ἄλλως· Ἄλογον μέρος [e]τῆς ψυχῆς [f]εἰθισμένον ὑπακούειν [g]τῷ λόγῳ· ἢ πάθος, ἢ παθητικὸν μέρος τῆς ψυχῆς, [h]εἰθισμένον ὑπακούειν τῷ [i]λογικῷ.

Ἄλλως· Πάθος, ἢ τὸ ὀρεκτικὸν [j]μέρος τῆς ψυχῆς, εἰθισμένον ὑπακούειν τοῦ λογικοῦ. Πάρεστι δὲ κἀκείνως
[II. 36] ὁρίζεσθαι· [k]ἀρχὴ ψυχῆς πρακτική· ἢ κίνησις [l]τῆς ψυχῆς καθ' ὁρμήν· ἢ ποιότης ἀλόγου μορίου ψυχῆς· ἢ ψυχῆς τοῦ ἀλόγου μέρους ποιότης, κατ' ἐπιτακτικὸν λόγον δυναμένη τῷ λογικῷ ἑπακολουθεῖν. Οὕτως μὲν οὖν [m]οἱ κατὰ Πλάτωνα φιλοσοφοῦντες ὁρίζονται· οἱ δὲ κατὰ Ζήνωνα τὸν Στωϊκὸν, τροπικῶς· [n]ἦθος τί; Πηγὴ βίου, ἀφ' ἧς αἱ κατὰ μέρος πράξεις ῥέουσι. Πάθος δ' ἐστὶν, ὡς μὲν [o]'Αριστο-

I.

[a] ΠΕΡΙ 'ΗΘΙΚΗΣ] Sic A. Cant. περὶ τοῦ ἠθικοῦ εἴδους τῆς φιλοσοφίας Heeren. cum Photio.

[b] ὁ πρακτικὴ] ἡ πρακτ. V. A.

[c] χρησάμεθα] χρησόμεθα V. A.

[d] ἠθικῇ ἀρετῇ] ἀρετῇ om. Heeren.

[e] ψυχῆς] τῆς ψυχῆς A. V.

[f] εἰθισμένον] εἰθισμόν A. E.

[g] τῷ λόγῳ] τῷ λογικῷ V. Verba ἢ πάθος—λογικῷ desunt V.

[h] εἰθισμένον] ἐθισμ. A.

[i] λογικῷ] λόγῳ E.

[j] πάθος τῆς] μέρος τῆς V. A.

[k] ἀρχὴ πρακτικὴ ψυχῆς πραγματικης] ἀρχὴ ψυχικῆς πρακτικῆς ἢ κίνησις ψυχῆς V. A.

[l] τῆς om. A.

[m] Ante κατὰ add. οἱ V. A.

[n] ἦθός τι] ἦθός ἐστι Heeren.

[o] Explicationes hæ Aristotelis in libris ejus qui supersunt ipsis verbis quidem non leguntur, conveniunt tamen cum iis, quæ ad Nicomach. II. 4. disputat. Novimus tamen ex Diog. V. 1. 23. lectum fuisse olim Aristotelis περὶ

τέλης, ἄλογος ψυχῆς κίνησις πλεοναστική. Τὸ μὲν οὖν ἄλογον κατὰ τοῦ μὴ ἔχοντος τὸν ἀρχικὸν λόγον τάττει, τὸν γὰρ ὑποτακτικὸν ἔχει, καθ' ὃν ὑπακούειν πέφυκε [p]τῷ λογικῷ· τὸ δὲ πλεοναστικὸν, κατὰ τοῦ πεφυκότος ἐπιδέχεσθαι πλεονασμὸν, οὐ κατὰ τοῦ ἤδη πλεονάζοντος· ποτὲ μὲν γὰρ πλεονάζει, ποτὲ δ' [q]ἐλλείπει. Κἀκείνως δ' ὁρίζεται· πάθος ἐστὶ κίνησις τοῦ ἀλόγου μέρους τῆς ψυχῆς πλεοναστικὴ, κατὰ φαντασίαν [r]ἡδέος ἢ λυπηροῦ. Ὁ μὲν οὖν Περιπατητικὸς οὕτως· ὡς δ' ὁ Στωϊκὸς ὡρίσατο [s]Ζήνων, πάθος ἐστὶν ὁρμὴ πλεονάζουσα. Οὐ λέγει πεφυκυῖα πλεο-
[II. 38] νάζειν, ἀλλ' ἤδη ἐν πλεονασμῷ οὖσα· οὐ γὰρ δυνάμει, p. 160.
μᾶλλον δ' ἐνεργείᾳ. Ὡρίσατο δὲ κἀκείνως· πάθος ἐστὶ [t]ποτὲ ψυχῆς, ἀπὸ τῆς τῶν πτηνῶν φορᾶς τὸ εὐκίνητον τοῦ παθητικοῦ παρεικάσας. Ἠθοποιΐα δ' ἐστὶν ἤθους [u]ἐμποίησις. Ἠθικὴ δ' ἐστὶν ἀρετὴ μεσότης παθῶν, ἢ ἕξις ὁρίζουσα τοῦ πάθους τὴν ὑπερβολὴν καὶ τὴν ἔλλειψιν τῷ τῆς φρονήσεως λόγῳ· ἢ ἕξις προαιρετικὴ τοῦ καλοῦ περὶ ἡδονὰς καὶ λύπας. Ταῦτα μὲν οὖν αὐτάρκη περὶ τῶν ὅρων, πολλάκις γὰρ οἱ περὶ αὐτῶν λόγοι [x]παρεμπεσοῦνται. Χωρητέον δὲ ἐπὶ τὴν διαίρεσιν τοῦ ἠθικοῦ τόπου, [y]εὐθὺς ἀπ' αὐτοῦ τοῦ κατὰ διαφορὰν ἐνδεικνυμένου.

παθῶν librum singularem, ex quo hæc forte desumta sunt. HEEREN.

p τῷ λογικῷ] τοῦ λογικοῦ V. A.

q ἐλλείπει] δὲ λείπει sic A.

r ἡδέως] ἢ δέους V. A. E.

s Ζήνων: tum rubris litteris Ζήνωνος A.

ib. Eandem explicationem tribuit Zenoni Diog. Laert. VII. 110. Ἔστι δὲ αὐτὸ τὸ πάθος κατὰ Ζήνωνα, ἡ ἄλογος καὶ παρὰ φύσιν ψυχῆς κίνησις, ἢ ὁρμὴ πλεονάζουσα. HEEREN.

t ποτὲ *volatus*, sic rescribere non dubitavi pro ποιά. Postulant ποτὲ verba quæ sequuntur, Zenonem affectus vocasse volatum animæ metaphorice, ἀπὸ τῆς τῶν πτηνῶν φορᾶς. Posses suspicari legendum esse πτοία *perturbatio animæ*, quod tamen nec responderet sequentibus, nec ad litterarum ductum proprius accederet. HEEREN. *Animæ volatum* reddidit Canterus.

u ἀμποίησις] ἐμποίησις V. A.

x παρεμπεσοῦνται] περιπεσοῦνται V.

y Verba εὐθὺς ἀπ' αὐτοῦ τοῦ κατὰ διαφορὰν ἐνδεικνυμένου clara erunt,

2 Διαίρεσις ἠθικοῦ τόπου.

Φίλων ἐγένετο [a]Λαρισσαῖος, φιλόσοφος Ἀκαδημικὸς,
[II. 40] ἀκουστὴς Κλειτομάχου, [b]τῶν ἱκανὴν εἰσενεγκαμένων προκο- 15
πὴν ἐν τοῖς [c]λόγοις. Οὗτος ὁ Φίλων τά τε ἄλλα πεπραγμάτευται δεξιῶς, καὶ διαίρεσιν τοῦ κατὰ φιλοσοφίαν λόγου, ἣν ἐγὼ [d]προχειριοῦμαι, [[e]περὶ ἧς ὁ λόγος.] Ἐοικέναι [f]δέ φησι τὸν φιλόσοφον ἰατρῷ. Καθάπερ οὖν ἔργον ἰατροῦ, πρῶτον μὲν πεῖσαι τὸν κάμνοντα παραδέξασθαι τὴν θερα- 20
πείαν, δεύτερον δὲ, τοὺς [g]τῶν ἀντισυμβουλευόντων λόγους ὑφελέσθαι, οὕτως καὶ τοῦ φιλοσόφου. Κεῖται τοίνυν ἑκάτερον τούτων ἐν τῷ προσαγορευομένῳ προτρεπτικῷ λόγῳ, ἔστι γὰρ ὁ προτρεπτικὸς ὁ παρορμῶν ἐπὶ τὴν ἀρετήν. Τούτου δ' ὁ μὲν [h]ἐνδείκνυται τὸ μεγαλωφελὲς αὐτῆς, ὁ δὲ τοὺς 25
ἀνασκευάζοντας ἢ κατηγοροῦντας ἤ πως ἄλλως κακοηθιζομένους τὴν φιλοσοφίαν ἀπελέγχει. Δεύτερος δὲ μετὰ τοῦτον ὁ πρὸς τὴν ἰατρικὴν ἀναλογίαν δευτέραν ἔχων τάξιν. Ὡς γὰρ ἰατροῦ μετὰ τὸ πεῖσαι παραδέξασθαι τὴν θερα-
[II. 42] πείαν τὸ προσάγειν [i]ἐστὶ ταύτην [τοῦ μὲν θεραπευτικοῦ,] 30

si ἐνδεικνυμένου sensu passivo acceperis: *declarato a me hoc loco pro rerum diversitate, statim ad reliqua procedendum est.* Est nempe τὸ ἐνδείκνυσθαι κατὰ διαφοράν, genus declarandi rem per diversas notiones quas continet. HEEREN.

2.

[a] Λαρισαῖος] Λαρίσσαιος A. V.

[b] τοῦ εἰσενεγκαμένου] τῶν –μένων V. A.

[c] λόγοις] Sic Cant. in marg. pro λοιποῖς. HEEREN. λειποῖς A.

[d] προχειροῦμαι] προχειριοῦμαι V. A.

[e] Verba περὶ ἧς ὁ λόγος, quæ redundant, glossema esse videntur, adeoque uncis a me inclusa sunt. HEEREN.

[f] δὲ, quod nexus postulat, rescripsi pro δή. HEEREN. δὲ A.

[g] τῶν om. A.

[h] ἐνδείκνυται] δείκνυται V.

[i] ἐστὶ ταύτην τοῦ μὲν θεραπευτικοῦ] Edidi τὸ προσάγειν ἐστὶ εἰς ταύτην τὰ μὲν θεραπευτικὰ, *ut medici est ad sanandum adhibere medicinam;* ut mox infra: μετὰ γὰρ τὰ προτρεπτικὰ πειρᾶται προσάγειν τὰ θεραπευτικά. Restituitur ita parallelismus membrorum; hoc enim neglecto conjectare quoque posses, τὸ προσάγειν ἐστὶ ταύτην τοῖς μὲν θεραπευτικοῖς, *sanationem remediis adhibitis afferendam esse;* nisi potius verba τοῦ μὲν θεραπευτικοῦ prorsus delenda esse censeas. HEEREN.

τὰ μὲν [j]τῷ προεκκομίσαι τὰ νοσοποιὰ τῶν αἰτιῶν, τὰ δὲ ἐν τῷ τὰ [k]παρασκευαστικὰ τῆς ὑγείας ἐνθεῖναι, οὕτως αὖ κἀπὶ τῆς ἐπιστήμης ἔχει· μετὰ γὰρ τὰ προτρεπτικὰ πειρᾶται τὰ θεραπευτικὰ προσάγειν, [l]ἐφ' ἃ [διὰ] [m]τοῖς παρορμητικοῖς κέχρηται διμερῶς· τὸ μὲν γὰρ ὑπεξαιρετικὸν τῶν ψευδῶς γεγενημένων δοξῶν, δι' ἃς τὰ κριτήρια νοσοποιεῖται τῆς ψυχῆς, προσάγει λόγον, [n]τὸ δὲ [nn]τῶν ὑγιῶς ἐχουσῶν [o]ἐνθετικόν. Δεύτερος οὖν ὁ περὶ ἀγαθῶν καὶ κακῶν τόπος, [p]ἐφ' ὧν καὶ δι' ὧν ἡ προτροπή. Τῷ δὲ τρίτῳ πάλιν ὁ τρίτος ἀναλογήσει. Καὶ γὰρ [q]τῇ ἰατρικῇ σπουδὴ πᾶσα περὶ τὸ τέλος, τοῦτο δ' ἦν ὑγεία, καὶ τῇ φιλοσοφίᾳ περὶ τὴν εὐδαιμονίαν. Συνάπτεται δὲ τῷ περὶ τελῶν λόγῳ
[II. 44] λόγος περὶ [r]βίων. [s]Ἐπὶ γάρ τε τῆς ἰατρικῆς οὐκ ἀρκεῖ τὴν ὑγείαν ἐμποιῆσαι, χρεία δὲ καὶ τοῦ παρασχεῖν παραγγέλματα περὶ τῆς ὑγείας, οἷς προσέχοντες τὸν νοῦν τὴν εὐεξίαν τοῦ σώματος διαφυλάξουσι· καὶ δὴ κἀπὶ τοῦ βίου θεωρημάτων τινῶν ἐστι χρεία, δι' ὧν ἡ φυλακὴ γενήσεται τοῦ τέλους. Διττὸς δὲ καὶ ὁ περὶ βίων λόγος, ὁ μὲν ἴδιος, ὁ δὲ κοινός· ὧν [t]τὸν μὲν ἴδιον ἐπισκοπεῖν δέον ἐστὶ τὰ πρὸς ἕκαστον, οἷον εἰ [u]τῷ νοῦν ἔχοντι πολιτευτέον, ἢ τοῖς ἡγεμονικοῖς [x]συμβιωτέον, ἢ γαμητέον τῷ σοφῷ· τὸν δὲ κοινὸν πρὸς

j ἐν τῷ] ἐν deest V. A.

k παρασκευαστικῷ] -στικὰ V. A.

l Edidit Cant. ἐφ' ἃ διὰ τῆς παρορμητικῆς κέχρηται διμερῶς nullo sensu. Pro τῆς παρορμητικῆς ex cod. A. rescripsi τοῖς παρορμητικοῖς. Sed superest διὰ quod vel plane delendum, vel in δὴ mutandum, nisi malis νὴ Διά. HEEREN.

m τῆς παρορμητικῆς] τῆς παρορμητικοῖς A.

n τὸν δὲ] τὸ δὲ Heeren.

nn τὸν] τῶν A.

o αἰσθητικὸν] ἐνθετικὸν V. A.

p ἐφ' ὃν—δι' ὃν] ἐφ' ὧν—δι' ὧν Heeren. Mox ἀναλογίσει A.

q τῇ om. A.

r βίου] βίων V. A.

s Ἐπὶ γάρ τε τῆς ἰατρικῆς] Heeren. edidit ἔτι γάρ τε τῇ ἰατρικῇ, qui in notis legendum suggerit ἐπεὶ γὰρ τῇ ἰατρικῇ.

t τὸ] τὸν V. A.

u τὸν οὖν] τῷ νοῦν V. A. Cant. in marg.

x συμβιωτέον] συμβουλευτέον V.

ἅπαντας, [y] οἷον ἐκ τοῦ τίς ἀρίστη πολιτεία; [z] ἢ κοινὰς ποιητέον τὰς ἀρχὰς ἢ τιμητάς; Τοῦτον δὲ τὸν κοινὸν προσαγορευτέον μὲν πολιτικὸν, τακτέον δὲ καθ' αὑτὸν, καίπερ ὄντα μέρος τοῦ περὶ βίων, διά τε τὸ μέγεθος καὶ τὴν κοινότητα. Εἰ μὲν οὖν ἐνεδέχετο πάντας εἶναι σοφοὺς, οὐκ ἂν ἐδέησε πλειόνων ἔτι τόπων· οἱ γὰρ κατὰ λεπτὸν διαιρούμενοι, παραφυάδες εἰσὶ τῶν προκειμένων· ἐπεὶ δὲ καὶ τῶν μέσως p. 161.
διακειμένων [a] ἀνθρώπων πρόνοιαν ποιητέον, οὕς τινας ἐκ τῶν
[II. 46] παραινετικῶν λόγων [b] ὠφελεῖσθαι συμβαίνει, μὴ δυναμένους [c] προσευκαιρεῖν τοῖς διεξοδικοῖς πλάτεσιν, [d] ἢ διὰ χρόνου στενοχωρίας, ἢ διά τινας [e] ἀναγκαίας ἀσχολίας, ἐπεισενεκτέον τὸν [f] ὑποθετικὸν λόγον, δι' οὗ [g] τὰς πρὸς τὴν ἀσφάλειαν καὶ τὴν ὀρθότητα τῆς ἑκάστου χρήσεως ὑποθήκας ἐν ἐπιτομαῖς ἔξουσιν.

Οὕτως μὲν οὖν ἡ Φίλωνος ἔχει διαίρεσις. Ἐγὼ δ' εἰ μὲν ἀργοτέρως [h] διεκείμην, ἀρκεσθεὶς ἂν αὐτῇ συνεῖρον ἤδη τὰ περὶ τῶν ἀρεσκόντων, τῇ τῆς [i] ἑξαμερείας [k] ἐπικουφιζόμενος περιγραφῇ· ἡγούμενος δ' ἐμαυτῷ πρέπειν πρὸ παντὸς τὴν οὐσίαν δεῖν ἐπισκοπεῖν [l] οὗ τις πραγματεύεται, κἄπειτα ποιότητα τὴν περὶ αὐτὴν καὶ ποσότητα, καὶ τούτοις ἐφεξῆς

[y] οἷον ἐκ τοῦ] οἱονεὶ τὸ Heeren.
[z] εἰ] ἢ V. A.
[a] ἀνθρώπων] -ώπον A.
[b] ἀφελεῖσθαι] ὠφελεῖσθαι V. A.
[c] πρὸς ἐκκαιρεῖν] προσευκαιρεῖν V. A. Cant. in marg.
[d] ἢ διὰ χρόνου στενοχωρίας om. Heeren.
[e] ἀνάγκας] ἀναγκαίας V. A.
[f] ὑποθετικὸν] ἐπιθετικὸν V.
[g] τὰ] τὰς Heerenius.
[h] διεκείμην] διακείμην V.
[i] ἑξαμερείας] -ρίας A.
ib. ἑξαμερεία, *divisio in sex partes* seu *capita*. Talem enim fuisse Philonis divisionem clarum est ex præcedentibus, cum duo capita contineret ὁ λόγος προτρεπτικὸς, nempe τὸν παρορμῶντα et τὸν ἀπελέγχοντα; duo ὁ θεραπευτικὸς, nempe τὸν ὑπεξαιρετικὸν, et τὸν ἐνθετικόν; duo denique ὁ περὶ τέλους, nempe τὸν περὶ εὐδαιμονίας et περὶ βίων, qui etsi iterum in duo dividatur, nempe in eum de vita privata et publica, hunc tamen, quod nimis lata pateat, per se tractandum esse, supra dictum est. HEEREN.
[k] ἐπικουφιζόμενον] -μενος V.
[l] οὗ τις] Sic Heeren. ex P. Ceteri οὔτ' εἰσπραγματεύεται.

τὸ πρὸς τί, νομίζω προσεπιπονητέον τε εἶναι καὶ τὰ τῶν ἄλλων ἐπισκοπεῖν, καθάπερ οὐ πάντων, οὕτως τῶν περὶ ταῦτα διενεγκάντων.

Ἔστιν οὖν Εὐδώρου τοῦ Ἀλεξανδρέως, Ἀκαδημικοῦ φιλοσόφου, διαίρεσις τοῦ κατὰ φιλοσοφίαν λόγου, βιβλίον
[II. 48] ἀξιόκτητον, ἐν ᾧ πᾶσαν ἐπεξελήλυθε προβληματικῶς τὴν ἐπιστήμην, [m] ἧς ἐγὼ διαιρέσεως ἐκθήσομαι τὸ τῆς ἠθικῆς οἰκεῖον. Ἔχει δ' οὕτως. Τριμεροῦς ὄντος τοῦ κατὰ φιλοσοφίαν λόγου, τὸ μέν ἐστιν [n] αὐτοῦ ἠθικόν, τὸ δὲ φυσικόν, τὸ δὲ λογικόν. Τοῦ δὲ ἠθικοῦ τὸ μὲν περὶ τὴν θεωρίαν τῆς καθ' [o] ἕκαστον ἀξίας, [p] τὸ [δὲ περὶ τὴν ὁρμήν, τὸ] δὲ περὶ τὴν πρᾶξιν. [q] Ταῦτ' ἔστι γὰρ τριμερῆ τῆς ἠθικῆς εἴδη, πρῶτον μέν, τὸ θεάσασθαι τὴν ἀξίαν τοῦ πράγματος ὅπερ αἱρεῖσθαι μέλλομεν, οὐδὲ γὰρ οἷόν τε γενέσθαι τὴν ὁρμὴν εὔλογον, εἰ μὴ μετὰ τὴν θεωρίαν· ἡ θεωρία δ' ἐστὶ περίσκεψις τοῦ πράγματος καὶ οἷον ἐπίκρισις, κατὰ τὸν περὶ αὐτοῦ λογισμόν· δεύτερον δὲ, τὸ τὴν ὁρμὴν τῷ περινοηθέντι καλῶς [r] ἐπιβαλεῖν· τρίτον τὸ τὴν πρᾶξιν αὐτοῖς ἐπισυνάψαι. Ταῦτ' ἔστι τὰ πρῶτα μέρη τοῦ ἠθικοῦ λόγου, θεωρητικὸν, ὁρμητικὸν, πρακτικόν· τούτων δ' [s] ἑκάστου [t] ὑποδιαίρεσις. Τοῦ δὲ περὶ τὴν θεωρίαν τῆς καθ' ἕκαστον ἀξίας, τὸ μὲν περὶ τῶν σκοπῶν [u] ἢ τῶν λεγομένων σκοπῶν τοῦ βίου· [x] τὸ δὲ
[II. 50] περὶ τῶν συμβαλλομένων εἰς τὴν τῶν τελῶν περιποίησιν,

[m] ἧς] Sic P. ὡς Cant. et ceteri.

[n] αὐτοῦ] αὐτῇ A.

[o] ἑκάστου] ἕκαστον V. A.

[p] τὰ δὲ περὶ τὴν πρᾶξιν] Heeren. pro τὰ corrigit τὸ, deinde inserit δὲ περὶ τὴν ὁρμὴν τὸ.

[q] Ταῦτ' ἔστιν ἀνδρομερῆ τ. ἠ. εἴδη] Rescripsi ταῦτ' ἔστι γὰρ τριμερῆ τ. ἠ. εἴδη, *hæc enim tria sunt Ethices genera*, ut τριμερῆ, ut sæpius, pro τρία dictum sit. HEEREN. Pro ἀνδρομερῆ Valckenærius legerit ἁδρομερῆ.

[r] ἐπιβάλλειν] ἐπιβαλεῖν V. A.

[s] ἑκάστου] Sic Heeren. tanquam ex V. A. E. In A. tamen diserte legitur ἕκαστον ut in Cant. Mox τοῦ δὲ A. Cant. ubi Heeren. τοῦ γάρ.

[t] ὑποδιαίρεσιν] –ρεσις V. A.

[u] ἢ τῶν sensu postulante rescripsi pro καὶ τῶν. HEEREN.

[x] τί δὲ] τὸ δὲ V. A.

(y τὸ μέν ἐστι περὶ τῶν ἀρετῶν καὶ τῶν κακιῶν,) τὸ δὲ, περὶ τῶν κατὰ τὰς ἀρετὰς ποιῶν, ὅπερ καὶ καλεῖται χαρακτηριστικόν· τὸ δὲ περὶ τεχνῶν· τὸ δὲ περὶ ἐπιτηδευμάτων. Τοῦ μὲν περὶ ἀρετῶν τὸ μὲν κοινὸν, τὸ δ' ἴδιον· κοινὸν μὲν, οἷον περὶ δικαιοσύνης, περὶ ἀνδρείας, σωφροσύνης, z φρονήσεως, τῶν ἄλλων· ἴδιον δὲ τὸ προτρεπτικὸν, τοῦτο γὰρ εἰς τὸ μόνως ἐνδείξασθαι τὴν ἀρετὴν καὶ τὴν κακίαν. Καὶ ὁ μὲν περὶ τὴν θεωρίαν τῆς καθ' ἕκαστον ἀξίας λόγος εἰς τοσούτους τόπους γενικοὺς τέμνεται· ὁ γὰρ περὶ ἀγαθῶν καὶ κακῶν πολλὰς περιέχει a διαιρέσεις, αὐτίκα τὴν περὶ τῶν λεγομένων προηγουμένων, τὴν b περὶ φιλίας, καὶ ἡδονῆς, καὶ δόξης, καὶ εὐφυΐας. Τῷ δὲ περὶ φιλίας κατὰ γειτνίασιν c ὑπάγει d τὸν περὶ ἔρωτος, τὸν περὶ συμποσίων. Οὐ μὴν ἀλλ' e ὅμως τοῦδε σύμπαντος εἰς τὸν περὶ ἀγαθῶν καὶ κακῶν ὡς γενικώτατον f ὑπέταξε λόγον. Τοῦ δὲ περὶ τῆς ὁρμῆς λόγου ὁ μέν ἐστι περὶ τῆς ἰδικῆς ὁρμῆς, ὁ δὲ περὶ παθῶν. Ἦτοι γὰρ πᾶν πάθος ὁρμὴ πλεονάζουσα, ἢ τά γε
[II. 52] πλεῖστα μεθ' ὁρμῆς, καὶ τὰ ἀρρωστήματα. Τοῦ δὲ περὶ τῆς πράξεως λόγου, ὁ μέν ἐστι περὶ τῶν οἰκειούντων πρός τινας πράξεις, ὁ δὲ περὶ τῶν ἀλλοτριούντων ἀπὸ τινῶν πράξεων, ὁ δὲ τῶν αἰτιῶν ἀποδοτικὸς τῶν ἐπιτελούντων τινὰς σχέσεις ἢ κινήσεις, ὁ δὲ περὶ τῆς ἀσκήσεως, ὁ δὲ περὶ τῆς ἰδίως καὶ ὁμωνύμως τῷ γένει λεγομένης πράξεως. Καὶ

y Verba τὸ μέν ἐστι περὶ τῶν ἀρετῶν καὶ τῶν κακιῶν explicationem continent præcedentis, τῶν συμβαλλομένων εἰς τὴν τῶν τελῶν περιποίησιν, *virtutem et vitia esse instrumenta quibus* τὸ τέλος τοῦ βίου *scil. felicitatem assequimur;* quare, ne nexum sententiarum tollerent, uncis ea inclusi; nec si prorsus ea ejicienda esse, utpote ex glossemate orta, putes, refragabor. Cant. male in marg. pro μὲν corrigit δέ. HEEREN.

z Ante φρονήσεως add. καὶ A.

a διαιρέσεις] –σεως A.

b περὶ ante φιλ. om. A.

c ὑπάγει] ὑπάγειν· ὑπάγειν A.

d τὸ περὶ] τὸν περὶ V.

e ὅμως] ὁμῶς A.

f ἀπέταξε] ὑπέταξε V. A.

ὁ μὲν περὶ τῶν οἰκειούντων πρός τινας πράξεις διαιρεῖται εἵς τε τὸν ὑποθετικὸν καὶ τὸν προτρεπτικόν· ἔνιοι γὰρ καὶ τοῦτον ὑπὸ τόνδε τάττουσιν. Ὁ δὲ περὶ τῶν [g]ἀποτρεπόντων p. 162. καλεῖται παραμυθητικὸς, ὃς καλούμενός ἐστι πρὸς ἐνίων [h]παθολογικός· τοῦ δὲ περὶ τῆς [i]ὁμωνύμως λεγομένης πράξεως καὶ ἰδικῆς, [k]ὁ μέν ἐστι περὶ τῶν καθηκόντων, ὁ δὲ περὶ τῶν κατορθωμάτων. [l]Ἐπεὶ δὲ τῶν καθηκόντων καὶ τῶν κατορθωμάτων [m]ἃ μέν ἐστι καθ' ἑαυτὰ, ἃ δὲ κατὰ [n]τὴν πρὸς τοὺς πλησίον σχέσιν, συνέστη τόπος ὁ [o]περὶ τῶν χαρίτων ἐκ τοῦ λόγου τοῦ κατὰ τὴν πρὸς τοὺς πλησίον σχέσιν ὑπάρχων. Πάλιν δ' [p]ἐπεὶ τῶν καθηκόντων καὶ τῶν κατορθωμάτων ἃ μὲν λέγεται σύνθετα, ἃ δὲ ἀσύνθετα, συνέστη κατὰ [q]τὰ σύνθετα ὁ περὶ βίων λόγος, [r]οὗ μέρος ὢν ὁ περὶ γάμου κατ' ἰδίαν [s]ἐτάχθη, διὰ τὸ πλῆθος τῶν ἐν
[II. 54] αὐτῷ ζητημάτων. Ὥστ' εἶναι τοὺς πάντας τόπους κατὰ τὸν τῆς [t]πράξεως τόπον, παραμυθητικὸν, [[u]παθολογικὸν,]

[g] ἀποτρεπτόντων] ἀποτρεπόντων V. A.

[h] παθολογικὸς] καθολογικὸς V.

ib. Post παθολογικὸς commemoranda erat divisio locorum περὶ τῶν αἰτιῶν et περὶ τῆς ἀσκήσεως, siquidem plura utriusque capita fuerint. Videtur itaque aliquid hic periisse. HEEREN.

[i] ὁμωνύμως, sic rescribendum fuisse pro ὁμωνυμίας ap. Cant. patet ex præcedentibus; subintelligendum enim est τῷ γένει. HEEREN.

[k] μὲν ἐστὶ] ὁ μέν ἐστι V. A.

[l] Ἐπεὶ δὲ — κατορθωμάτων om. A.

[m] ἃ μὲν—ἃ δὲ] Heerenius τὰ μὲν—τὰ δὲ.

[n] τὴν] τὴν τοὺς A.

[o] περὶ τῶν χαρίτων, *de gratia qua apud alios floremus*; copiose hunc locum auctor tractat infra. HEER.

[p] ἐπεὶ, sic sensu postulante rescripsi pro ἐπί. HEEREN.

[q] σύνθετα] τὰ σύνθετα V. A.

[r] ὧν ἐπὶ γάμου] οὗ μέρος ὢν ὁ περὶ γάμου V. A.

[s] ἐτάχθην] –θη V. A.

[t] Mancam esse hanc locorum repetitionem quæ ad πρᾶξιν pertinent, clarum erit si eam cum præcedentibus contuleris. Desideratur enim locus προτρεπτικός. Præterea locus παθολογικὸς, cum idem sit ut supra dictum est cum παραμυθητικῷ, patet vocem παθολογικὸν, quam uncis inclusi, vel prorsus ejiciendam, vel legendum esse ἢ παθολογικὸν, nisi potius, ut plena sit enumeratio, præferas παραμυθητικὸν, προτρεπτικὸν, περὶ ἀσκήσεως etc. HEEREN.

[u] παθολογικὸν] καθολογικὸν V.

περὶ ἀσκήσεως, περὶ καθηκόντων, περὶ κατορθωμάτων, περὶ χαρίτων, περὶ βίων, περὶ γάμου. Ὁ μὲν οὖν ἠθικὸς λόγος εἰς ταῦτα καὶ τοσαῦτα τέμνοιτ' [x]ἄν· ἀρκτέον δὲ τῶν προβλημάτων, προτάττοντα τὰ γένη κατὰ τὴν [y]ἐμοὶ φαινομένην διάταξιν, ἥντινα πείθομαι πρὸς τὸ σαφέστερον διηρῆκέναι.

3 Περὶ τέλους.

Τέλος λέγεται πολλαχῶς· ὡς τὸ πέρας, [a]ᾧ ἀντιδιαιρεῖται ἀρχὴ καὶ μέσον· καὶ ὡς τὸ τέλεσμα φορικόν· ὡς τὸ ἀνάλωμα, καθ' ὃ λέγεται αὐτοτελής [aa]τε καὶ [b]εὐτελής· ὡς ὁ γάμος παρὰ τοῖς Δωριεῦσιν, [c]ἤτοι παρὰ τὸ συμπέρασμα τῆς νεότητος, ἢ διὰ τὸ τελειοῦν τὸν ἄνδρα τῇ πρὸς τὴν γυναῖκα συνόδῳ, καθ' ὃ τὴν γαμήλιον Ἥραν συζυγίαν καὶ [d]τελείαν ἐπονομάζουσι· [e]τέλος δὲ καὶ γνώσεως καὶ
[II. 56] πράξεως καὶ ποιήματος· καὶ τὸ ἀποβαῖνον, [f]ὥς παρ' Εὐριπίδῃ·

Ἀχαλίνων στομάτων
ἀνόμου τ' [g]ἀφροσύνας
τὸ τέλος δυστυχία.

Τέλη δὲ λέγονται καὶ αἱ τῶν [h]πολιτικῶν ἀρχαὶ, τὰ τέλη Λακεδαιμονίων [i]εἰ τύχοι. Παρὰ δ' Ὁμήρῳ ἐν τῷ τῆς Ἰλιάδος δεκάτῳ[k]

Αἶψα δ' [l]ἐπὶ Θρηκῶν ἀνδρῶν τέλος ἷξον ἰόντες·

x ἄν μὲν] μὲν deest V. A.
y ἐμὴν] ἐμοὶ V. In A. clare ἐμὴν.

3.

a ᾧ] ὃν A.
aa τε] τις Heeren.
b εὐτελὴς] ἀτελὴς V.
c ὅτοι] ἤτοι V. A.
d Eadem habet Pollux II. 3. qui, τέλειος, inquit, γάμος ἐλέγετο, ὡς τελειῶν πρὸς τὸν βίον τὸν ἄνθρωπον. Quare et Jupiter τέλειος, ut nuptiarum præses, et Ἥρη τελεία. HEEREN.
e τέλος] τέλους A.
f ὥς παρ' Εὐριπίδου] Sic Canterus, non ὥσπερ Εὐρίδου ut affirmat Heerenius. ὥσπερ Εὐριπίδῃ A. Verba desumpta sunt ex Bacch. 385.
g τ' εὐφροσύνας] τ' ἀφροσύνας τὸ τέλος etc. V. A.
h πολιτικῶν] πολιτειῶν V.
i εἰ om. A.
k Homeri Il. κ'. 470.
l ἐπὶ Θρηκῶν] ἐπιθρικῶν A. ubi mox ἴδαν. ἵξαν Cant. Post Θρηκῶν add. ἀνδρῶν V. A.

τοῦτο δ' ἐστὶν ἔναρχον τάγμα. Λέγεται δὲ [m] ὑπὸ μὲν τῶν [n] Στωϊκῶν ὁρικῶς, τέλος ἐστὶν οὗ ἕνεκα πάντα πράττεται [o] καθηκόντως, αὐτὸ δὲ πράττεται οὐδενὸς ἕνεκα. [p] Κρατῖνος, οὗ χάριν τἆλλα, αὐτὸ δ' οὐδενὸς ἕνεκα. Καὶ πάλιν, ἐφ' [q] ὃ πάντα τὰ ἐν τῷ βίῳ πραττόμενα καθηκόντως τὴν ἀναφορὰν λαμβάνει, αὐτὸ δ' [r] ἐπ' οὐδενός. Ὑπὸ δὲ τῶν νεωτέρων Περιπατητικῶν, τῶν ἀπὸ Κριτολάου, τὸ ἐκ πάντων
[II. 58] τῶν ἀγαθῶν συμπεπληρωμένον. Τοῦτο δὲ ἦν τὸ ἐκ τῶν τριῶν γενῶν, οὐκ ὀρθῶς. Οὐ γὰρ πάντα τἀγαθὰ μέρη γίνεται τοῦ τέλους· οὔτε γὰρ τὰ σωματικὰ, οὔτε τὰ ἀπὸ τῶν ἐκτὸς, τὰ δὲ τῆς ψυχικῆς ἀρετῆς ἐνεργήματα μόνης. Κρεῖττον οὖν ἦν εἰπεῖν ἀντὶ τοῦ συμπληρούμενον, ἐνεργούμενον, ἵνα τὸ χρηστικὸν τῆς ἀρετῆς ἐμφαίνηται. Τοῦτο δ' οἱ κατ' Ἐπίκουρον φιλοσοφοῦντες οὐ προσδέχονται λέγειν ἐνεργούμενον, διὰ τὸ παθητικὸν ὑποτίθεσθαι τὸ τέλος, οὐ [s] πρακτικόν· [t] ἡδονὴ γάρ· ὅθεν καὶ τὴν [u] ἔννοιαν ἀποδιδοάσι [x] τοῦ τέλους, τὸ οἰκείως διατιθέναι ἐξ ἑαυτοῦ πρὸς [y] αὐτὸν χωρὶς τῆς ἐπ' ἄλλο τι ἀπάσης [z] ἐπιβολῆς. Τὸ μὲν οὖν ὄνομα

[m] Post ὑπὸ add. μὲν V. A.

[n] Stoicorum hanc τοῦ τέλους explicationem præclare interpretatur Lips. Manud. St. II. 13. HEEREN.

[o] καθηκόντων] –κόντως V. A.

[p] Cratini nomen inauditum prorsus est inter philosophos græcos, adeoque jure suspectum. Puto legendum pro eo esse Κράτης, vel Κράτητος altero casu; ut sit Crates Cynicus, cujus auditor fuerat Zeno. Alteram explicationem, quam ex eo affert noster, ipsis verbis expressit Cicero de Fin. I. 9. *Extremum seu ultimum bonorum omnium philosophorum sententia tale esse debet, ut ad id omnia referri oporteat, ipsum autem nusquam.* HEEREN.

[q] ὅ] ᾧ A.

[r] ἐπ' οὐδενὸς] ἐπ' οὐδὲν citat Lipsius l. c. probante Davisio ad Cic. de Fin. I. 9.

[s] πρακτικὸν rescripsi pro πρακτέον.—Ad ἡδονὴ subintelligendum ἐστὶ vel λέγεται. HEEREN.

[t] Madvig. ad Cic. de Fin. p. 144. sic interpungit: ἡδονὴ γάρ· (i. e. τέλος ἐστὶν αὐτοῖς·) et mox em. διατεθεῖσθαι pro διατιθέναι, et ἀγούσης pro ἀπάσης.

[u] ἔννοιαν] ἐνίαν V.

[x] τοῦ τέλους] τοῦ λόγου τέλους V.

[y] αὐτὸν] αὐτὸ A.

[z] ἐπιβολῆς] Sic rescribendum duxi pro ἐπιβουλῆς. Est enim ἐπιβολὴ *conatus* ad aliquid efficiendum vel obtinendum, adeoque *vis activa*, quam a voluptate seu summo bono excludebat Epicurus. Insolita tantum videtur verbo-

τοῦ τέλους εὑρίσκεται καὶ παρ' [a]Ὁμήρῳ·

Οὐ γὰρ ἔγωγέ τι φημὶ τέλος χαριέστερον εἶναι.

Ἀλλ' [b]οὗτος μὲν δημοτελὲς εἰσήγαγε τὸ τέλος, [c]Πλάτων δὲ διέστιξε πρῶτος τὸ κατ' ἄνδρα καὶ βίον ἰδιάζον, ἔν τε
[II. 60] τῷ Τιμαίῳ [d]καὶ τῷ Πρωταγόρᾳ, καί γε τὴν τοῦ σκοποῦ διαφορὰν πρὸς τὸ τέλος. Καὶ ἔστι σκοπὸς μὲν, τὸ προκείμενον εἰς τὸ τυχεῖν, οἷον [e]ἀσπὶς τοξόταις· τέλος δὲ, τοῦ [f]προκειμένου τεῦξις. Βούλονται γὰρ ἐνέργημα ἡμέτερον εἶναι p. 163.
πρὸς τὸ τέλος. Ὑποτελὲς δ' ἐστὶ τὸ πρῶτον οἰκεῖον τοῦ ζώου πάθος, ἀφ' οὗ κατήρξατο συναισθάνεσθαι τὸ ζῶον τῆς συστάσεως αὐτοῦ, οὔπω λογικὸν, ἀλλ' ἄλογον, κατὰ τοὺς φυσικοὺς καὶ σπερματικοὺς λόγους, ὥσπερ τὸ θρεπτικὸν, καὶ τὸ αἰσθητικὸν, καὶ τῶν τοιούτων ἕκαστον ῥίζης τόπον
ἐπέχον, οὐδέπω φυτοῦ· γενόμενον γὰρ τὸ ζῶον ᾠκειώθη τινὶ πάντως εὐθὺς ἐξ ἀρχῆς, ὅπερ ἐστὶ ὑποτελὲς, [g]κεῖται δ' ἔν τινι τῶν τριῶν· ἢ γὰρ ἐν ἡδονῇ, ἢ ἐν ἀοχλησίᾳ, ἢ ἐν τοῖς πρώτοις κατὰ φύσιν. [h]Πρῶτα δ' [i]ἐστὶ κατὰ φύσιν, περὶ μὲν τὸ σῶμα ἕξις, [k]κίνησις, σχέσις, ἐνέργεια, δύναμις,
ὄρεξις, ὑγεία, [l]ἰσχὺς, εὐεξία, εὐαισθησία, κάλλος, τάχος, ἀρτιότης, [m]αἱ τῆς ζωτικῆς ἁρμονίας ποιότητες· περὶ δὲ τὴν ψυχὴν, εὐσυνεσία, [n]εὐφυΐα, φιλοπονία, [o]ἐπιμονὴ, μνήμη,

rum junctura ἐπιβολὴ ἐπὶ τὶ, cum alias sit ἐπιβολὴ τινός. Non tamen per se adversatur grammaticæ rationi; ac difficultas eadem foret si retineas ἐπιβουλῆς, quod commodam explicationem non admittit. HEEREN.

a Ὁμήρῳ] Od. ι'. 5.

b οὗτω] οὗτος V. A.

c Respicit ad ea quæ Plato disputat in Protagora Op. I. p. 350. et in Timæo Op. III. p. 64. HEEREN.

d κἀν] καὶ V. A.

e ἀπις] ἀσπὶς V. A.

f παρακειμένου] προκειμ. V. A.

g καὶ τάδ'] κεῖται δ' V. A.

h Πρῶτα—φύσιν om. A.

i ἐστὶ κατὰ] ἔστι τὰ κατὰ V.

k Verba κίνησις—ὄρεξις des. in A.

l Post ἰσχὺς add. εὐεξία V. A.

m αὐτῆς] αἱ τῆς V. A.

n εὐφυΐα] εὐποιΐα V. A.

ib. Pro εὐφυΐα codd. V. A. εὐποιΐα male! Confirmat lectionem nostram Diog. VII. 61. οἷον ἐπὶ μὲν τῶν ψυχικῶν, εὐφυΐαν, τέχνην etc. HEEREN.

o ἐπιλωνῆ] ἐπιμονὴ V. A.

[II. 62] τὰ τούτοις παραπλήσια, ὧν [p]οὐδέπω τεχνοειδὲς οὐδὲν, σύμφυτον δὲ μᾶλλον. [q]Τὴν δ' ὑποτελίδα τῶν ἀρχαίων οὐδεὶς ὠνόμασεν, καίτοι τὸ πρᾶγμα γιγνωσκόντων, τὴν δ' εὐδαιμονίαν συνωνυμεῖν τῷ τέλει λέγουσιν. Εὐδαιμονία δ' ἐστὶ τὸ ἄριστον ἐν τῷ βίῳ, ἢ τὸ μέγιστον τῶν ἀγαθῶν, ἢ τὸ κράτιστον. Ταῦτα γάρ ἐστι τῶν περὶ αὐτῆς ἐννοημάτων ἁπλούστερα. Κἂν λέγῃ δέ τις μακαριότητα καὶ τὸ μακαρίως ζῆν, εἰς τὸ αὐτὸ [r]συνδραμεῖται τοῖς τελικοῖς. Προσδιαιρετέον οὖν. [s]Τῶν περὶ τέλους [t]διαλεχθέντων οἱ μὲν ψυχικὸν εἶναι διενοήθησαν, οἱ δὲ σωματικὸν, οἱ δὲ μικτὸν ἐξ ἀμφοῖν. Φράσω δὲ παραδείγματος χάριν· ὁ μὲν τοίνυν ἀρετὴν λέγων, [u][τουτέστιν ἐν ἀρετῇ κείμενον,] ψυχικὸν ὑπείληφεν· ὁ δ' ἡδονὴν, σωματικόν· ὁ δὲ τὸ [x]καλῶς καὶ ἡδέως ζῆν, κοινόν. [y]Εἴποι δ' ἄν τις [z]ἂν κἀκείνως, οἱ μὲν λογικὸν, οἱ δ' ἄλογον, οἱ μὲν διανοητικὸν, οἱ δὲ παθητικόν. Πάντα δὲ τὴν ἐν τούτοις ὀνόμασιν ἔχοντα διαφορὰν εἰς ταὐτὸ συντρέχει. Ἐκ

[II. 64] γὰρ σώματος καὶ ψυχῆς τοῦ ἀνθρώπου συνεστῶτος, [a]ἀνάγκη καὶ τὴν [b]εὐζωΐαν αὐτοῦ περὶ ταῦτα καὶ διὰ τούτων συνίστασθαι. [c]Λέγωμεν οὖν περὶ τῶν πρώτων εὐθὺς ὁποῖοι ἦσαν οἱ ἀπὸ τῶν ψυχικῶν [d]ἀναγόμενοι. Ὅμηρος, δεδόσθω γὰρ τῇ ἀρχαιότητι προνομία, ψυχικὸν ἀπεφήνατο τὸ τῆς

p οὐδέποτε χροειδὲς] οὐδέπω τεχνοειδὲς V. A. E.

q Τὴν δ' ὑποτελίδα] Herillus ap. Diog. Laert. VII. 165. διαφέρειν δὲ τέλος καὶ ὑποτελίδα, τῆς μὲν γὰρ καὶ τοὺς μὴ σοφοὺς στοχάζεσθαι, τοῦ δὲ μόνον τὸν σοφόν. Sic v. c. bene valere et prudentes esse, volunt quoque stulti, quod utrumque pro bono vulgo habetur; sed ipsum finem, convenienter naturæ vivere, nolunt, quod ad illum obtinendum vera sapientia opus sit. HEEREN.

r συνδραμῆται] συνδραμεῖται V. A.

s Ante περὶ add. τῶν V. A.

t διαλεχθέντων] διελεχθέντων A.

u Verba τουτέστιν ἐν ἀρετῇ κείμενον glossema redolent ac nexum sermonis turbant, quare uncis ea inclusi. HEEREN.

x κάλλος] καλῶς V. A.

y εἴη] εἴποι V. A.

z ἄν om. Heeren.

a ἀνάγκη δὲ] ἀνάγκη καὶ V. A.

b εὐζωΐαν] εὐζωΐαν A.

c Λέγωμεν, *dicamus*, refinxi pro λέγομεν, secutus V. qui λέγω μὲν habet. HEEREN.

d ἀναγόμενοι] ἀγόμενοι A. qui mox ἀπεφήναντο.

εὐδαιμονίας τέλος, καὶ ταῦτα διὰ τοῦ [e]παρεισαγομένου προσώπου σοφωτάτου παρ' αὐτῷ. Πεποίηται γὰρ Ὀδυσσεὺς ἀναφωνῶν,

[f]Οὐ γὰρ ἔγωγέ τι φημὶ τέλος χαριέστερον εἶναι
ἢ ὅταν [g]εὐφροσύνη μὲν ἔχῃ κατὰ δῆμον ἅπαντα.

Ἡ δ' εὐφροσύνη ψυχική τις ἐστὶ διάθεσις, ἣν ἄν τις ἐξηγήσαιτο καλὴν φρόνησιν, [h]τοῦτο δ' ἂν ἐκδέξαιτο τὴν ἐπὶ τοῖς καλοῖς φρόνησιν. Ὁμήρῳ μὲν ἀρκέσει προμετρηθὲν τὸ τῆς τιμῆς διὰ τὴν ἀρχαιότητα, ἐπὶ δὲ τοὺς φιλοσόφους ἰτέον.

Σωκράτης, Πλάτων, ταὐτὰ τῷ Πυθαγόρᾳ, τέλος ὁμοίωσιν θεοῦ. Σαφέστερον [i]δ' αὐτὸ διήρθρωσε Πλάτων, προσθεὶς τὸ κατὰ τὸ δυνατὸν, ([k]φρονήσει δ' ἣν μόνως δυνατὸν,) τοῦτο
[II. 66] δ' ἦν [l]τὸ κατ' ἀρετήν. Ἐν μὲν γὰρ θεῷ τὸ κοσμοποιὸν καὶ κοσμοδιοικητικόν· ἐν δὲ τῷ σοφῷ βίου κατάστασις, καὶ ζωῆς διαγωγή· ὅπερ [m]αἰνίξασθαι μὲν [n]Ὅμηρον, εἰπόντα,

κατ' ἴχνια βαῖνε θεοῖο·

[o]Πυθαγόραν δὲ [p]ἐπ' αὐτὸν εἰπεῖν· [q]Ἕπου θεῷ· δῆλον ὡς οὐχ ὁρατῷ καὶ προηγουμένῳ, νοητῷ δὲ, καὶ [r]τῆς κοσμικῆς εὐταξίας ἁρμονικῷ. Εἴρηται δὲ παρὰ Πλάτωνι κατὰ τὸ

[e] παρεισαμένου] παρεισαγομένου V. A.
[f] Καί γε] Οὐ γὰρ V. A. Odyss. ι'. 5.
[g] εὐφροσύνη] –σύνην A.
[h] Post τοῦτο add. δ' ἂν ἐκδέξαιτο V. ἐκδέξετο A.
[i] δ' αὐτὸς] δ' αὐτὸ V. A.
[k] Verba φρονήσει—δυνατὸν desunt V. A.
[l] τὸ ante κατὰ deest V.
[m] ἐνίξασθαι] αἰνίξασθαι V. A.
[n] Ὅμηρον] Od. ε'. 193.
[o] Πυθαγόρας] –γόραν V. A.
[p] ὑπ' αὐτὸν] ἐπ' αὐτὸ Heeren. ἐπ' αὐτὸν Wyttenbach. ad Plut. S. N. V. p. 550 D.
[q] ἔπον] ἕπου V. A. Vid. Gataker. ad Marc. Ant. VII. 31.
[r] τῆς κοσμικῆς εὐταξίας ἁρμονικῶς] τῆς κοσμικῆς εὐταξίας ἁρμονικῶς προηγουμένῳ Davis. Cic. Fin. II. 22. τῆς κοσμικῆς εὐταξίας ἁρμονικῷ Wyttenbach. τῇ κοσμικῇ εὐταξίᾳ ἁρμονικῶς, *ordini mundi a Deo constituto convenienter*, Heeren. κοσμικῆς εὐδοξίας ἁρμονικῶς A.

τῆς φιλοσοφίας τριμερὲς, ἐν Τιμαίῳ μὲν [s]φυσικῶς, προσ- 55
θήσω δὲ καὶ Πυθαγορικῶς, [t]σημαίνοντος ἀφθόνως τὴν ἐκείνου προεπίνοιαν· ἐν δὲ τῇ Πολιτείᾳ ἠθικῶς· ἐν δὲ τῷ Θεαιτήτῳ λογικῶς· περιπέφρασται δὲ καὶ ἐν τῷ τετάρτῳ περὶ [v]Νόμων ἐπὶ τῆς ἀκολουθίας τοῦ θεοῦ σαφῶς ἅμα καὶ πλουσίως. p. 164.

[II. 68] Τὸ δέ γε πολύφωνον τοῦ Πλάτωνος [[u]οὐ πολύδοξον.] Εἴρηται δὲ καὶ τὰ περὶ τοῦ τέλους αὐτῷ πολλαχῶς. Καὶ τὴν μὲν ποικιλίαν τῆς φράσεως ἔχει διὰ τὸ λόγιον καὶ μεγαλήγορον, [x]εἰς δὲ ταὐτὸ καὶ σύμφωνον τοῦ δόγματος συν- 5
τελεῖ. Τοῦτο δ' ἐστὶ τὸ κατ' ἀρετὴν ζῆν. Τοῦτο δ' αὖ κτῆσις ἅμα καὶ χρῆσις τῆς τελείας ἀρετῆς. Ὅτι δὲ τέλος αὐτὴν ἡγεῖται, τέταχεν ἐν Τιμαίῳ [y]κατ' οὔνομα· φράσω δὲ καὶ τ' [z]ἀκροτελεύτιον τῆς περιοχῆς· ἔχει δ' οὕτως· [a]ὁμοιώσαντα δὲ τέλος ἔχειν τοῦ [b]προτεθέντος ἀνθρώποις ὑπὸ θεῶν 10
ἀρίστου βίου πρός τε τὸν παρόντα καὶ τὸν μέλλοντα.

Ἀριστοτέλης [c]χρῆσιν ἀρετῆς τελείας ἐν προηγουμένοις.

[s] φυσικῶς] φυσικῷ et Πυθαγορικῷ V. A.

[t] Verba σημαίνοντος ἀφθόνως τὴν ἐκείνου προεπίνοιαν obscura sunt; nec sensum eorum satis assequor. Ad σημαίνοντος, si sanum est, subintelligendum foret τοῦ Πλάτωνος, *Platonem abunde in Timæo indicasse* τὴν ἐκείνου nempe *Pythagoræ* προεπίνοιαν. Sed quid sit προεπίνοια, verbum Lexicographis inauditum, merito dubitaveris. Positum esse deberet, si sanum est, omnino pro ἐπίνοιαν, *cogitationem, commentum* seu *placitum*. Attamen vel sic turbatum videri verborum ordinem, cum σημαίνοντος non satis concinne positum sit, facile apparet. In codd. tamen nihil præsidii. HEEREN.

[v] Respicit ad ea quæ præclare Plato de Leg. l. IV. Op. II. p. 716. disputat. HEEREN.

[u] οὐ πολύδοξον] Hæc vv. addidit Heeren. Infra p. 547. Πλάτων πολύφωνος ὢν οὐχ, ὥς τινες οἴονται, πολύδοξος.

[x] εἴδεται αὐτὸ] εἰ δὲ ταυτὸ V. A. εἰς δὲ ταὐτὸ Heeren.

[y] κατ' οὔνομα] καὶ τ' οὔνομα V. A.

[z] ἀκροτελεύτειον] —τιον V. A.

[a] τὸ δὲ] τάδε V. A.

ib. Verba Platonis leguntur in Timæo Op. III. p. 90. corrupta vero sunt in ed. Stobæi. Nam ὁμοιώσαντα revocavi ex Platone pro ὁμοίως ἂν τὸ δὲ, [ὁμοίως ἂν τάδε A.] et προτεθέντος pro προστεθέντος. Denique pro τὸν μέλλοντα, quod retinui, edd. Platonis habent τὸν ἔπειτα χρόνον, eodem sensu. HEEREN.

[b] προστεθέντος] προτεθέντος V.

[c] χρῆσιν] χρῆσιν A.

Ἡ μὲν οὖν χρῆσίς [d]ἐστι πλέον τῆς κτήσεως· ἐνέργειαν γὰρ
εἶναι βούλεται [e]τὴν εὐδαιμονίαν, [f]καὶ τὸ τέλος ἡμέτερον.
Ἡ δ' ἀρετὴ ἕξις ἡ βελτίστη ψυχῆς· [g]τελεία δὲ τριχῶς, 15
καὶ γὰρ [h]ἡ σύνθετος ἐκ τῶν θεωρητικῶν καὶ πρακτικῶν καὶ
[II. 70] ἠθικῶν· τρία γὰρ ὑποτίθεται γένη, ἃ ἂν εἴποις ἀρετὴν κατὰ
σύνθεσιν, [i]καὶ ἡ ἐκ τῶν οἰκείων δυνάμεων συμπεπληρωμένη,
φύσεως, λόγου, ἔθους. [k]Ταύτῃ κατ' ἀριθμὸν ἐρεῖ τις, ἢ καὶ 20
κατὰ συμφωνίαν τοῦ λογικοῦ μέρους πρὸς τ' ἄλογον τῆς
ψυχῆς, περὶ ὧν ὑποβὰς διαρθρώσω. Πολλαχῶς [l]δ' ἔξεστι
τὴν εὐδαιμονίαν ὁρίζεσθαι κατ' αὐτὸν, [m]οἷον ἐνέργειαν κατ'
ἀρετὴν τελείαν ἐν βίῳ τελείῳ προηγουμένην· καὶ βίος καλὸς
καὶ τέλειος προηγούμενος· καὶ τὸ [o]πάντων σαφέστατον, 25
[p]χρῆσις ἀρετῆς τελείας ἐν βίῳ τελείῳ [q]προηγουμένης. Βίῳ

[d] ἐστι] ὅτι A. qui mox κτίσεως.

[e] εὐδαιμονίαν] τὴν εὐδ. V. A.

[f] καὶ τὸ τέλος ἡμετέραν] Heeren. edidit ἢ τὸ τέλος ἡμέτερον.

[g] τελείαν] τελεία V. A.

[h] ἡ om. Heeren.

[i] καὶ ἐκ τῶν ὁμοίων δυνάμεων συμπεπληρωμένης] καὶ ἡ ἐκ τῶν οἰκείων δυνάμεων συμπεπληρωμένη V. A.

[k] Ταύτην] ταύτῃ Heeren. qui mox ἢ καὶ pro καὶ ἡ.

[l] ἔξεστι] δ' ἔξεστι V. A.

[m] οἷον inseruit Heeren.

[n] Quæ hic *felicitatis* explicatio Aristoteli tribuitur, apud Diog. Laert. V. I. 30. de *fine* legitur: τέλος δὲ ἓν ἐξέθετο, χρῆσιν ἀρετῆς ἐν βίῳ τελείῳ, quod tamen ad idem redit, cum apud Aristotelem felicitas pro ipso fine ponatur; cf. Ethic. I. c. 10. τὴν εὐδαιμονίαν δὲ τέλος καὶ τέλειον τίθεμεν πάντως, unde quoque paulo ante, τί οὖν, inquit, κωλύει λέγειν εὐδαίμονα τὸν κατ' ἀρετὴν τελείαν ἐνεργοῦντα? HEEREN.

[o] πάντως] πάντων V. A.

[p] Videndus est de hisce Aristot. ll. cc. qui in eo quidem consentit cum nostro ut *tria*, nempe χρῆσιν ἀρετῆς, et porro quidem ἀρετῆς τελείας, utrumque denique ἐν βίῳ τελείῳ ad beatitudinem requirat; non tamen quartum, nempe τὸ προηγουμένως, quod potius Stoicorum doctrinam sapit. Sunt apud Stoicos, ut infra docebitur, τὰ προηγούμενα, vel *producta*, ut vocat Cicero, quæ ex eorum præceptis non quidem vera bona sunt, veruntamen dignitatem quandam habent; i. e. quæ apud reliquos bona corporis et externa vocantur. Eadem hic quoque intelligenda esse patet interpretatione mox subjuncta: προηγουμένην δὲ, χάριν τοῦ τὴν χρῆσιν ἐν ἀγαθοῖς γίγνεσθαι, μὴ ἐν κακοῖς. Aristoteles vero et Peripatetici bona corporis et externa utique pro bonis ponebant, nec sine iis perfectam felicitatem existere, recte dicebant. Quare nisi forte in libro aliquo deperdito Stagirita descriptionem

[II. 72] δὲ τελείῳ λέγει πρὸς [r]τὴν διάστασιν τῆς χρήσεως τῶν ἀγαθῶν· [s]προηγουμένην δὲ, χάριν τοῦ τὴν χρῆσιν ἐν ἀγαθοῖς γίγνεσθαι, μὴ ἐν κακοῖς. Τοῦτο μὲν οὖν [u]τέλος· τὸ δ' αὐτὸ συνωνύμως εὐδαιμονία παρὰ [x]Πλάτωνος [y]μετηγμένον. [z]Σκοποὺς δ' ὑποτίθεται τῆς ἐφέσεως τῶν ἀνθρωπίνων ὀρέξεων τρεῖς, τὸν τοῦ καλοῦ, τοῦ συμφέροντος, τοῦ [a]ἡδέος. [b]Καλὸν μὲν οὖν ἐστὶν ἀρετὴ, καὶ τὸ μέτοχον [c]τῆς ἀρετῆς, ὥσπερ αὐτὸς ὁ σπουδαῖος, καὶ τὸ ἀπ' ἀρετῆς ἔργον, ὡς τὸ ἀγαθὸν, τὸ καλόν· [d]καὶ τὸ ἐπαινετὸν, [e]καὶ τὸ παρέχον [II. 74] ἐπαινετούς· συμφέρον δὲ, [f]τὸ πρὸς τὸ ζῆν εὔχρηστον· [g]συμ-

suam felicitatis vocis hujus usu arctius adhuc circumscripserit, alienum hic potius et præpostere a Stobæo intrusum videtur. Ceterum pro προηγουμένοις ap. Cant. in codd. V. A. legitur προηγουμένην, in E. προηγούμενος, quæ omnia nihil habent a quo pendeant. Legendum duco vel προηγουμένως, vel προηγουμένη, ut ad χρῆσις referatur. HEEREN. Quidni προηγουμένης?

q προηγουμένοις] προηγουμένην V. A. προηγουμένως Heeren.

r τὴν om. A.

s Corruptissime habet Cant. παρηγουμένην δὲ χάριν πάντα χρῆσιν τὰν τοῖς χρῆσιν ἐν ἀγαθοῖς γίγνεσθαι, μὴ ἐν κακοῖς. Codd. V. A. E. melius προηγουμένην δὲ χάριν ταύτην χρῆσιν ἐν ἀγαθοῖς etc. Sana hæc erunt, si modo pro ταύτην leges τοῦ τήν. Nempe προηγουμένην τὴν χρῆσιν dici χάριν τοῦ, *eam ob causam, quod in bonis* (i. e. in usu bonorum externorum et corporis) *fiat*. HEEREN.

u τέλος] τὸ τέλος V.

x Disputat de his Plato in Euthydemo Op. I. p. 288. HEEREN.

y μετηγμένον] μεμιγμένον V.

z Σκοποὺς δ' ὑποτίθεσθαι τῆς ἐφεσεως V. A.

ib. Aristoteles nempe. Videndus est de his in libro de Rhetor. I. —ἐφέσεως sic recte codd. V. A. E. pro φύσεως ap. Cant. Est enim ἔφεσις *excitatio appetitus, et initium actionis ad eum sedandum*. HEEREN.

a ἡδέος] ἡδέως A.

b De *honesto* agit Stagirites de Rhet. I. 9. De *utili* et *jucundo* videndus est l. c. cap. 11. HEEREN.

c ἀρετῆς] τῆς ἀρετῆς V. A.

d Habent Cant. et codd. καθ' ὃ ἐπαινετὸν, καὶ τὸ παρέχειν ἐπαινετοὺς, nullo commodo sensu. Rescripsi καὶ τὸ ἐπαινετὸν, secutus ipsum Aristotel. Rhet. I. 6. ubi τὸ ἐπαινετὸν expresse bonis annumerat; et tunc, καὶ τὸ παρέχον ἐπαινετοὺς, nam si bonum est laudari, bona quoque esse debent, quæ laudem conciliant. HEEREN.

e καὶ τὸ] ἢ τὸ παρέχειν V. A.

f πρὸς] τὸ πρὸς Heeren.

g Habent Cant. et codd. συμπαρατείνοι [συμπαρατείνει A.] δ' ἂν ἡ εὔνοια καὶ πρὸς τὸ εὖ ζῆν, nullo sensu. Pro εὔνοια rescripsi ἔννοια,

παρατείνοι δ' ἂν ἡ ἔννοια καὶ πρὸς τὸ εὖ ζῆν. [h]Ταῦτα δ' ἐστι τὰ κατὰ φύσιν ψυχῆς καὶ [i]σώματος, περὶ ὧν προείρηται. Ἡδὺ δ' ἐστὶν οἰκεῖον ψυχῆς καὶ σώματος πάθος, [k]εἰς τὸ κατὰ φύσιν ἐκ τοῦ παρὰ φύσιν ἀγωγὸν, ὥσπερ ὁ Πλάτων ἐν τῷ [l]Τιμαίῳ [m]ὡρίσατο.

[n]Ἀριστοτέλης ἐν τῷ δεκάτῳ τῶν Νικομαχιῶν Εὔδοξον τὸν ἀστρόλογον οἴεται τέλος δογματίζειν τὴν ἡδονήν.

Δημόκριτος καὶ Πλάτων [o]κοινῶς ἐν τῇ ψυχῇ τὴν εὐδαι-
[II. 76] μονίαν [p]τίθενται. [q]Γέγραφε δ' ὁ μὲν οὕτως· Εὐδαιμονίη ψυχῆς καὶ κακοδαιμονίη· [r]Εὐδαιμονίη οὐκ ἐν βοσκήμασιν οἰκεῖ, οὐδ' ἐν χρυσῷ, [s]ψυχὴ οἰκητήριον δαίμονος· [t]τὴν δ' [u]εὐθυμίαν, καὶ εὐεστὼ, καὶ ἁρμονίαν, [x]συμμετρίαν τε καὶ

sententiam philosophi ita amplificandam esse, ut non modo quod ad vivendum, sed et quod ad bene vivendum opus sit, utile dicat. HEEREN.

[h] Ταῦτα τάδ'] ταῦτα δ' A. τάδ' Heeren.

ib. Τάδ' ἐστι] δ' ἐστι τὰ κατὰ φύσιν ψυχῆς καὶ σώματος V. A.

[i] σώματος—ψυχῆς καὶ bis in A.

[k] εἰς τὸν] εἰς τὸ V. A.

[l] Τιμαίῳ] p. 64. Τὸ μὲν παρὰ φύσιν καὶ βίαιον γιγνόμενον ἀθρόον παρ' ἡμῖν πάθος ἀλγεινόν· τὸ δ' εἰς φύσιν ἀπιὸν πάλιν ἀθρόον, ἡδύ· τὸ δ' ἐναντίον τούτοις ἐναντίον. HEEREN.

[m] Post ὡρίσατο addunt Ἀριστοτέλης ἐν τῷ δεκάτῳ τῶν νικομαχιῶν, εὔδοξον τὸν ἀστρόλογον οἴεται τέλος δογματίζειν τὴν ἡδονὴν, Δημόκριτος etc. V. A.

[n] Disputat de hoc Eudoxi placito Aristoteles Ethic. l. X. c. 2. HEEREN.

[o] κείνως] κοινῶς V. A.

[p] τίθενται] τίθεται V. A.

[q] Γέγραφε] Recte refinxisse mihi videor: γέγραφε—οὕτως ἐν τῷ περὶ εὐδαιμονίης ψυχῆς καὶ κακοδαιμονίης· Εὐδαιμονίη οὐκ ἐν βοσκήμασιν οἰκέει etc. *Democritus in libro de felicitate et infelicitate: Felicitas* etc. ita nempe ut unus ex ὑπομνημάτων libris sic inscriptus fuerit. Οἰκέει pro οἰκεῖ flagitat dialectus Ionica. HEEREN.

[r] Ante οὐκ add. εὐδαιμονίη V. A.

[s] ψυχῇ οἰκήτερον] ψυχὴ οἰκητήριον V. A.

[t] τὴν δὲ] τὴν καὶ Heeren.

[u] εὐθυμίαν] Cic. de Fin. V. 8. *Democriti autem securitas, quæ est animi tamquam tranquillitas, quam appellat* εὐθυμίαν—*ea ipsa est beata vita.* Variis autem nominibus eum hanc insignivisse, testis est Diog. IX. 45. Τέλος δὲ εἶναι τὴν εὐθυμίαν, οὐ τὴν αὐτὴν οὖσαν τῇ ἡδονῇ, ἀλλὰ καθ' ἣν γαληνῶς καὶ εὐσταθῶς ἡ ψυχὴ διάγει, ὑπὸ μηδενὸς ταραττομένη φόβου, ἢ δεισιδαιμονίας, ἢ ἄλλου τινὸς πάθους. Καλεῖ δ' αὐτὴν καὶ εὐεστὼ, καὶ ἄλλοις πολλοῖς ὀνόμασι, quæ Stobæus enumerat. HEEREN. Vide quæ ad eum locum collegit Menagius.

[x] Post συμμετρίαν add. τε V. A.

[y]ἀταραξίαν καλεῖ· συνίστασθαι δ' αὐτὴν ἐκ τοῦ διορισμοῦ καὶ τῆς διακρίσεως τῶν ἡδονῶν· καὶ τοῦτ' εἶναι τὸ κάλλιστόν [z]τε καὶ συμφορώτατον ἀνθρώποις. Ὁ δὲ Πλάτων [a]τῷ Δημοκρίτῳ κατὰ ταὐτὸ συνάδων γράφει, περὶ τοῦ κυριωτάτου [b]τῶν ἐν ἡμῖν [c]δεῖν ὑπολαβεῖν ὡς ἄρ' αὐτὸ δαίμονα ἡμῖν [d]δέδωκεν [ὁ θεὸς], ὅθεν καὶ ἐν αὐτῷ τὸ εὐδαιμον· λέγει δὲ τοῦτ' ἐν τῷ [e]ἡγεμονικῷ τῆς ψυχῆς ἕξιν τινὰ ποιὰν καὶ διάθεσιν· τούτου δὲ τἀγαθοῦ τὰ μὲν πάθη κατάρχειν,
[II. 78] ὅρον δὲ καὶ πέρας εἶναι τὸν λογισμόν. Ἀκούειν γοῦν πάρεστι· [f]Δύο γὰρ αὗται [g]φύσει πηγαὶ [h]μεθεῖνται ῥεῖν, ἡδονὴ καὶ λύπη, ὧν [i]ὁ μὲν ἀρυτόμενος [ὅθεν τε δεῖ καὶ ὁπότε καὶ ὁπόσον] εὐδαιμονεῖ, ὁ δὲ μή, τοὐναντίον. Ἐν μὲν τοίνυν τῷ τὴν ἡδονὴν καὶ τὴν λύπην ὀνομάσαι, [k]τὴν ἀπὸ τῶν παθῶν συνίστησι τῆς εὐδαιμονίας ἀρχήν· ἐν δὲ τῷ τὸν [l]ἀρυτόμενον ὅθεν τε δεῖ, καὶ ὅπη, καὶ ὅπως, εὐδαιμονεῖν, τὸ τῷ [m]λογικῷ διοριστικὸν [n]εἴρηκε τῆς εὐδαιμονίας. Κατὰ τοῦτο μὲν οὖν ἀλλήλοις συμφέρονται· καθὰ δὲ [o]Πλάτων μὲν ἐν τῇ εὐλο- p. 165.
γιστίᾳ τίθεται τὸ προηγούμενον ἀγαθὸν καὶ δι' αὐτὸ αἱρετὸν, ἐν δὲ τῇ ἡδονῇ τὸ ἐπιγεννηματικὸν, ὅπερ οἴεται καὶτὸς εἶναι χαράν τε καὶ ἀταραξίαν συνωνύμως, ἐξ ἑπακολουθήματος [p]διαφέρουσι.]

y ἀταραξίαν] ἀταξίαν A.

z τε καὶ] τε om. Heeren.

a τῷ Δημοκρίτῳ] τῶν Δημοκρίτων A. Mox ταυτὸ Heeren. pro τοῦτο.

b Ante ἐν add. τῶν V. A.

c δεῖν—ἡμῖν om. A. Mox ὁ θεὸς de suo supplevit Heeren.

d ἔδωκεν] δέδωκεν V. A.

e ἡγεμονικῷ] εὐδαιμονικῷ V.

f Δύο] Plato Legg. I. p. 636. δύο γὰρ αὗται πηγαὶ μεθεῖνται φύσει ῥεῖν· ὧν ὁ μὲν ἀρυτόμενος ὅθεν τε δεῖ καὶ ὁπότε καὶ ὁπόσον, εὐδαιμονεῖ· καὶ πόλις ὁμοίως καὶ ἰδιώτης, καὶ ζῷον ἅπαν· ὁ δ' ἀνεπιστημόνως ἅμα καὶ ἐκτὸς τῶν καιρῶν, τἀναντία ἂν ἐκείνῳ ζώῃ. HEEREN.

g φύσει] φύσεισ A.

h μεθεῖν ταιρεῖν sic V. μεθεῖντ᾽αι A.

i ὁ μὲν ἀρυτοδαίμονι] ὁ μὲν εὖ ἀρυττόμενος εὐδαιμονεῖ Heeren. Equidem malim ob sequentia Platonis verba inserere ὅθεν τε δεῖ καὶ ὁπότε καὶ ὁπόσον.

k τῶν ἀπὸ] τὴν ἀπὸ V. A.

l ἀρυττόμενον] ἀρυτοδαίμονα A. Cant.

m λογικῷ] λογιστικῷ V. A.

n εἴρηκεν] εἴρηται V. εἴρηκε A.

o Post Πλάτων add. μὲν A.

p Supplevi διαφέρουσι. HEE-

4 Περὶ ἀγαθῶν καὶ κακῶν.

Ἀγαθόν ἐστιν ἀφ' οὗ συμβαίνει τὸ ὠφελεῖσθαι[a]· καὶ οὗ πάντ' ἐφίεται τὰ λόγον ἔχοντα προηγουμένως· καὶ ὃ ἤτοι κατὰ φύσιν ἐστὶν, ἢ ποιητικὸν τοῦ κατὰ φύσιν· καὶ τὸ ὀρεκτικὸν κατὰ φύσιν· καὶ τὸ κινητικὸν τῆς κατὰ φύσιν ἐχούσης ὀρέξεως, καὶ καθ' ὃ ἕκαστον εὖ ἔχει ὅσον ἐπὶ τῇ [b]ἐκείνου παρουσίᾳ, ἢ ποιητικόν ἐστι τοῦ τοιούτου· καὶ ὃ [c]ἤτοι δι' αὐτό ἐστιν αἱρετὸν, [d]ἢ τοῦ αἱρετοῦ ποιητικόν· [e]καὶ ὃ ἤτοι εὐδαιμονία ἐστὶν, [f]ἢ συμβαλλόμενον πρὸς εὐδαιμονίαν· καὶ καθάπερ [g]Στράτων, [h]τὸ τελειοῦν τὴν δύναμιν, δι' ἣν τῆς [i]ἐνεργείας τυγχάνομεν· καὶ τὸ [k]σωστικὸν τῆς ἑκάστου οὐσίας, [l]καθοραθήσεται τῶν κατὰ μέρος τὰ μετέχοντα τῆς τοιαύτης δυνάμεως, καὶ πολλαχῶς [m]ἄλλως.

Πλάτων δὲ [n]τοιαύτῃ χρῆται διαιρέσει, θήσω δὲ κατὰ λέξιν ἐκ τοῦ πρώτου τῶν Νόμων, καὶ διὰ τὸ κάλλος τῆς φράσεως, καὶ διὰ τὴν σαφήνειαν[o]· [p]Διττὰ δ' ἀγαθά ἐστι, τὰ μὲν ἀνθρώπινα, τὰ δὲ θεῖα, [q]ἤρτηται δ' ἐκ τῶν θείων θάτερα, [r]καὶ ἐὰν

REN. Scil. secundum Canteri versionem Latinam, qui reddidit *necessario discrepant.*

4.

[a] Quæ hic sequuntur *boni* descriptiones ex Stoicorum maxime scriptis petita sunt. Cf. Lips. in Manud. Stoica Op. IV. p. 484. Conferendæ tamen sunt cum iis explicationes quas Aristotel. Rhet. I. 6. exhibet. HEEREN.

[b] ἐκείνου] κείνου A.

[c] ἤ τι] ἤ τοι A.

[d] καὶ] ἢ A.

[e] ἢ ὁ ἤτι] καὶ ὁ ἤτοι A.

[f] ὁ] ἢ A.

[g] Στράτωρ] Στράτων A.

[h] τὸ τέλει οὐ] τὸ τελειοῦν A. qui mox ἣν pro ἧς.

[i] εὐλογείας] ἐνεργείας A.

[k] σωστικὸν] σωματικὸν A.

[l] καθοραθήσεται τῶν κατὰ μέρος] Heeren. edidit καθὸ κρατήσει τῶν μερῶν. Restitui καθοραθήσεται in quo aliud quiddam delitescere arbitror.

[m] ἄλλως] ἄλλων A.

[n] τῇ αὐτῇ] τοιαύτῃ V. A.

[o] Verba Platonis quæ sequuntur exstant de Leg. I. Op. II. p. 631. In ed. Cant. tamen magna hic est lacuna. Non enim modo ex loco Platonis prima tantum verba leguntur, sed desunt quoque quæ sequuntur Πλάτων πολύφωνος ὢν etc. usque ad μεταλήψει δὲ τῆς ἡλιακῆς αὐγῆς φωτίζεται. Supplent hæc codd. V. A. E. ex quibus ea revocavi. HEEREN.

[p] Διττὰ] διπλᾶ Plato.

[q] εἴρηται] ἤρτηται V. A.

[r] Plat. καὶ ἐὰν μὲν δέχηταί τις τὰ μείζονα πόλις, κτᾶται καὶ τὰ ἐλάττονα. HEEREN.

δέχηταί τις τὰ μείζονα, παρίστασθαι καὶ τὰ ἐλάττονα, εἰ δὲ μή, στέρεται ἀμφοῖν. Ἔστι δὲ [s]τὰ μὲν ἐλάττονα, ὧν ἡγεῖται μὲν ὑγεία· κάλλος δὲ δεύτερον, τὸ δὲ τρίτον ἰσχὺς εἴς τε δρόμον καὶ εἰς τὰς ἄλλας πάσας κινήσεις τῷ σώματι, τέταρτον δὲ δὴ πλοῦτος, οὐ τυφλὸς, ἀλλ' [t]ὀξὺ βλέπων, ἄν περ ἅμ' ἕπηται φρονήσει. Ὁ δὴ πρῶτον αὖ τῶν θείων ἡγεμονοῦν ἐστιν ἀγαθῶν, ἡ φρόνησις· δεύτερον δὲ μετὰ νοῦν σώφρων ψυχῆς ἕξις· ἐκ δὲ τούτων μετ' ἀνδρείας κραθέντων τρίτον ἂν εἴη δικαιοσύνη, τέταρτον ἀνδρεία. Ταῦτα δὲ πάντα ἐκείνων ἔμπροσθεν τέτακται φύσει, καὶ δὴ καὶ τῷ νομοθέτῃ τακτέον οὕτως.

Ἔτι καὶ τοῦτον [u]ἐνδιαστέλλομαι τὸν τρόπον· Πλάτων πολύφωνος ὢν, οὐχ ὥς τινες οἴονται πολύδοξος, πολλαχῶς διήρηται τἀγαθόν. Διχῶς μὲν τῷ γένει τῶν ἀγαθῶν· τὰ μὲν θεῖα, τὰ δ' ἀνθρώπινα. Θεῖα μὲν τὰς περὶ τὴν ψυχὴν
[II. 84] ἀρετὰς λέγων, ἀνθρώπινα δὲ, τὰς περὶ τὸ σωματικὸν μέρος εὐεξίας, καὶ τὰς ἀπὸ τῶν ἐκτὸς λεγομένων εὐπορίας. Τριχῶς δὲ τοῖς· τόποις. Τῶν γὰρ ἀγαθῶν [x]τὰ μὲν περὶ ψυχὴν, τὰ δὲ περὶ [y]σῶμα, τὰ δ' ἐν τοῖς ἐκτὸς, ἃ ἀρετὰς εἴποις ἂν καὶ [z]εὐπορίας καὶ εὐεξίας. Πενταχῶς δὲ τοῖς εἴδεσι. Πρῶτον μὲν γὰρ [a]ἀγαθὸν τὴν ἰδέαν αὐτὴν ἀποφαίνεται, ὅπερ ἐστὶ θεῖον καὶ χωριστόν· δεύτερον δὲ τὸ [b]ἐκ φρονήσεως καὶ ἡδονῆς σύνθετον, ὅπερ [c]ἐνίοις δοκεῖ κατ' [d]αὐτὸ εἶναι τέλος τῆς ἀνθρωπίνου ζωῆς· τρίτον αὐτὴν καθ' αὐτὴν τὴν φρόνησιν· τέταρτον [e]τὸ ἐκ τῶν ἐπιστημῶν καὶ τεχνῶν σύνθετον· πέμ-

[s] τὰ μὲν om. Heeren.

[t] ὀξὺ βλέπων revocavi ex Plat. pro ξυμβλέπων in codd. ut et mox κραθέντων, *cum mixta fuerint*, pro κριθέντων. HEEREN. ὀξὺ βλέπων A.

[u] ἐνδιαστέλλομαι] ἐνδιατελοῦμαι A.

[x] τὰς μὲν—τὰς δὲ—τὰς δὲ] τὰ μὲν—τὰ δὲ—τὰ δὲ Heeren. qui ἃ inserit ante ἀρετάς.

[y] σῶμα] σώματα A.

[z] εὐπορίας] ἐμπορίας A.

[a] τἀγαθὸν] Sic Heeren. ἀγαθὸν A.

ib. Vel supplendum vel saltem subintelligendum hic est ἀγαθοῦ. Sensus enim est, *Platonem sub bono primum intellexisse ideam boni;* de quo copiose in Phædone multisque aliis locis disputat. HEEREN.

[b] ἐκ φρονήσεως] ἐκφωνήσεως A.

[c] ἐνίοις δοκεῖ, *sunt quibus videtur*, edidi pro ἐν οἷς δοκεῖ in codd. HEEREN.

[d] αὐτὸ] αὐτὸν A. qui mox ἀνθρωπίου.

[e] τὸ] τῶν A.

πτον αὐτὴν καθ' αὐτὴν τὴν ἡδονήν. Ταύταις κέχρηται ταῖς διαστολαῖς ἐν τῷ πρώτῳ τῶν Νόμων μάλιστα [f]κἀν τῷ Φιλήβῳ[g].

Ἄλλως· Μόνον μὲν τὸ καλὸν ἀγαθὸν, [h]καθότι τῶν ὄντων οὐδὲν ἀγαθὸν, εἰ [i]μή τι μεταλάβοι τῆς ἀρετῆς, ὥσπερ ὁ δαλὸς καὶ ὁ σίδηρος τοῦ πυρὸς, οὗ χωρὶς οὐδὲν ἁπλῶς θερμόν.

[II. 86] Μέτα δ' ἄλλων ἀγαθῶν, τῶν τριῶν γενῶν, ὅτι μετείληφεν αὐτοῦ τὰ δύο, τὰ σωματικὰ σὺν τοῖς ἐκτός. Ὡς γὰρ τῆς σελήνης [k]ἀφώτιστος μὲν ἡ οὐσία καθ' αὐτὴν, μεταλήψει δὲ τῆς ἡλιακῆς αὐγῆς φωτίζεται, οὕτως οὐδὲν ὃ μὴ μετέχει τῆς ἀρετῆς ἀγαθόν. Τοῖς γὰρ ἀνθρωπίνοις τὸ δύνασθαι ὠφελεῖν ἐκ τῶν θείων πάρεστιν. 22

Ἀριστοτέλης τὴν [l]μὲν τριάδα τῶν ἀγαθῶν καὐτὸς ὁμοίως Πλάτωνι κατὰ τοὺς [m]τόπους. Ἔτι τῶν ἀγαθῶν τὰ μέν ἐστι δι' [n]ἑαυτὰ αἱρετὰ, [o]τὰ δὲ δι' ἕτερα. Δι' ἑαυτὰ μὲν οὖν ἐστὶν αἱρετὰ, ὅσα πρὸς τὴν αἵρεσιν αὐτῶν [p]οὐ δι' ἄλλο τι κινεῖ ἢ προτρέπεται· τοιαῦτα δ' ἐστὶν [q]οἷον εὐδαιμονία, καὶ [r]τὸ γένος τῶν ἀρετῶν, καὶ τὰ σωματικὰ [s]τῶν κατὰ φύσιν, ὑγιεία, εὐεξία, εὐαισθησία, κάλλος, τάχος, ἀρτιότης, ἰσχὺς, τὰ παραπλήσια τούτοις, καὶ τῶν σωματικῶν ἡδοναὶ, αἱ μηδεμίαν βλάβην ἐπιφέρουσαι. Ταῦτα γὰρ ὁ νοῦν ἔχων ἕλοιτ' ἂν αὐτὰ, κἂν μηδὲν ἄλλο κεχωρισμένον [t]αὐτῶν περιποιῇ. Δι' ἄλλα δ' ἐστὶν αἱρετὰ, τὰ δι' ἕτερόν τι κεχω-

[f] κἀν τῷ] κἀυτῷ A.

[g] Vide bonorum divisionem quam proponit de Leg. I. Op. II. p. 631. cum quibus conferenda sunt, quæ disputat in Philebo, Op. II. p. 55. HEEREN.

[h] καθότι om. A.

[i] μὴ] μή τι A. qui mox οὐδὲ.

[k] ἀφώτιστος] ἀφώτιστον A.

[l] μὲν] ἐν A.

[m] τόπους] Sic Heeren. τρόπους A. Cant.

[n] Post ἑαυτὰ add. αἱρετά. τὰ δὲ etc. V. A.

[o] τὰ δὲ—αἱρετὰ om. A.

[p] οὐ δι' etc.] οὐδ' ἄλλο τι κινεῖ ἢ προτρέπεται V. A.

[q] ἥτ'] οἷον A. V.

[r] γένος] τὸ γένος V. A.

[s] κατὰ φύσιν] τῶν κατὰ φύσιν V. A.

[t] αὐτῶν—κεχωρισμένον om. A.

[II. 88] ρισμένον αὐτῶν προκαλούμενα πρὸς τὴν αἵρεσιν, περίπατος, γυμνασία, μάθησις, ἀνάγνωσις, [u]ἰατρεῖαι, θεραπεῖαι, τροφαὶ, σκέπαι. Τούτων γὰρ οὐδὲν [x]δι' αὐτὸ ληπτὸν, κατὰ δὲ τὴν ἀναφορὰν τὴν ἐφ' ἃ παρέχεται.

[y]Εἰ πᾶν τὸ καλὸν δι' αὐτὸ αἱρετόν;

Κατὰ μὲν Πλάτωνα πᾶν. Καὶ γὰρ ἀρετὴν πᾶσαν, καὶ τὴν καθ' ἑκάστην ἕξιν σπουδαίαν, καὶ τὴν ἐνέργειαν, [z]ἥτις ἐστὶ πρᾶξις μετὰ λόγου. Ὠνομάσθη [a]γοῦν καλὸν, ὅτι κλητικόν ἐστιν ἐφ' αὐτό[b]. Τῷ δ' Ἀριστοτέλει δοκεῖ τὰς μὲν ἕξεις οὐκ εἶναι δι' αὐτὰς αἱρετὰς, δι' ἄλλο γάρ τι, τὴν ἐνέργειαν. Πᾶσα γὰρ ἕξις διὰ ταύτην, [c]ὥστε τὸ οὗ ἕνεκα, τοῦτο δὲ δι' αὐτὸ αἱρετὸν, ὕπαρξις, ἡ χρῆσις, καὶ τέλος τοῦ βίου. Καὶ τὴν εὐδαιμονίαν [d]οὗτος μὲν ἀπὸ τῆς χρήσεως ἀναφωνεῖ, Πλάτων δὲ καὶ ἀπὸ τῆς [e]κτήσεως. Ἀλλ' ὁ μὲν πρεσβύτερος ἐν τοῖς Νόμοις, καὶ ἐν τῷ Τιμαίῳ, καί τισιν ἄλλοις ταῦτα κεχώρηκεν, ὁ δὲ νεώτερος ἐν τοῖς [f]Ηθικοῖς.

5 Ζήνωνος καὶ τῶν λοιπῶν Στωϊκῶν δόγματα περὶ τοῦ ἠθικοῦ μέρους τῆς φιλοσοφίας. p. 166.

[II. 90] Περὶ δὲ τῶν ἠθικῶν ἑξῆς ποιήσομαι τὸν ὑπομνηματισμὸν,

[u] ἰατρείαι] ἰατρεῖα V. ἰκτρείας A.

[x] δι' αὐτοῦ] δι' αὐτὸ V. A.

[y] Εἰ πᾶν τὸ καλὸν παρέχεται] Εἰ πᾶν τὸ καλὸν δι' αὐτὸ αἱρετὸν V. A.

[z] ἥτις] εἴτις A. qui mox λόγον.

[a] οὖν] γοῦν V. A.

[b] Proponit hanc τοῦ καλοῦ etymologiam Plato in Cratylo Op. I. p. 416. Ad καθ' ἑκάστην subintelligendum ἀρετήν. HEEREN.

[c] ὥστε τοῦ οὗ ἕνεκα, τοῦτο δι' αὐτὸ αἱρετὸν] Rescripsi ὥστε τὸ οὗ ἕνεκα, *ut id cujus causa eligendum est*, et, τοῦτο δὲ δι' αὐτὸ αἱρετὸν, *hoc vero*, nempe cujus causa aliquid eligitur, *per se*. Post αἱρετὸν nescio num exciderit οἷον, quod nisi suppleas, certe subintelligendum est. HEEREN.

[d] οὗτος] οὕτως V.

[e] κτήσεως] κτίσεως A.

[f] Post ἠθικοῖς subjungitur tum in Cant. ed. tum in codd. nova paragraphus, inscripta περὶ δόξης, *de opinione*, locum Platonis continens, ex libris de Republ. III. Op. II. p. 413. Φαίνεταί μοι δόξα rel. usque ad ὀρθῶς λέγεις. Verum caput περὶ δόξης supra jam affuit libro I. [p. 154, 6. ed. Cant.] ubi idem quoque locus Platonis jam exhibitus est. Male itaque ea hic repetita esse, (forte cum casu margini adscripta essent, in con-

τὰ κεφάλαια τῶν ἀναγκαίων δογμάτων ἀναλαβών. Ἄρξομαι δ' ἐντεῦθεν·

Ταῦτ' εἶναί φησιν ὁ Ζήνων, [a]ὅσα οὐσίας μετέχει· τῶν [b]δ' ὄντων τὰ μὲν εἶναι ἀγαθὰ, τὰ δὲ κακὰ, τὰ δὲ ἀδιάφορα. Ἀγαθὰ μὲν τὰ τοιαῦτα· φρόνησιν, δικαιοσύνην, [c]σωφροσύνην, ἀνδρείαν, καὶ πᾶν ὅ ἐστιν ἀρετὴ ἢ μετέχον ἀρετῆς· κακὰ δὲ, τὰ τοιαῦτα· ἀφροσύνην, ἀκολασίαν, δειλίαν, ἀδικίαν, καὶ πᾶν ὅ ἐστι κακία ἢ μετέχον κακίας·
[II. 92] ἀδιάφορα δὲ [d]τὰ τοιαῦτα· ζωὴν, θάνατον, δόξαν, ἀδοξίαν, πόνον, ἡδονὴν, πλοῦτον, πενίαν, νόσον, ὑγείαν, καὶ τὰ τούτοις ὅμοια. Τῶν δ' ἀγαθῶν τὰ μὲν εἶναι ἀρετὰς, τὰ δ' οὔ. Φρόνησιν μὲν οὖν καὶ [e]σωφροσύνην καὶ ἀνδρείαν ἀρετάς· χαρὰν δὲ, καὶ εὐφροσύνην, καὶ θάρσος, καὶ βούλησιν, καὶ τὰ παραπλήσια, οὐκ εἶναι ἀρετάς. Τῶν δ' ἀρετῶν τὰς μὲν ἐπιστήμας τινῶν καὶ τέχνας, τὰς δ' οὔ. Φρόνησιν μὲν οὖν καὶ σωφροσύνην, καὶ ἀνδρείαν, καὶ δικαιοσύνην ἐπιστήμας εἶναι τινῶν καὶ τέχνας· [f]μεγαλοψυχίαν δὲ, καὶ ῥώμην, καὶ ἰσχὺν ψυχῆς, [g]οὔτ' ἐπιστήμας τινῶν εἶναι, οὔτε τέχνας. [h]Ἀνάλογον δὲ καὶ τῶν κακῶν τὰ μὲν εἶναι κακίας, τὰ δ' οὔ. Ἀφροσύνην μὲν οὖν, καὶ ἀκολασίαν, καὶ [i]ἀδικίαν, καὶ δειλίαν, καὶ μικροψυχίαν, καὶ ἀδυναμίαν [k]κακίας εἶναι· λύπην δὲ, καὶ φόβον, καὶ τὰ παραπλήσια οὐκ εἶναι κακίας. Τῶν δὲ [l]κακιῶν τὰς μὲν εἶναι ἀγνοίας τινῶν, καὶ ἀτεχνίας,

textum recepta,) satis patet, etsi in codd. nostris nullum amplius erroris indicium. Excludenda itaque ea duxi. HEEREN.

5.

[a] ὃ] ὅσα A.

[b] δ' ὄντων] ὑδάτων A. Mox εἶναι inseruit Heeren.

[c] σωφροσύνην om. Heeren. Mox δειλίαν ἀδικίαν A.

[d] τοιαῦτα] τὰ τοιαῦτα V. A.

[e] Post σωφροσύνην add. καὶ ἀνδρείαν, ἀρετάς. Χάραν δὲ καὶ εὐφροσύνην καὶ θάρσος etc. V. A.

[f] καὶ ante μεγαλ. deest V. A.

[g] οὔτ' ἐ. ἐ. τ. καὶ τ.] οὔτ' ἐπιστήμας τινῶν εἶναι, οὔτε τέχνας. Ἀνάλογον δὲ etc. V. A.

[h] Ἀνάλογον] ἀναλογικὸν Cunt.

[i] Post ἀδικίαν add. καὶ δειλίαν V. A.

[k] κακίαν] κακίας V. A.

[l] κακῶν] κακιῶν Heeren.

τὰς δ' οὔ. Ἀφροσύνην μὲν οὖν καὶ ἀκολασίαν καὶ ἀδικίαν καὶ [m]δειλίαν ἀγνοίας εἶναι τινῶν καὶ ἀτεχνίας· μικρο-
[II. 94] ψυχίαν δὲ, καὶ ἀδυναμίαν, οὔτε ἀγνοίας τινῶν οὔτε ἀτεχνίας. Ἔτι δὲ τῶν ἀγαθῶν τὰ μὲν πᾶσι τοῖς [n]φρονίμοις ὑπάρχειν, [o]καὶ ἀεὶ, τὰ δὲ οὔ. Ἀρετὴν μὲν οὖν πᾶσαν καὶ [p]φρονίμην αἴσθησιν καὶ φρονίμην ὁρμὴν καὶ τὰ ὅμοια πᾶσι τοῖς φρονίμοις ὑπάρχειν, καὶ ἐν παντὶ καιρῷ· χαρὰν δὲ, καὶ εὐφροσύνην, καὶ [q]φρονίμην [r]περιπάτησιν, οὔτε πᾶσι τοῖς φρονίμοις [s]ὑπάρχειν, οὔτ' ἀεί. Ἀνάλογον δὲ καὶ τῶν κακῶν, τὰ μὲν πᾶσι τοῖς ἄφροσιν ὑπάρχει καὶ ἀεὶ, τὰ δ' οὔ. Κακίαν μὲν οὖν πᾶσαν, καὶ ἄφρονα αἴσθησιν, καὶ ἄφρονα ὁρμὴν, καὶ τὰ παραπλήσια, πᾶσι τοῖς ἄφροσιν ὑπάρχειν [t]καὶ ἀεί· λύπην δὲ, καὶ φόβον, καὶ ἄφρονα ἀπόκρισιν, οὔτε πᾶσι τοῖς ἄφροσιν ὑπάρχειν, οὔτε παντὶ καιρῷ.

[u]Πάντα δὲ τἀγαθὰ ὠφέλιμα εἶναι καὶ χρηστὰ, καὶ συμφέροντα, καὶ [x]λυσιτελῆ, καὶ σπουδαῖα, καὶ πρέποντα, καὶ καλὰ, καὶ οἰκεῖα· τὰ δὲ κακὰ ἐκ τῶν ἐναντίων πάντα
[II. 96] βλαβερὰ, καὶ δύσχρηστα, καὶ ἀσύμφορα, καὶ ἀλυσιτελῆ,

[m] Post δειλίαν add. ἀγνοίας εἶναι τινῶν καὶ ἀτεχνίας· μικροψυχίαν δὲ καὶ ἀδυναμίαν οὔτε ἀγνοίας τινῶν οὔτε ἀτεχνίας. Ἔτι δὲ τῶν etc. V. A.

[n] φρονίμοις] φρονίμοις A.

[o] καὶ ἀεὶ edidi pro καὶ τῶν ἀεὶ. HEEREN.

[p] φρονίμην] φρόνησιν A.

[q] μόνην] φρονίμην V. A.

[r] περιπάτησιν] In enumeratione malorum infra legimus ἄφρονα ἀπόκρισιν: quare ἐρώτησιν h. l. reponere velit Heeren. Sed vide Rossium in Comment. Laërt. p. 138. 139. qui recte monet περιπάτησιν significare *sermones* quos philosophi habebant in porticu deambulantes. Vid. infra p. 167, 22. ed. Cant.

[s] ἔστι] ὑπάρχειν V. A.

[t] καὶ, sensu postulante, supplevi. HEEREN.

[u] Πάντα] παντὶ V. A.

ib. Conferenda sunt cum his maxime quæ Diog. Laërt. VII. I. 59. habet, Πᾶν δὲ ἀγαθὸν συμφέρον εἶναι, καὶ δέον, καὶ λυσιτελὲς, καὶ χρήσιμον, καὶ εὔχρηστον, καὶ καλὸν, καὶ ὠφέλιμον, καὶ αἱρετὸν, καὶ δίκαιον. Singula hæc explicat Diogenes, ut adeo locus ejus nostro instar commentarii sit, ad quem relegamus lectores. HEEREN.

[x] ἀλυσιτελῆ] λυσιτελῆ in marg. ἴσως ἀλυσιτελῆ V.

καὶ φαῦλα, καὶ ἀνοικεῖα, καὶ ἀπρεπῆ, καὶ αἰσχρά. [y]Τὸ δ' ἀγαθὸν λέγεσθαί φασι πλεοναχῶς, τὸ μὲν πρῶτον, οἷον πηγῆς ἔχον χώραν, ὅπερ οὕτως [z]ἀποδεδόσθαι, ἀφ' οὗ συμβαίνει ὠφελεῖσθαι, (τὸ δὲ [a]πρῶτον εἶναι αἴτιον,) [b]ἢ ὑφ' οὗ· τὸ δεύτερον, καθ' ὃ συμβαίνει ὠφελεῖσθαι· [c]κοινότατον δὲ, καὶ ἐπιδιατεῖνον καὶ ἐπὶ τὰ προειρημένα, τὸ [d]οἷόν τε ὠφελεῖν. Ὁμοίως δὲ καὶ τὸ [e]κακὸν κατὰ τὴν τῶν ἀγαθῶν
[II. 98] ἀναλογίαν ὑπογράφεσθαι. Τὸ μὲν οὖν ἀφ' οὗ συμβαίνει βλάπτεσθαι [f]ἢ ὑφ' οὗ· τὸ δὲ καθ' οὗ συμβαίνει βλάπτεσθαι [f]ἢ ὑφ' οὗ· τὸ δὲ καθ' οὗ συμβαίνει βλάπτεσθαι· κοινότερον δὲ τούτων τὸ [g]οἷόν τε βλάπτειν. Τῶν δ' ἀγαθῶν τὰ μὲν εἶναι περὶ ψυχὴν, τὰ δ' ἐκτὸς, τὰ δ' οὔτε περὶ ψυχὴν οὔτ' [h]ἐκτός. Περὶ ψυχὴν μὲν τὰς ἀρετὰς καὶ σπουδαίας ἕξεις, καὶ καθόλου τὰς ἐπαινετὰς ἐνεργείας· ἐκτὸς δὲ τούς τε φίλους, καὶ τοὺς γνωρίμους, καὶ τὰ παραπλήσια· οὔτε δὲ περὶ ψυχὴν οὔτ' ἐκτὸς, τοὺς σπουδαίους καὶ καθόλου [i]τοὺς τὰς ἀρετὰς [k]ἔχοντας· [l]ὁμοίως δὲ καὶ τῶν

y Disertius hæc tradit Sext. Empir. XI. 25. Λέγεται γὰρ ἀγαθὸν, φασὶ, καθ' ἕνα μὲν τρόπον τὸ ὑφ' οὗ ἢ ἀφ' οὗ ἐστιν ὠφελεῖσθαι· ὃ δὴ ἀρχικώτατον ὑπῆρχε καὶ ἀρετή· ἀπὸ γὰρ ταύτης ὥσπερ τινὸς πηγῆς πᾶσα πέφυκεν ἀνίσχειν ὠφέλεια. Καθ' ἕτερον δὲ τὸ καθ' ὃ συμβαίνει ὠφελεῖσθαι· οὕτως οὐ μόνον αἱ ἀρεταὶ λεχθήσονται ἀγαθὰ, ἀλλὰ καὶ αἱ κατ' αὐτὰς πράξεις, εἴπερ καὶ κατὰ ταύτας συμβαίνει ὠφελεῖσθαι. Κατὰ δὲ τὸν τρίτον καὶ τελευταῖον τρόπον λέγεται ἀγαθὸν, τὸ οἷόν τε ὠφελεῖν, ἐμπεριλαμβανούσης τῆς ἀποδόσεως ταύτης τάς τε ἀρετὰς καὶ τὰς ἐναρέτους πράξεις, καὶ τοὺς φίλους καὶ σπουδαίους ἀνθρώπους. HEEREN. Vide Lipsii Manud. Stoic. II. p. 22. Menag. ad Diog. Laërt. VII. 94.

z ἀποδιδόσθαι] ἀποδίδοσθαι A. ἀποδεδόσθαι Heeren.

a πρῶτον] πρώτως V. A. *Atque hoc ut a prima causa* Lipsius.

b καὶ ὑφ'] ἢ ὑφ' Heeren. cum Sexto.

c καινότατον] κοινότατον V. A.

d οἷον] Dedi οἷόν τε cum Sexto.

e κακὸν rescripsi pro κακὸς, ex cod. P. HEEREN. κακὸν V. A.

f Verba ἢ ὑφ'—βλαπτεσθαι desunt V. A.

g οἷον] Et hic inserui τε.

h Post ἐκτὸς add. τοὺς σπουδαίους καὶ καθόλου τὰς ἀρετὰς ἔχοντας V. A.

i τοὺς addidit Heeren.

k ἔχοντας· περὶ ψυχὴν μὲν τὰς ἀρετὰς καὶ σπουδαίας ἕξεις, καὶ καθόλου τὰς ἐπαινετὰς ἐνεργείας—ἔχοντας A. repet. ut supra.

l ὅμοιως] ὅμως A.

κακῶν τὰ μὲν περὶ ψυχὴν, τὰ δ' [m]ἐκτὸς, τὰ δὲ οὔτε περὶ ψυχὴν οὔτ' ἐκτός. Περὶ ψυχὴν μὲν τάς τε [n]κακίας σὺν ταῖς μοχθηραῖς ἕξεσι, καὶ καθόλου τὰς ψεκτὰς ἐνεργείας· ἐκτὸς δὲ τοὺς ἐχθροὺς σὺν τοῖς εἴδεσιν· οὔτε περὶ ψυχὴν οὔτ' ἐκτὸς τοὺς φαύλους, [o]καὶ πάντας τοὺς τὰς κακίας ἔχοντας. Τῶν δὲ περὶ ψυχὴν [p]ἀγαθῶν τὰ μὲν εἶναι [q]ἕξεις, τὰ δὲ διαθέσεις, τὰ δὲ ἕξεις μὲν διαθέσεις δ' οὐ, τὰ δὲ οὔτε ἕξεις οὔτε διαθέσεις. Διαθέσεις μὲν, τὰς ἀρετὰς πάσας, [II.100] ἕξεις δὲ μόνον καὶ οὐ διαθέσεις, τὰ ἐπιτηδεύματα, [r]ὡς τὴν μαντικὴν, καὶ τὰ παραπλήσια· οὔτε δὲ ἕξεις οὔτε διαθέσεις, τὰς κατ' αὐτὰς ἐνεργείας, οἷον φρόνησιν, καὶ τὴν τῆς σωφροσύνης κτῆσιν, καὶ τὰ παραπλήσια. Ὁμοίως δὲ καὶ τῶν περὶ ψυχὴν κακῶν τὰ μὲν [s]εἶναι διαθέσεις, [t]τὰ δ' ἕξεις μὲν διαθέσεις δ' οὐ, τὰ δὲ οὔτε ἕξεις [u]οὔτε διαθέσεις. Διαθέσεις μὲν τὰς κακίας πάσας, ἕξεις δὲ μόνον [x]τὰς δ' εὐκαταφορίας, οἷον τὴν φθονερίαν, τὴν ἐπιλυπίαν, καὶ τὰ ὅμοια, [y]καὶ ἔτι τὰ νοσήματα καὶ ἀρρωστήματα, οἷον [z]φιλ- p. 167.

[m] Post ἐκτὸς add. τὰ δὲ οὔτε περὶ ψυχὴν οὔτ' ἐκτὸς V. A.

[n] κακείας, σὺν] κακίας, καὶ V. κακίας καὶ ταῖς A.

[o] καὶ ante πάντας deest V. A.

[p] ἀγαθῶν etc.] ἀγαθῶν, τὰς μὲν εἶναι διαθέσεις, τὰς δὲ ἕξεις μὲν, διαθέσεις δ' οὐ· τὰς δ' οὔτε ἕξεις οὔτε διαθέσεις. Διαθέσεις μὲν etc. V. A.

[q] ἕξεις, τὰ δὲ excidisse vidit Bakius Posidon. p. 212. collato Diog. Laërt. VII. 98.

[r] ὡς τὴν μαντικὴν edidi pro καὶ τὴν μαντικὴν. HEEREN. οἷον Bakius.

[s] εἶναι] Et hic excidisse putem ἕξεις τὰ δέ.

[t] τὰς] τὰ V. A.

ib. τὰ δ' ἕξεις recte codd. V. A. E. pro τὰς δ' ἕξεις, qui et statim post οὔτε supplent διαθέσεις, quod exciderat. HEEREN.

[u] Post οὔτε add. διαθέσεις V.

[x] τὰς δ' εὐκαταφθορίας] Heerenius τάς γ' εὐκαταφορίας. Diog. Laërt. VII. 115. καὶ ὡς ἐπὶ τοῦ σώματος εὐεμπτωσίαι τινὲς λέγονται οὕτω κἀπὶ τῆς ψυχῆς εἰσιν **εὐκαταφορίαι**, οἷον φθονερία, ἀνελεημοσύνη, ἔριδες, καὶ τὰ παραπλήσια. Ad quem locum Menagius quomodo Stobæus emendandus sit ostendit. Vide infra p. 177, 2. ed. Cant.

[y] καὶ ἐστι] καὶ ἔτι V. A.

[z] Post φιλαργ. add. οἰνοφλυγίαν V. οἰνοφιλλῆγίαν A.

ἀργυρίαν, οἰνοφλυγίαν, καὶ τὰ παραπλήσια. [a]Οὔθ' ἕξεις οὔτε διαθέσεις τὰς κατὰ κακίας ἐνεργείας, οἷον [b]ἀφρόνευσιν, ἀδίκευσιν, καὶ τὰ ταύταις παραπλήσια. Τῶν τε ἀγαθῶν τὰ μὲν εἶναι τελικὰ, τὰ δὲ ποιητικὰ, τὰ δὲ ἀμφοτέρως ἔχοντα[c]. Ὁ [d]μὲν οὖν φρόνιμος ἄνθρωπος καὶ ὁ φίλος ποιητικὰ [e]μόνον ἐστὶν ἀγαθά· χαρὰ δὲ, καὶ εὐφροσύνη, καὶ [II.102] θάρσος, καὶ φρονίμη περιπάτησις, τελικὰ μόνον ἐστὶν ἀγαθά· [f]αἱ δ' ἀρεταὶ πᾶσαι καὶ ποιητικά ἐστιν ἀγαθὰ καὶ τελικὰ, καὶ γὰρ ἀπογεννῶσι τὴν εὐδαιμονίαν καὶ συμπληροῦσι, μέρη αὐτῆς [g]γινόμενα. Ἀνάλογον δὲ καὶ τῶν κακῶν, τὰ μέν [h]ἐστι ποιητικὰ τῆς κακοδαιμονίας, τὰ δὲ τελικὰ, τὰ δὲ ἀμφοτέρως ἔχοντα. Ὁ μὲν οὖν ἄφρων ἄνθρωπος, καὶ ὁ ἐχθρὸς, ποιητικὰ μόνον ἐστὶ κακά· λύπη δὲ, καὶ φόβος, καὶ κλοπὴ, καὶ ἄφρων ἐρώτησις, καὶ τὰ ὅμοια τελικά· αἱ δὲ κακίαι καὶ ποιητικὰ καὶ τελικά ἐστι κακά· ἀπογεννῶσι γὰρ τὴν κακοδαιμονίαν καὶ συμπληροῦσι, μέρη αὐτῆς [g]γινόμενα.

Φρόνησιν δ' εἶναι ἐπιστήμην ὧν ποιητέον καὶ οὐ ποιητέον καὶ οὐδετέρων, ἢ ἐπιστήμην ἀγαθῶν καὶ κακῶν καὶ οὐδετέρων, φύσει πολιτικοῦ ζώου, καὶ ἐπὶ τῶν λοιπῶν δὲ [i]ἀρετῶν οὕτως ἀκούειν παραγγέλλουσι· σωφροσύνην [j]δ' εἶναι ἐπιστήμην [k]αἱρετῶν καὶ φευκτῶν καὶ οὐδετέρων· δικαιοσύνην δὲ [l]ἐπιστήμην ἀπονεμητικὴν τῆς ἀξίας ἑκάστῳ· [II.104] ἀνδρείαν δὲ ἐπιστήμην δεινῶν καὶ οὐ δεινῶν καὶ οὐδετέρων·

[a] Verba οὔθ'—παραπλήσια desunt V.

[b] ἀφρόνευσιν] ἀφρόνευσιν A.

[c] Eandem hanc divisionem explicat Diog. VII. 96. qui cum nostro conferendus. HEEREN.

[d] Post μὲν add. οὖν V. A.

[e] μόνον deest V.

[f] αἱ δ' ἀρεταὶ—ἀγαθὰ om. A.

[g] γινόμενα] γενόμενα ed. Heeren.

[h] ἐστὶ] εἰσὶ V. A.

[i] Post ἀρετῶν add. καὶ φευκτῶν καὶ οὐδετέρων sic V.

[j] δὲ καὶ] δ' εἶναι ed. Heeren.

[k] ἀρετῶν] αἱρετῶν V. A. P.

[l] καὶ ante ἐπιστ. deest E. A.

ἀφροσύνην δὲ [m]ἄγνοιαν ἀγαθῶν καὶ κακῶν καὶ οὐδετέρων, [n]ἢ ἄγνοιαν ὧν [o]ποιητέον [p]καὶ οὐ ποιητέον καὶ οὐδετέρων· ἀκολασίαν δὲ ἄγνοιαν αἱρετῶν καὶ φευκτῶν καὶ οὐδετέρων [q]. . . δειλίαν δὲ ἄγνοιαν [r]δεινῶν καὶ οὐ δεινῶν καὶ οὐδετέρων. Παραπλησίως δὲ καὶ τὰς ἄλλας ἀρετὰς καὶ κακίας ὁρίζονται, τῶν εἰρημένων [s]ἐχόμενοι. Κοινότερον δὲ τὴν ἀρετὴν διάθεσιν εἶναί φασι ψυχῆς σύμφωνον αὐτῇ περὶ ὅλον τὸν βίον. Τῶν δ' ἀρετῶν τὰς μὲν εἶναι πρώτας, τὰς δὲ ταῖς πρώταις ὑποτεταγμένας· πρώτας δὲ τέτταρας εἶναι, φρόνησιν, [t]σωφροσύνην, ἀνδρείαν, δικαιοσύνην. Καὶ τὴν μὲν φρόνησιν περὶ τὰ καθήκοντα γίγνεσθαι· τὴν δὲ σωφροσύνην περὶ τὰς ὁρμὰς τοῦ ἀνθρώπου· τὴν δὲ ἀνδρείαν [u]περὶ τὰς ὑπομονάς· τὴν δὲ δικαιοσύνην περὶ τὰς ἀπονεμήσεις. Τῶν δὲ ὑποτεταγμένων ταῖς ἀρεταῖς ταύταις τὰς μὲν τῇ φρο-
[II.106] νήσει ὑποτετάχθαι, τὰς δὲ τῇ σωφροσύνῃ, τὰς δὲ τῇ ἀνδρείᾳ, τὰς δὲ τῇ δικαιοσύνῃ. Τῇ μὲν οὖν φρονήσει ὑποτάττεσθαι εὐβουλίαν, εὐλογιστίαν, ἀγχίνοιαν, νουνέχειαν, εὐμηχανίαν· τῇ δὲ [x]σωφροσύνῃ [y]εὐταξίαν, κοσμιότητα, αἰδημοσύνην, ἐγκράτειαν· τῇ δὲ ἀνδρείᾳ, καρτερίαν, [z]θαρραλεότητα, μεγα- p. 168.

[m] ἄγνοιαν, quod male exciderat, sensu flagitante, supplevi. HEEREN.

[n] καὶ ἄγνοιαν] ἢ ἄγν. V. A.

[o] Post ποιητέον add. καὶ οὐ ποιητέον V. A.

[p] καὶ οὐ π. καὶ] ἢ οὐ π. ἢ Heeren.

[q] Etsi nec edita nec codd. lacunam indicant, tamen certum est aliquid hic excidisse. Desideratur enim definitio vitii justitiæ oppositi, i. e. τῆς ἀδικίας. Supplendum itaque erit, ἀδικίαν δὲ ἄγνοιαν ἀπονεμητικὴν τῆς ἀξίας ἑκάστῳ. HEEREN.

[r] Post δεινῶν add. καὶ οὐ δεινῶν καὶ οὐδετέρων V. A.

[s] ἐχόμενον] –μενοι V. A. P.

ib. Ex ipso Zenone petitas esse hasce virtutum explicationes satis liquet ex Plutarch. de Virt. Morali Op. T. II. p. 441. ubi quoque ipsius virtutis definitio, quæ statim sequitur, copiosius declaratur. HEEREN.

[t] καὶ ante σωφρ. deest V. A. Ante δικ. additur V.

[u] περὶ—δικαιοσύνην om. Heeren.

[x] σωφροσύνῃ] σωφροσύνην A.

[y] Verba εὐταξ. κοσμιότ. αἰ. δημ. om. A.

[z] θαρραλεότητα] –λαιότητα V. A.

λοψυχίαν, [a]εὐψυχίαν, φιλοπονίαν· τῇ δὲ δικαιοσύνῃ, εὐσέβειαν, χρηστότητα, εὐκοινωνησίαν, εὐσυναλλαξίαν. Εὐβουλίαν μὲν οὖν εἶναι λέγουσιν ἐπιστήμην τοῦ ποῖα καὶ πῶς πράττοντες πράξομεν συμφερόντως· εὐλογιστίαν δὲ, ἐπιστήμην [b]ἀνταναιρετικὴν καὶ μὴ κεφαλαιωτικὴν τῶν γιγνομένων καὶ ἀποτελουμένων· ἀγχίνοιαν δὲ, ἐπιστήμην εὑρετικὴν τοῦ καθήκοντος ἐκ τοῦ παραχρῆμα· νουνέχειαν δὲ, ἐπιστήμην ἐπιτευκτικὴν [c]τοῦ ἐν ἑκάστῳ σκοποῦ· εὐμηχανίαν δὲ, ἐπιστήμην εὑρετικὴν διεξόδου πραγμάτων· εὐταξίαν δὲ, ἐπιστήμην τοῦ πότε πρακτέον, καὶ τί μετά τι, καὶ καθόλου τῆς τάξεως τῶν πράξεων· κοσμιότητα δὲ, [d]ἐπιστήμην πρεπουσῶν καὶ ἀπρεπῶν κινήσεων· αἰδημοσύνην δὲ, ἐπιστήμην [e]εὐλαβητικὴν ὀρθοῦ ψόγου· ἐγκράτειαν δὲ, ἐπιστήμην ἀνυπέρβλητον τῶν κατὰ τὸν ὀρθὸν λόγον φανέντων· καρτερίαν δὲ, ἐπιστήμην ἐμμενητικὴν τοῖς ὀρθῶς κριθεῖσι· [f]θαρραλεότητα δὲ, ἐπιστήμην καθ' ἣν οἴδαμεν ὅτι οὐδενὶ δεινῷ [g]μὴ περιπέσωμεν· [h]μεγαλοψυχίαν δὲ, ἐπιστήμην
[II.108] ὑπεράνω ποιοῦσαν τῶν πεφυκότων ἐν σπουδαίοις [i]τε γίγνεσθαι καὶ φαύλοις· εὐψυχίαν δὲ, ἐπιστήμην ψυχῆς παρεχομένης ἑαυτὴν ἀήττητον· φιλοπονίαν [k]δὲ, ἐπιστήμην [l]ἐξεργαστικὴν τοῦ προκειμένου, οὐ κωλυομένην διὰ [m]πόνον· εὐσέβειαν δὲ, ἐπιστήμην θεῶν [n]θεραπείας· χρηστότητα δὲ,

[a] εὐψυχίαν deest V.

[b] ἀνταναιρετικὴν et mox κεφαλαιοτικὴν A. ἅμα διαιρετικὴν καὶ ἀνακεφαλαιωτικὴν Wyttenbach. ad Plutarch. II. p. 103 A.

[c] Ante ἐν add. τοῦ V. A.

[d] ἐπιστήμην quod exciderat, supplevi. HEEREN.

[e] εὐλαβητικὴν] εὐβητικὴν A.

[f] Θαρραλιότητα] θαρραλαιότητα A.

[g] μὴ περιπέσωμεν om. A. in quo male repet. ποιοῦσαν—φαύλος (sic).

[h] Clarius hæc docet Diog. VII. 93. τὴν δὲ μεγαλοψυχίαν ἐπιστήμην ἢ ἕξιν ὑπεράνω ποιοῦσαν τῶν συμβαινόντων κοινῇ φαύλων τε καὶ σπουδαίων. HEEREN.

[i] Ante γίνεσθαι add. τε V. A.

[k] δὲ] τε V. A.

[l] ἐνεργαστικὴν] ἐξεργ. V. A. P.

[m] πόνου] πόνον V. A.

[n] θεραπείαν] θεραπείας V. A.

ἐπιστήμην [o]εὐποιητικήν· εὐκοινωνησίαν δὲ, ἐπιστήμην ἰσότητος ἐν κοινωνίᾳ· εὐσυναλλαξίαν δὲ, ἐπιστήμην ἐν τῷ συναλλάττειν ἀμέμπτως τοῖς πλησίον. Πασῶν δὲ τούτων τῶν ἀρετῶν τὸ τέλος εἶναι, τὸ ἀκολούθως τῇ φύσει ζῆν· ἑκάστην δὲ [p]τούτου διὰ τῶν ἰδίων παρέχεσθαι τυγχάνοντα τὸν ἄνθρωπον. [q]Ἔχειν γὰρ ἀφορμὰς παρὰ τῆς φύσεως, καὶ πρὸς τὴν τοῦ καθήκοντος εὕρεσιν, καὶ πρὸς τὴν τῶν ὁρμῶν εὐστάθειαν, καὶ πρὸς τὰς ὑπομονὰς, καὶ πρὸς τὰς [r]ἀπονεμήσεις [s]κατὰ τὸ σύμφωνον. Καὶ [t]τὸ ἑξῆς ἑκάστη τῶν ἀρετῶν πράττουσα παρέχεται τὸν ἄνθρωπον ἀκολούθως τῇ φύσει ζῶντα. Ταύτας μὲν οὖν τὰς ῥηθείσας ἀρετὰς τελείας
[II. 110] εἶναι λέγουσι περὶ τὸν βίον, καὶ συνεστηκέναι ἐκ θεωρημάτων· ἄλλας δὲ ἐπιγίγνεσθαι [u]ταύταις, οὐκ ἔτι τέχνας οὔσας, ἀλλὰ δυνάμεις τινὰς, ἐπὶ τῆς ἀσκήσεως περιγιγνομένας, οἷον τὴν ὑγίειαν τῆς ψυχῆς, καὶ τὴν ἀρτιότητα, καὶ τὴν ἰσχὺν αὐτῆς, καὶ τὸ κάλλος. [x]Ὥσπερ γὰρ τὴν τοῦ σώματος ὑγίειαν εὐκρασίαν εἶναι τῶν ἐν τῷ σώματι θερμῶν καὶ ψυχρῶν καὶ ξηρῶν καὶ ὑγρῶν, οὕτω καὶ τὴν τῆς ψυχῆς ὑγείαν εὐκρασίαν εἶναι τῶν ἐν τῇ ψυχῇ δογμάτων. Καὶ ὁμοίως [y]ὥσπερ ἰσχὺς τοῦ σώματος [z]τόνος ἐστὶν ἱκανὸς

[o] εὐποιητικὴν—ἐπιστήμην om. A.

[p] τούτου, nempe τοῦ τέλους, quod a τυγχάνοντα pendet, rescripsi pro τούτων. HEEREN.

[q] Ἔχει] ἔχειν V. A.

[r] ἀπονεμήσεις] ὑπονεμ. V. A. P.

[s] κατὰ τὸ σύμφωνον rescribere non dubitavi pro καὶ τὸ σύμφωνον. Jungendum nempe est πρὸς τὰς ἀπονεμήσεις κατὰ τὸ σύμφωνον, in quo consistit justitia. Nam quadruplex fructus virtutis qui commemoratur, refertur ad quatuor virtutes cardinales; ἡ εὕρεσις τοῦ καθήκοντος ad prudentiam, ἡ εὐστάθεια τῶν ὁρμῶν ad temperantiam; αἱ ὑπομοναὶ ad fortitudinem: et denique αἱ ἀπονεμήσεις κ. τ. σ. ad justitiam. HEEREN.

[t] Jungendum est: τὸ ἑξῆς πράττουσα, i. e. ἐνεργοῦσα, *quæque virtus, dum quæ his consentanea sunt efficit.* HEEREN.

[u] ταύτας] ταύταις V. A.

[x] Totidem fere verbis expressit hæc Cicero Tusc. IV. 13. *Ut enim corporis temperatio, cum ea congruunt inter se, e quibus constamus, sanitas; sic animi dicitur cum ejus judicia opinionesque concordant.* HEEREN. Supra τί κάλλος A.

[y] περ ἴσχυος] ὥσπερ ἰσχὺς V. A. P. ἡ ἰ. Heeren.

[z] τόνος] τινὸς A. et sic infra.

ἐν νεύροις, οὕτω καὶ [a]ἡ τῆς ψυχῆς ἰσχὺς τόνος ἐστὶν ἱκανὸς ἐν τῷ κρίνειν, καὶ πράττειν, καὶ μή. [b]Ὥσπερ τε τὸ κάλλος τοῦ σώματός ἐστι συμμετρία τῶν μελῶν καθεστώτων [c]αὐτῷ πρὸς ἄλληλά τε καὶ πρὸς τὸ ὅλον, οὕτω καὶ τὸ τῆς ψυχῆς κάλλος ἐστὶ συμμετρία τοῦ λόγου καὶ τῶν μελῶν αὐτοῦ πρὸς ὅλον τε [d]αὐτοῦ καὶ πρὸς ἄλληλα. Πάσας δὲ τὰς ἀρετὰς, ὅσαι ἐπιστῆμαι εἰσὶ καὶ τέχναι, κοινά τε θεωρήματα ἔχειν, καὶ τέλος, ὡς εἴρηται, τὸ αὐτὸ, διὸ καὶ
[II.112] ἀχωρίστους εἶναι· τὸν γὰρ μίαν ἔχοντα πάσας ἔχειν, καὶ τὸν κατὰ μίαν πράττοντα, κατὰ πάσας πράττειν. Διαφέρειν δ' ἀλλήλων [e]τοῖς κεφαλαίοις. Φρονήσεως μὲν γὰρ εἶναι κεφάλαια τὸ μὲν θεωρεῖν καὶ πράττειν, ὃ ποιητέον, προηγουμένως, κατὰ δὲ τὸν δεύτερον λόγον, [f]τὸ θεωρεῖν καὶ ἃ δεῖ ἀπονέμειν, χάριν τοῦ ἀδιαπτώτως πράττειν ὃ ποιητέον· τῆς δὲ σωφροσύνης ἴδιον κεφάλαιόν ἐστι, τὸ παρέχεσθαι τὰς ὁρμὰς εὐσταθεῖς καὶ θεωρεῖν αὐτὰς, προηγουμένως, κατὰ δὲ τὸν δεύτερον λόγον, [g]τὰ ὑπὸ τὰς ἄλλας ἀρετὰς, ἕνεκα τοῦ ἀδιαπτώτως ἐν ταῖς ὁρμαῖς ἀναστρέφεσθαι· καὶ p. 169.
ὁμοίως τὴν ἀνδρείαν προηγουμένως μὲν πᾶν ὃ [h]δεῖ ὑπομένειν, κατὰ δὲ τὸν δεύτερον λόγον, τὰ ὑπὸ τὰς ἄλλας· καὶ τὴν δικαιοσύνην προηγουμένως μὲν τὸ κατ' ἀξίαν ἑκάστῳ σκοπεῖν, κατὰ δὲ τὸν δεύτερον λόγον καὶ τὰ λοιπά. Πάσας γὰρ τὰς ἀρετὰς τὰ πασῶν βλέπειν, καὶ τὰ ὑποτεταγμένα ἀλλήλοις. Ὅμοιον γὰρ ἔλεγεν εἶναι ὁ Παναίτιος τὸ συμβαῖνον ἐπὶ τῶν ἀρετῶν, ὡς εἰ πολλοῖς τοξόταις εἷς σκοπὸς εἴη κείμενος, ἔχοι δ' οὗτος ἐν αὐτῷ γραμμὰς διαφόρους τοῖς

[a] τῆς ψυχῆς] ἡ τῆς ψυχῆς ἰσχὺς V. A.

[b] Ὥσπερ γε] ἅσπερ τε Heeren. post Davisium ad Cic. l. c.

[c] αὐτῷ] αὐτὸ Heeren.

[d] Pro αὐτοῦ Davis. l. c. conjicit αὐτόν; sed αὐτοῦ quod ad λόγου refertur, sensum non turbat. HEEREN.

[e] καὶ ante τοῖς deest V. A.

[f] τὸ deest V.

[g] τὰς] τὰ Heeren.

[h] δεῖ] δὴ A.

χρώμασιν· εἶθ' ἕκαστος μὲν στοχάζοιτο τοῦ τυχεῖν τοῦ σκο- 10
[II.114] ποῦ, ἤδη δ' ὁ μὲν διὰ τὸ [i]ὑποτάξαι εἰς τὴν λευκὴν εἰ [k]τύχοι [l]γραμμὴν, ὁ δὲ διὰ τὸ εἰς τὴν μέλαιναν, ἄλλος δὲ διὰ τὸ εἰς ἄλλο τι χρῶμα γραμμῆς. Καθάπερ γὰρ τούτους ὡς μὲν ἀνωτάτω τέλος ποιεῖσθαι τὸ τυχεῖν [m]τοῦ σκοποῦ, ἤδη δ' ἄλλον κατ' ἄλλον τρόπον προτίθεσθαι τὴν τεῦξιν, τὸν αὐτὸν 15
τρόπον καὶ τὰς ἀρετὰς πάσας ποιεῖσθαι μὲν [n]τέλος τὸ εὐδαιμονεῖν, ὅ ἐστι κείμενον ἐν [o]τῷ ζῆν ὁμολογουμένως τῇ φύσει, τούτου δ' ἄλλον [p]κατ' ἄλλην τυγχάνειν. Διττῶς δέ φησιν ὁ Διογένης λέγεσθαι τὰ δι' αὐτὰ αἱρετὰ καὶ τελικῶς αἱρετὰ, ὡς ἔχει τὰ [q]μὲν ἐν τῇ προειρημένῃ διαιρέσει κατα- 20
τεταγμένα, τὰ δὲ ὅσα ἐν αὐτοῖς ἔχει τὴν αἰτίαν τοῦ αἱρετὰ εἶναι, ὅπερ παντὶ ἀγαθῷ ὑπάρχει.

Ἀρετὰς δ' εἶναι πλείους φασὶ καὶ ἀχωρίστους ἀπ' ἀλλήλων, καὶ τὰς [r]αὐτὰς τῷ ἡγεμονικῷ μέρει τῆς ψυχῆς καθ' ὑπόστασιν, καθ' ὃ δὴ καὶ σῶμα [s]πᾶσαν ἀρετὴν εἶναί τε
[II.116] καὶ λέγεσθαι, τὴν γὰρ διάνοιαν καὶ τὴν ψυχὴν σῶμα εἶναι· 25
τὸ γὰρ συμφυὲς πνεῦμα ἡμῖν ἔνθερμον ὂν, ψυχὴν ἡγοῦνται[t].

[i] ὑποτάξαι] Wyttenbachius apud Lynden. Disput. de Panætio p. 75. arbitratur, nisi plura verba exciderint, ὑποτάξαι ex antecedenti ὑποτεταγμένα ortum, et locum sic posse constitui: ἤδη δ' ὁ μὲν, διὰ τὸ ἀποτυξεῦσαι εἰς τὴν λευκὴν γραμμὴν, ἐπιτύχοι: *tum alius quidem sagitta in albam lineam emittenda, scopum feriret.* Heerenius: "Promum foret emendare διὰ τὸ ἐπιτεῦξαι, *alio attingente lineam albam, alio nigram* etc. si modo græce dici posset ἐπιτεῦξαι εἴς τι, cum potius sit ἐπιτεῦξαι τινός."

[k] τύχει] τύχοι V. A.

[l] Post γραμμὴν] ὁ δὲ διὰ τοῦ, εἰς τὴν μέλαιναν ἄλλος (δὲ add. P.) διὰ τὸ εἰς ἄλλο τι χρῶμα γραμμῆς καθάπερ γὰρ τούτους, ὡς μὲν ἀνωτάτω τέλος ποιεῖσθαι etc. V. A.

[m] Verba τοῦ σκοποῦ—προτίθεσθαι desunt V. A.

[n] Ante τέλος add. μὲν V. A.

[o] τῷ ζῆν] ἐν τῷ ζῆν V. A. P.

[p] κατ' ἄλλον] κατ' ἄλλην V. A. ἄλλα P.

[q] μὲν, ante ἐν, quod sequens δὲ flagitat, addidi. HEEREN.

[r] αὐτὰς] αὐτῶν V. A.

[s] πᾶσα etc.] πᾶσαν ἀρετὴν εἶναι· εἶναί τε καὶ λέγεσθαι V. A.

[t] Fuit hæc jam Zenonis de anima sententia, quam postea amplexi sunt Antipater et Posidonius; cf. Diog. VII. 157. Ζήνων δὲ ὁ Κιττιεὺς, καὶ Ἀντίπατρος ἐν τοῖς

Βούλονται δὲ καὶ τὴν ἐν ἡμῖν ψυχὴν ζῶον εἶναι, ζῆν τε γὰρ καὶ αἰσθάνεσθαι· καὶ μάλιστα τὸ ἡγεμονικὸν μέρος αὐτῆς, ὃ δὴ καλεῖται [u]διάνοια. Διὸ καὶ πᾶσαν ἀρετὴν ζῶον εἶναι, ἐπειδὴ ἡ [v]αὐτὴ διανοία ἐστὶ κατὰ τὴν οὐσίαν. Κατὰ τοῦτο γάρ φασι καὶ τὴν φρόνησιν φρονεῖν, [x]ἀκολουθεῖ γὰρ αὐτοῖς τὸ οὕτως λέγειν. Ἀρετῆς δὲ καὶ κακίας οὐδὲν εἶναι μεταξύ. Πάντας γὰρ ἀνθρώπους ἀφορμὰς ἔχειν ἐκ φύσεως πρὸς ἀρετήν, καὶ οἱονεὶ τὸ τῶν [y]ἡμιαμβειαίων λόγον ἔχειν κατὰ τὸν [z]Κλεάνθην, ὅθεν ἀτελεῖς μὲν ὄντας εἶναι φαύλους, τελειωθέντας δὲ σπουδαίους. Φασὶ δὲ καὶ πάντα ποιεῖν τὸν σοφὸν [a]κατὰ πάσας τὰς ἀρετάς. Πᾶσαν γὰρ πρᾶξιν
[II.118] τελείαν αὐτοῦ εἶναι, διὸ καὶ [b]μηδεμίαν [c]ἀπολελεῖφθαι ἀρετῆς. Ἀκολούθως γὰρ τούτοις δογματίζουσι, καὶ ὅτι κατὰ νοῦν ἔχων καὶ [d]διαλεκτικῶς ποιεῖ, καὶ συμποτικῶς καὶ ἐρωτικῶς. Τὸν δὲ ἐρωτικὸν καὶ διχῇ λέγεσθαι, τὸν μὲν κατὰ τὴν ἀρετὴν ποιὸν, σπουδαῖον ὄντα, τὸν δὲ κατὰ κακίαν, ἐν ψόγῳ, ὡς ἂν [f]ἐρωτομανῶν τινά. [g]Ἔτι δ' ἔρωτα

περὶ ψυχῆς, καὶ Ποσειδώνιος, πνεῦμα ἔνθερμον εἶναι τὴν ψυχήν. HEEREN.

[u] διοικεῖα] διάνοια V. A.

[v] Ante αὐτὴ add. ἡ V. A. Tum διάνοια A.

[x] ἀκολουθεῖ edidi pro ἀκολουθεῖν. HEEREN.

[y] ἡμιομβειαίων] ἡμιαμβ. V. A.

ib. Dedi cum mss. ἡμιαμβειαίων. Valckenærius: "An ἡμιτυμβίων?" quod non intelligo. Suspicor nonnulla intercidisse, versiculum fortasse proverbialem, metro iambico dimetro catalectico conscriptum, quod genus grammatici ἡμιάμβια nuncupant, vel ἡμίαμβοι, veluti Schol. Nicand. Ther. 377.

[z] Κλεάνθην] Κλεάνθη A.

[a] Inserui κατὰ, quod et verborum ordo postulat, cum græce dici nequeat ποιεῖν ἀρετὴν sed ποιεῖν κατ' ἀρετὴν, et infra occurrit in opposito ποιεῖν κατὰ πάσας κακίας. HEEREN.

[b] μηδεμίαν] μηδεμιᾶς Heeren. in corrigendis.

[c] ἀπολελεῖφθαι] ἀπολεῖσθαι A.

[d] διαλεκτικῶς, *in colloquendo vel disputando*, rescripsi pro διαδεκτικῶς. Convenit hoc cum iis quæ sequuntur; Stoicos vero solos sapientes tantum eloquentes vocasse, et testatur Diog. VII. 122. et infra ipse tradit Stob. μόνον τὸν σοφὸν διαλεκτικόν. HEEREN.

[f] ἐνωτομανῆτι τινά] ἐρωτομανῶν τινα V. A. Heeren. ed. ἐρωτομανοῦντα.

[g] Ἔτι δ' ἔρωτα τόν γ' ἀξιέραστον rescripsi pro Εἰ δ' ἔρωτα τὸν ἀξιέραστον. HEEREN. εἰ δ' ἔ. τόν τ' ἀ. A.

τόν γ' ἀξιέραστον ὁμοίως λέγεσθαι τῷ [h]ἀξιοφιλήτῳ, καὶ οὕτως ἀξιαπολαύστῳ· τὸν γὰρ [i]ἄξιον σπουδαίου ἔρωτος, τοῦτον εἶναι ἀξιέραστον. Ὁμοίως δὲ τῇ ἐρωτικῇ τὴν συμ- 45
ποτικὴν παραλαμβάνουσιν εἰς τὰς ἀρετάς, τὴν μὲν περὶ τὸ ἐν συμποσίῳ καθῆκον ἀναστρεφομένην ἐπιστήμην οὖσαν [k]τοῦ πῶς δεῖ ἐξάγεσθαι τὰ συμπόσια, καὶ τοῦ πῶς δεῖ συμπίνειν· τὴν δὲ, ἐπιστήμην νέων θήρας εὐφυῶν πρὸς [l]τέρψιν οὖσαν ἐπὶ τὴν κατ' ἀρετὴν[m], καὶ καθόλου ἐπιστήμην τοῦ 50
καλῶς ἐρᾶν· [n]διὸ καί φασιν [o]ἐρασθήσεσθαι τὸν νοῦν ἔχοντα.
[II. 120] Τὸ δὲ ἐρᾶν αὐτὸ μόνον ἀδιάφορον εἶναι, ἐπειδὴ γίνεταί ποτε καὶ περὶ φαύλους. Τὸν δὲ ἔρωτα οὔτε ἐπιθυμίαν εἶναι, οὔτε τινὸς φαύλου πράγματος, ἀλλ' ἐπιβολὴν φιλοποιΐας διὰ κάλλους ἔμφασιν[p]. Λέγουσι δὲ καὶ πάντ' εὖ ποιεῖν 55
τὸν σοφὸν, ἃ ποιεῖ δῆλον. Ὃν τρόπον γὰρ λέγομεν πάντ' εὖ ποιεῖν τὸν αὐλητὴν ἢ κιθαρῳδὸν, συνυπακουομένου τοῦ [q]ὅτι τὰ μὲν κατὰ τὴν αὔλησιν, τὰ δὲ κατὰ τὴν κιθαρῳδίαν, τὸν αὐτὸν τρόπον [r]πάντα εὖ ποιεῖν τὸν φρόνιμον, καὶ ὅσα ποιεῖ, καὶ οὐ μὰ Δία καὶ ἃ μὴ ποιεῖ. Τὸ γὰρ κατὰ λόγον ὀρθὸν ἐπιτελεῖν πάντα, καὶ οἷον κατ' ἀρετὴν, περὶ ὅλον οὖσαν p. 170.
τὸν βίον τέχνην, ἀκόλουθον ᾠήθησαν [s]τῷ περὶ τοῦ πάντ' εὖ

[h] ἀξίῳ φλίστῳ] ἀξιοφιλήτῳ V. A. φιλήστῳ P.

[i] ἄξιον om. A.

[k] τὸ πῶς] τοῦ πῶς ed. Heeren. h. l. et mox. Infra διεξάγεσθαι Wyttenbach.

[l] τρέψιν] τέρψιν V. A.

[m] Plutarchus Op. II. p. 1073 B. Lipsio Manud. Stoic. III. 16. citatus Θήρα γάρ τις, φασὶν, ὁ ἔρως ἀτελοῦς μὲν εὐφυοῦς δὲ μειρακίου πρὸς ἀρετήν. Verba οὖσαν ἐπὶ τὴν κατ' ἀρετὴν aut corrupta sunt aut manca.

[n] δύο] διὸ V. διὸ καὶ—ἐρᾶν om. A. ubi mox διάφορον.

[o] ἐρασθήσεται] ἐρασθήσεσθαι V. ib. ἐρασθήσεσθαι] Diog. VII. 129. Καὶ ἐρασθήσεσθαι τὸν σοφὸν τῶν νέων, τῶν ἐμφαινόντων διὰ τοῦ εἴδους τὴν πρὸς ἀρετὴν εὐφυΐαν, ὥς φησι Ζήνων ἐν τῇ πολιτείᾳ, καὶ Χρύσιππος ἐν τῷ πρώτῳ περὶ βίων, καὶ Ἀπολλόδωρος ἐν τῇ ἠθικῇ. De re ipsa cf. Lips. Manud. St. III. 16. HEEREN.

[p] Similiter Diog. VII. 113. et 130. ubi pro φιλευποία Menagius ex Stobæo reponit φιλοποία. Vid. infra p. 176, 36.

[q] ἔτι] ὅτι V. A.

[r] πάντα] πᾶν τ' A. Vid. Diog. VII. 125.

[s] τὸ] τῷ V. A.

ποιεῖν [t]τὸν σοφὸν δόγμα. [u]Κατὰ τὸ [x]ἀνάλογον δὲ καὶ τὸν φαῦλον πάντα ὅσα ποιεῖ [y]κακῶς ποιεῖν, καὶ κατὰ πάσας τὰς κακίας. Φιλομουσίαν [z]δὲ, καὶ [a]φιλογραμματίαν, καὶ φιλιππίαν, καὶ φιλοκυνηγίαν, καὶ καθόλου [b]τὰς ἐγκυκλίους λεγομένας τέχνας ἐπιτηδεύματα μὲν καλοῦσιν,
[II.122] ἐπιστήμας δ' οὐ, ἔν [c]τε ταῖς σπουδαίαις ἕξεσι ταῦτα καταλείπουσι, καὶ ἀκολούθως μόνον τὸν σοφὸν φιλόμουσον εἶναι λέγουσι, καὶ [d]φιλογράμματον, καὶ ἐπὶ τῶν ἄλλων [e]κατὰ τὸ ἀνάλογον. Τό τε ἐπιτήδευμα τοῦτον ἐπιγράφουσι τὸν τρόπον, ὁδὸν διὰ τέχνης ἡμέρου ἄγουσαν [f]κατ' ἀρετήν. Μόνον δέ φασι τὸν σοφὸν καὶ μάντιν ἀγαθὸν εἶναι, καὶ ποιητὴν, καὶ ῥήτορα, καὶ διαλεκτικὸν, καὶ κριτικὸν, οὐ πάντα δὲ, διὰ τὸ προσδεῖσθαι [g]εἴς τινα τούτων καὶ θεωρημάτων τινῶν [h]ἀναλήψεως. Εἶναι δὲ τὴν μαντικὴν φασιν ἐπιστήμην θεωρηματικὴν σημείων τῶν ἀπὸ θεῶν ἢ δαιμόνων πρὸς ἀνθρώπινον βίον συντεινόντων. Ὁμοίως δὲ καὶ τὰ εἴδη τῆς μαντικῆς. Λέγουσι δὲ καὶ ἱερέα μόνον εἶναι [i]τὸν σοφὸν, φαῦλον δὲ μηδένα. Τὸν γὰρ ἱερέα εἶναι δεῖν ἔμπειρον [k]νόμων τῶν περὶ θυσίας, καὶ εὐχὰς, καὶ καθαρμοὺς, καὶ ἱδρύσεις, καὶ πάντα τὰ τοιαῦτα, πρὸς δὲ τούτοις καὶ [l]ἄλλων, διά τε τὸ

[t] τὸν] τὸ V. A.

[u] Κατὰ τὸν] κατὰ τὸ A.

[x] ἀνάλογον] ἀνώμαλον A.

[y] καλῶς] κακῶς V. A. Cant. in marg.

[z] τὴν φ.] δὲ καὶ Heeren.

[a] φιλοπραγματείαν] φιλογραμματίαν V. A. Cant. in marg.

[b] καὶ κατὰ ἐγκυκλίους] τὰς ἐγ. ed. Heeren. πάσας τὰς pro κατὰ Cant. in marg. καὶ κατὰ ἐγγυκλίους A.

[c] Inserui τε, quod nisi admiseris pro καταλείπουσι legendum erit καταλείποντες. HEEREN. Valckenærius ἐν δὲ, qui præterea καταλέγουσι pro καταλείπουσι.

[d] φιλιπράγματον] φιλογράμματον V. A.

[e] καὶ τὸ ἄλογον] κατὰ τὸ ἀνάλογον V. A. Mox ὑπογράφουσι Wyttenbach.

[f] Habent Cant. et codd. ἐπὶ κατ' ἀρετὴν, quorum alterutrum delendum. HEEREN.

[g] εἰς edidi pro εἰ. HEEREN.

[h] ἀναλήψεων] ἀναλήψεως Heeren.

[i] Verba τὸν σοφὸν—εἶναι desunt V.

[k] νόμον] νόμῶν A. Vid. Diog. L. VII. 119.

[l] ἄλλους] ἄλλων Heeren.

εὐσεβείας δεῖσθαι καὶ ἐμπειρίας [m]τῆς τῶν θεῶν θεραπείας, καὶ ἐντὸς εἶναι τῆς φύσεως τῆς θείας. Μηδενὶ [n]δέ τι τούτων ὑπάρχειν τῶν φαύλων, διὸ καὶ πάντας εἶναι τοὺς ἄφρονας ἀσεβεῖς. Τὴν γὰρ ἀσέβειαν κακίαν οὖσαν, ἄγνοιαν εἶναι θεῶν θεραπείας, τὴν δ' εὐσέβειαν, ὡς εἴπομεν, ἐπιστήμην θεῶν θεραπείας. Ὁμοίως δὲ [o]μηδ' ὁσίους εἶναί φασι τοὺς φαύλους. Τὴν γὰρ ὁσιότητα ὑπογράφεσθαι δικαιοσύνην πρὸς θεούς· τοὺς δὲ φαύλους παρεκβαίνειν πολλὰ [p]τὸ πρὸς θεοὺς δίκαιον, παρ' ὃ καὶ ἀνοσίους εἶναι, καὶ [q]ἀκαθάρτους, καὶ ἀνάγνους, καὶ μιαροὺς, καὶ ἀνεορτάστους. Τὸ γὰρ ἑορτάζειν [r]ἀστείου [s]φασὶν εἶναι, τῆς ἑορτῆς οὔσης χρόνου τινὸς ἐν ᾧ χρὴ περὶ τὸ θεῖον γίγνεσθαι τιμῆς χάριν, καὶ καθηκούσης ἐπισημασίας, ὅθεν καὶ τὸν ἑορτάζοντα [t]συγκαθηκέναι δεῖ μετ' εὐσεβείας εἰς τὴν τοιαύτην τάξιν. [u]Ἔτι δὲ λέγουσι πάντα φαῦλον μαίνεσθαι, ἄγνοιαν ἔχοντα αὐτοῦ καὶ τῶν καθ' [x]αὐτὸν, ὅπερ ἐστὶ μανία. Τὴν δὲ ἄγνοιαν εἶναι ἐναντίαν κακίαν τῇ σωφροσύνῃ· ταύτην δὲ πρός τι πως ἔχουσαν ἀκαταστάτους καὶ [y]πτοιώδεις παρεχομένην τὰς ὁρμὰς, μανίαν εἶναι· διὸ καὶ ὑπογράφουσι τὴν μανίαν οὕτως, [z]ἄγνοιαν πτοιώδη.

[II.124]

6 Περὶ αἱρετῶν καὶ φευκτῶν.

Ἔτι δὲ τῶν ἀγαθῶν τὰ μὲν εἶναι [a]δι' αὑτὰ αἱρετὰ, τὰ

[m] τῆς τῶν] τὰς τῶν Heeren.
[n] δέ τι addidit Heeren.
[o] ἀνοσίους] μηδ' ὁσίους V. A. P.
[p] Habet Cant. cum codd. τῷ—δικαίῳ, sed cum a παρεκβαίνειν pendeat legendum est vel τὸ—δίκαιον, quod edidi quia παρεκβαίνειν vulgo quarto casui jungitur, vel τοῦ δικαίου. HEEREN.
[q] Post ἀκαθάρτους add. καὶ ἀνάγνους V. A.
[r] ἀστείους] ἀστείου V. A.
[s] φησὶν] φασὶν A.
[t] συγκαθηκέναι] συγκεκαθεικέναι A.
[u] Ἐπεὶ] ἔτι Canter. in marg.
[x] αὐτὸν] αὐτὸ V. A.
[y] ποιώδεις] πτοιώδεις Canter. in marg.
[z] ἄγνοιαν πτοιώδη] ἄγνοιαν ποιώδη περὶ αἱρετῶν κ. φευκτῶν. Ἔτι etc. sic V. A.

6.

[a] Quæ Stob. δι' αὐτὰ αἱρετὰ et ποιητικὰ vocat, ap. Diog. τελικὰ et ποιητικὰ vocantur. Diog. VII. 96. Ἔτι

[II.126] δὲ ποιητικά. Ὁπόσα μὲν οὖν οὐδενὸς ἄλλου ἕνεκεν εἰς εὔ- 45
λογον αἵρεσιν ἔρχεται, δι' αὐτὰ αἱρετά· ὁπόσα [b]δὲ [c]τῷ
ἑτέρων τινῶν παρασκευαστικὰ [d]γίγνεσθαι, κατὰ τὸ ποιητικὸν
λέγεσθαι. Καὶ πᾶν μὲν ἀγαθὸν αἱρετὸν εἶναι, ἀρεστὸν
γὰρ, καὶ δοκιμαστὸν, καὶ ἐπαινετὸν ὑπάρχειν· πᾶν δὲ 50
κακὸν φευκτόν. Τὸ γὰρ ἀγαθὸν, καθ' ὃ μὲν αἵρεσιν εὔλογον
κινεῖ, αἱρετόν ἐστι· Καθ' ὃ δὲ ἀνυπόπτως εἰς αἵρεσιν ἔρχε-
ται, ἀρεστόν· [e]. . . . καθ' ὃ [f]δὲ πάλιν εὐλόγως ἄν τις περὶ
[g]αὐτοῦ καθυπολαμβάνοι, [h]τῶν ἐπαινετῶν εἶναι. Ἔτι δὲ
τῶν ἀγαθῶν τὰ μὲν εἶναι ἐν κινήσει, τὰ δὲ ἐν σχέσει. Ἐν
κινήσει μὲν τὰ τοιαῦτα, χαρὰν, εὐφροσύνην, σώφρονα ὁμι- 55
λίαν· ἐν σχέσει δὲ τὰ τοιαῦτα, εὔτακτον ἡσυχίαν, μονὴν
ἀτάραχον, προσοχὴν ἔπανδρον. Τῶν δὲ ἐν σχέσει τὰς μὲν
καὶ ἐν ἕξει εἶναι, οἷον τὰς ἀρετάς· τὰς δ' ἐν σχέσει μόνον,
[II.128] ὡς τὰ ῥηθέντα. Ἐν ἕξει δὲ οὐ μόνας εἶναι τὰς ἀρετὰς, p. 171.
ἀλλὰ καὶ τὰς [i]ἄλλας τέχνας τὰς ἐν [k]τῷ σπουδαίῳ ἀνδρὶ
ἀλλοιωθείσας ὑπὸ τῆς ἀρετῆς, καὶ γενομένας ἀμεταπτώ-
τους, οἱονεὶ γὰρ ἀρετὰς γίγνεσθαι. Φασὶ δὲ [l]καὶ τῶν ἐν
ἕξει ἀγαθῶν εἶναι [m]τὰ ἐπιτηδεύματα καλούμενα, οἷον φιλο- 5
μουσίαν, [n]φιλογραμματίαν, φιλογεωμετρίαν, καὶ τὰ παρα-
πλήσια. Εἶναι γὰρ ὁδόν τινα, ἐκλεκτὴν τῶν ἐν ταύταις
ταῖς τέχναις οἰκείων πρὸς ἀρετὴν, ἀναφέρουσαν αὐτὰ ἐπὶ

τῶν ἀγαθῶν τὰ μὲν εἶναι τελικὰ τὰ δὲ ποιητικὰ, ubi tamen tertium genus subjungitur, a nostro neglectum, τὰ δὲ τελικὰ καὶ ποιητικὰ, quæ singula apud Diog. exemplis illustrantur. HEEREN. ἑαυτὰ V.

[b] καὶ τῶν] δὲ τῶν V. A. δὲ καὶ P.

[c] τῶν] τῷ Heeren.

[d] γίγνεται] γίγνεσθαι V. A.

[e] Pauca hic excidisse videntur. Desideratur enim ratio quatenus bonum sit δοκιμαστόν. HEEREN.

[f] καὶ] δὲ V. A. P.

[g] αὐτοῦ] ἑαυτοῦ A. αὐτοῦ V.

[h] τῶν ἀπ' ἀρετῆς] τῶν ἐπαινετῶν Canter. in marg.

[i] ἄλλας om. A.

[k] τῷ deest V. A.

[l] καὶ ἐν] καὶ τῶν ἐν V. A.

[m] καὶ τὰ] καὶ om. Heeren.

[n] Post φιλογραμματίαν add. φιλογεωμετρίαν V. A.

τὸ τοῦ βίου τέλος. [o]Ἔτι δὲ τῶν ἀγαθῶν τὰ μὲν εἶναι καθ' ἑαυτὰ, τὰ δὲ πρὸς τί πως ἔχειν. Καθ' ἑαυτὰ μὲν, ἐπιστήμην, δικαιοπραγίαν, καὶ τὰ ὅμοια· πρός τι δὲ, τιμὴν, εὔνοιαν, φιλίαν. [p]Εἶναι δὲ τὴν ἐπιστήμην κατάληψιν ἀσφαλῆ καὶ ἀμετάπτωτον ὑπὸ λόγου· ἑτέραν δὲ ἐπιστήμην σύστημα ἐξ ἐπιστημῶν [q]τοιούτων, οἷον ἡ τῶν κατὰ μέρος λογικὴ ἐν τῷ σπουδαίῳ [r]ὑπάρχουσα· ἄλλην δὲ, σύ-
[II.130] στημα ἐξ ἐπιστημῶν τεχνικῶν ἐξ [s]αὐτοῦ ἔχον τὸ βέβαιον, ὡς ἔχουσιν αἱ ἀρεταί· ἄλλην δὲ ἕξιν [t]φαντασιῶν δεκτικὴν ἀμετάπτωτον ὑπὸ λόγου, ἣν τινά φασιν ἐν [u]τόνῳ καὶ δυνάμει κεῖσθαι. Φιλίαν [x]δ' εἶναι κοινωνίαν βίου· συμφωνίαν δὲ, ὁμοδογματίαν [y]περὶ τῶν κατὰ τὸν βίον. Τῆς δὲ φιλίας

o Ἐπεὶ] ἔτι Canter. in marg.

p Opponebant primo Stoici *scientiam* i. e. certam cognitionem, *opinioni*, δόξῃ; eamque vel ex certa comprehensione, καταλήψει, vel ex recta perceptionum, φαντασιῶν, susceptione oriri docebant; Diog. VII. 47. αὐτήν τε τὴν ἐπιστήμην φασὶν ἢ κατάληψιν ἀσφαλῆ, ἢ ἕξιν ἐν φαντασιῶν προσδέξει, ἀμετάπτωτον ὑπὸ λόγου. Reliquas ἐπιστήμης explicationes, quas habet Stobæus, apud neminem alium invenio. HEEREN.

q Post τοιούτων add. οἷον ἡ τῶν κατὰ μέρος V. A.

r ὑπάρχουσαν] ὑπάρχουσα Heeren.

s αὐτοῦ] αὐτῶν V. A.

t φαντασιῶν δεκτικὴν] ἐν φαντασιῶν προσδέξει Davisius ad Cic. Acad. II. 8. ex Laërtio.

u τῷ νῷ] τόνῳ V. A.

ib. τόνῳ] Nempe ψυχῆς, *in vi et intensione animæ positum esse habitum illum.* Fuit nempe hæc doctrina Chrysippi; qui cum omnino in comparanda animi et corporis valetudine, et similitudine inde ducta sibi placeret, sic quoque nervorum firmitatem vel infirmitatem, ex qua τόνος corporis pendet, ad animam traduxit, eique τόνον quendam seu vigorem, qui si adsit εὐτονίαν, si desit ἀτονίαν efficiat, tribuit. Discimus hoc post interitum operum Chrysippi ex Galeno Op. IV. p. 427. qui ipsa verba Chrysippi servavit: Ἔτι δὲ καὶ ὡς κατὰ τοὺς οἱ ἐπὶ τοῦ σώματος λέγονται τόνους, ἄτονοι καὶ ἔντονοί ἐσμεν κατὰ τὸ νευρῶδες, τῷ δύνασθαι ἡμᾶς ἢ ἀδυνατεῖν ἐν τοῖς διὰ τούτων ἐπιτελουμένοις ἔργοις, καὶ ὁ ἐν τῇ ψυχῇ λέγεται τόνος, ὡς εὐτονία καὶ ἀτονία. Copiose agit de hoc Chrysippi placito, cui veri quid subesse nemo non sentit, etsi unde oriatur hic animi vigor seu languor comparatione hac parum explicatur, Salmasius ad Simplic. p. 95. HEEREN.

x Ante εἶναι add. δὲ V. A.

y περὶ τὸν] περὶ τῶν V. A.

εἶναι [z]γνωριμότητα μὲν, φιλίαν ἐγνωσμένων· συνήθειαν δὲ, φιλίαν [a]συνειθισμένων· ἑταιρίαν δὲ, φιλίαν καθ' αἵρεσιν, ὡς ἂν ὁμηλίκων· ξενίαν δὲ, φιλίαν [b]ἀλλοδαπῶν. Εἶναι [c]δὲ καὶ συγγενικήν τινα [d]φιλίαν, ἐκ συγγενῶν· καὶ [e]ἐρωτικὴν, ἐξ ἔρωτος. Ἔτι δὲ τῶν ἀγαθῶν τὰ μὲν εἶναι ἄμικτα, οἷον ἐπιστήμην, τὰ δὲ μεμιγμένα, οἷον εὐτεχνίαν, εὐγηρίαν, εὐ-
[II.132] ζωΐαν. Ἔστι δ' ἡ μὲν εὐτεχνία χρῆσις [f]τέχνων κατὰ φύσιν ἔχουσα σπουδαία, [g]ἡ δ' εὐγηρία, χρῆσις σπουδαία [h]γήρατος, κατὰ φύσιν ἔχουσα, καὶ ὁμοίως [i]ἡ εὐζωΐα. Ἀλυπίαν δὲ καὶ εὐταξίαν τὰς αὐτὰς εἶναι τῇ σωφροσύνῃ, νοῦν δὲ καὶ φρενὰς φρονήσει, μεταδοτικὴν δὲ καὶ ἐπιδοτικὴν χρηστότητι. Τὸ μέντοιγε πρός τί πως ἔχειν ὠνομάσθησαν, ὅπερ καθήκει καὶ ἐπὶ τῶν ἄλλων ἀρετῶν παρατηρεῖν. Φανερὸν [k]δ' ἔσται ἐκ τούτων, ὅτι καὶ τῶν κακῶν αἱ ὁμοίαι διαιρέσεις [m]ἔσονται. Διαφέρειν δὲ λέγουσιν αἱρετὸν καὶ ληπτόν. Αἱρετὸν μὲν γὰρ εἶναι τὸ ὁρμῆς αὐτοτελοῦς [n]κινητικόν. [o]. . . [p]Ὅσῳ δὲ διαφέρει τὸ αἱρετὸν τοῦ [q]ληπτοῦ, τοσούτῳ καὶ τὸ αὐθαίρετον τοῦ κατ' αὐτὸ ληπτοῦ, καὶ καθόλου τὸ ἀγαθὸν τοῦ ἀξίαν ἔχοντος. Τοῦ δ' ἀνθρώπου ὄντος ζώου λογικοῦ θνητοῦ,

[z] γνωριμώτατη] –μώτητα V. A. P.

[a] συνειθισμένων] συνηθισμ. A.

[b] ὁμοδαπῶν] ἀλλοδαπῶν V. A. Cant. in marg.

[c] δὲ deest V. A.

[d] φιλανθρωπ.] φιλίαν V. A. Cant. in marg.

[e] ἐρωτικῶν] ἐρωτικὴν Heeren. Mox εἴ τι A.

[f] τέκνοις κατὰ φύσιν ἔχουσι] τέκνων κατὰ φύσιν ἔχουσα Heeren. τέχνης V. A.

[g] Verba ἡ δ' εὐγηρ.—σπουδ. des. A.

[h] γῆρα κ. φ. ἔχοντι] γήρατος κ. φ. ἔχουσα Heeren.

[i] ἐν εὐζωΐᾳ] ἡ εὐζωΐα Heeren.

[k] δ' ἔσται ἐκ τούτων edidi pro δὲ ἀεί τι τούτων. HEEREN.

[m] ἔσονται] ἔπονται V.

[n] κινητικὸν] νικητικὸν V. A. P.

[o] Pauca hic exciderunt, etsi in codd. nullum lacunæ signum. Desideratur enim ἡ τοῦ ληπτοῦ explicatio, quæ ex sequentibus ita suppletur: ληπτὸν δὲ τὸ ἀξίαν ἔχον, *quod dignitatem seu pretium habet.* HEEREN.

[p] Ὅσῳ] ὅσο sic V.

[q] ληπτοῦ, quod respondet τῷ αἱρετῷ, edidi pro ληπτικοῦ. HEEREN.

φύσει πολιτικοῦ, φασὶ καὶ τὴν ἀρετὴν πᾶσαν τὴν περὶ ἄνθρωπον καὶ τὴν εὐδαιμονίαν ζωὴν ἀκόλουθον ὑπάρχειν καὶ ὁμολογουμένην [r] φύσει.

[s] Τὸ δὲ τέλος ὁ μὲν Ζήνων οὕτως ἀπέδωκε, τὸ ὁμολο-
[II.134] γουμένως ζῆν· τοῦτο δ' ἐστὶ καθ' ἕνα λόγον καὶ σύμφωνον ζῆν, ὡς τῶν [t] μαχομένων ζώων κακοδαιμονούντων. Οἱ δὲ μετὰ τοῦτον, προσδιαρθροῦντες, οὕτως ἐξέφερον, ὁμολογουμένως τῇ φύσει ζῆν· ὑπολαβόντες ἔλαττον εἶναι κατηγόρημα τὸ ὑπὸ τοῦ Ζήνωνος ῥηθέν. Κλεάνθης γὰρ πρῶτος διαδεξάμενος αὐτοῦ τὴν αἵρεσιν προσέθηκε τῇ φύσει, καὶ οὕτως ἀπέδωκε· τέλος ἐστὶ τὸ ὁμολογουμένως τῇ φύσει ζῆν. Ὅπερ ὁ [u] Χρύσιππος σαφέστερον βουλόμενος ποιῆσαι, ἐξήνεγκε τὸν τρόπον τοῦτον· ζῆν κατ' ἐμπειρίαν τῶν φύσει συμβαινόντων. [x] Διογένης δὲ, [y] εὐλογιστίαν ἐν τῇ τῶν κατὰ φύσιν ἐκλογῇ [z] καὶ ἀπεκλογῇ. [a] Ἀρχέδημος δὲ, [b] πάντα τὰ καθήκοντα [c] ἐπιτελοῦντας [d] ζῆν. Ἀντίπατρος δὲ, ζῆν ἐκλεγομένους μὲν τὰ κατὰ φύσιν, ἀπεκλεγομένους δὲ τὰ παρὰ φύσιν διηνε-
[II.136] κῶς. Πολλάκις δὲ καὶ οὕτως ἀπεδίδου, πᾶν τὸ κατ' [e] αὐτὸν ποιεῖν διηνεκῶς καὶ [f] ἀπαραβάτως πρὸς τὸ τυγχάνειν p. 172.

[r] φύσιν] φύσει V. A.

[s] Diog. VII. 87. Διόπερ πρῶτος ὁ Ζήνων ἐν τῷ περὶ ἀνθρώπου φύσεως, τέλος εἶπε τὸ ὁμολογουμένως τῇ φύσει ζῆν. HEEREN. Vid. Lipsium Manud. Stoic. II. 14.

[t] μαχομένων ζώων] μαχομένως ζώντων Davis. ad Cic. de Fin. II. 12.

[u] Χρύσιππος] Diog. ibid. ex libro Chrysippi primo περὶ τελῶν. Πάλιν δ' Ἰσόν ἐστι τὸ κατ' ἀρετὴν ζῆν τῷ κατ' ἐμπειρίαν τῶν φύσει συμβαινόντων ζῆν, ὥς φησι Χρύσιππος ἐν τῷ πρώτῳ περὶ τελῶν, μέρη γάρ εἰσιν αἱ ἡμέτεραι φύσεις τῆς τοῦ ὅλου. HEEREN.

[x] Διογένης] Diog. Laërt. ibid. ὁ μὲν οὖν Διογένης τέλος φησὶ ῥητῶς, τὸ εὐλογιστεῖν ἐν τῇ τῶν κατὰ φύσιν ἐκλογῇ. HEEREN.

[y] εὐλογιστίαν] εὐλογιστεῖν Davisius.

[z] καὶ ἀπεκλογῇ om. A.

[a] Ἀρχέδημος] Diog. l. c. Ἀρχέδημος δὲ, (τέλος φησὶν,) τὸ πάντα τὰ καθήκοντα ἐπιτελοῦντα ζῆν. HEEREN.

[b] Post πάντα add. τὰ V. A.

[c] ἐπιτελοῦντα] ἐπιτελοῦντας V. A.

[d] Post ζῆν add. Ἀντίπατρος δὲ ζῆν, ἐκλ. etc. V. A.

[e] αὐτὴν] αὐτὸν V. A.

[f] παραβάτως] ἀπαραβάτως V. A.

τῶν προηγουμένων κατὰ φύσιν. Τὸ δὲ τέλος λέγεσθαι τριχῶς ὑπὸ τῶν ἐκ τῆς αἱρέσεως ταύτης· τό τε γὰρ τελικὸν ἀγαθὸν λέγεσθαι τέλος ἐν τῇ φιλολόγῳ συνηθείᾳ, ὡς τὴν ὁμολογίαν λέγουσι τέλος εἶναι· λέγουσι δὲ καὶ τὸν σκοπὸν τέλος, οἷον [g]τὸν ὁμολογούμενον βίον ἀναφορικῶς λέγοντες ἐπὶ τὸ παρακείμενον κατηγόρημα. Κατὰ δὲ τὸ τρίτον σημαινόμενον, λέγουσι τέλος τὸ ἔσχατον τῶν ὀρεκτῶν, [h]ἐφ' ὃ πάντα τὰ ἄλλα ἀναφέρεσθαι. Διαφέρειν δὲ τέλος καὶ σκοπὸν ἡγοῦνται· σκοπὸν μὲν γὰρ εἶναι τὸ ἐκκείμενον [i]σῶμα, οὗ τυχεῖν ἐφίεσθαι τοὺς τῆς εὐδαιμονίας [k]σκεπτομένους, διὰ τὸ πάντα μὲν σπουδαῖον εὐδαιμονεῖν, πάντα δὲ φαῦλον ἐκ τῶν ἐναντίων κακοδαιμονεῖν. ([l]Καὶ τῶν ἀγαθῶν τὰ μὲν ἀναγκαῖα εἶναι πρὸς εὐδαιμονίαν, τὰ δὲ μή. Καὶ ἀναγκαῖα μὲν, [m]τάς τε ἀρετὰς πάσας καὶ τὰς ἐνεργείας τὰς χρη-
[II.138] στικὰς αὐτῶν· οὐκ ἀναγκαῖα δὲ, χαράν τε καὶ εὐφροσύνην καὶ τὰ ἐπιτηδεύματα. Παραπλησίως δὲ καὶ τῶν κακῶν τὰ μὲν ἀναγκαῖα ὡς ἂν [n]κακὰ πρὸς [o]κακοδαιμονίαν εἶναι, [p]τὰ δ' οὐκ ἀναγκαῖα. Ἀναγκαῖα μὲν, τάς τε κακίας πάσας, καὶ τὰς ἐνεργείας τὰς ἀπ' αὐτῶν· οὐκ ἀναγκαῖα δὲ, τά τε πάθη πάντα, καὶ τὰ ἀρρωστήματα, καὶ τὰ τούτοις παραπλήσια.) Τέλος δέ φασιν εἶναι τὸ εὐδαιμονεῖν, [q]οὗ ἕνεκα πάντα πράττεται, αὐτὸ δὲ πράττεται μὲν οὐδενὸς

g τὸ] τὸν V. A.

h ἐφ' ᾧ] ἐφ' ὃ Heeren.

i σῶμα] σῶμα V. A. Cant. in marg. σῆμα ed. Heeren. improbante Wyttenbachio ad Bakii Posidonium p. 285.

k σκεπτομένους] Wyttenbachius l. c. conjicit στοχαζομένους. Heerenius ante τῆς εὐδαιμονίας inserit περί.

l Verba quæ hic sequuntur καὶ τῶν usque ad παραπλήσια pro parenthesi habenda sunt; nam tunc demum sequitur explicatio τοῦ τέλους, quam divisio modo proposita inter σκοπὸν et τέλος postulat. HEEREN.

m τάς τε] τε om. A.

n κατὰ] κακὰ A.

o εὐδαιμονίαν] κακοδαιμονίαν Heeren.

p τὰ δ' οὐκ etc.] τὰ δ' οὐκ. τὰ δ' οὐκ ἀναγκαῖα V. A.

q οὗ ἕνεκα πάντα πράττεται μὲν, οὐδενὸς δὲ] οὗ ἕνεκα πάντα πράττεται αὐτὸ δὲ πράττεται μὲν οὐδενὸς δὲ V. A.

δὲ ἕνεκα· τοῦτο δ' ὑπάρχειν ἐν τῷ κατ' ἀρετὴν ζῆν, ἐν τῷ ὁμολογουμένως ζῆν, ἔτι, [r]ταυτοῦ ὄντος, ἐν τῷ κατὰ φύσιν ζῆν. Τὴν δὲ εὐδαιμονίαν ὁ Ζήνων ὡρίσατο τὸν τρόπον τοῦτον· εὐδαιμονία δ' ἐστὶν [s]εὔροια βίου. Κέχρηται δὲ καὶ Κλεάνθης τῷ ὅρῳ τούτῳ ἐν τοῖς [t]ἑαυτοῦ συγγράμμασι, καὶ ὁ Χρύσιππος, καὶ οἱ ἀπὸ τούτων πάντες, [u]τὴν εὐδαιμονίαν εἶναι λέγοντες οὐχ ἑτέραν τοῦ εὐδαίμονος βίου, [x]καίτοι γε λέγοντες, τὴν μὲν εὐδαιμονίαν σκοπὸν ἐκκεῖσθαι, τέλος δ' εἶναι τὸ τυχεῖν τῆς εὐδαιμονίας, ὅπερ ταυτὸν εἶναι [y]τῷ εὐδαιμονεῖν. Δῆλον οὖν ἐκ τούτων, ὅτι ἰσοδυναμεῖ τὸ κατὰ φύσιν ζῆν καὶ τὸ
[II. 140] καλῶς ζῆν [z]καὶ τὸ εὖ ζῆν, καὶ πᾶν τὸ καλὸν καὶ τὸ [a]ἀγαθόν, καὶ ἡ ἀρετή, [b]καὶ τὸ μέτοχον ἀρετῆς· καὶ [c]ὅτι πᾶν τὸ ἀγαθὸν καλόν, ὁμοίως δὲ καὶ πᾶν [d]τὸ αἰσχρὸν κακόν· δι' ὃ καὶ τὸ [e]Στωϊκὸν τέλος ἴσον δύνασθαι [f]τῷ κατ' ἀρετὴν [g]βίῳ. Διαφέρειν δὲ λέγουσι τὸ [h]αἱρετὸν καὶ τὸ αἱρετέον. [i]Αἱρετὸν μὲν γὰρ εἶναι ἀγαθὸν τὸ πᾶν, [k]αἱρετέον δὲ ὠφέλημα πᾶν, ὃ θεωρεῖται [l]παρὰ τὸ ἔχειν τὸ ἀγαθόν. Δι' ὃ αἱρούμεθα μὲν τὸ αἱρετέον, οἷον τὸ φρονεῖν, ὃ θεωρεῖται [m]παρὰ τὸ ἔχειν φρόνησιν, [n]τὸ δὲ αἱρετὸν οὐχ αἱρούμεθα, [o]ἀλλ'

[r] ταυτοῦ ὄντος, *quod idem est*, rescripsi pro τοῦ ὄντος. HEEREN.

[s] εὔρροια] εὔροια Heeren. Vid. Menag. ad Laërt. VII. 88.

[t] ἑαυτοῦ] αὐτοῦ Heeren.

[u] τὴν εὐδ.] καὶ εὐδ. V. A.

[x] καί τοι] καὶ τοίγε V. A.

[y] τῷ edidi pro τό. HEEREN. τῷ V. A.

[z] Verba καὶ τὸ εὖ ζῆν desunt V.

[a] Verba ἀγαθὸν—πᾶν τὸ om. A.

[b] καὶ τὸ] ἢ τὸ V.

[c] ὅ] ὅτι V. A.

[d] αἰσχρὸν] τὸ αἰσχρὸν Heeren.

[e] Στωϊκὸν] στωϊκῶν A.

[f] τὸν] τῶν A. V.

ib. τὸν κατ' ἀρετὴν βίον] Heeren. ed. τῷ κατ' ἀρετὴν βίῳ tanquam ex mss.

[g] βίον] βίου V. A.

[h] Post αἱρετέον add. καὶ τὸ αἱρετεον V. A. P.

[i] Αἱρετὸν μὲν εἶναι τὸ πᾶν] Excidit hic. γὰρ post μὲν, quod nexus orationis flagitat; præterea ad τὸ πᾶν supplendum esse ἀγαθὸν ex sequentibus clarum est. HEEREN.

[k] αἱρετὸν δὲ] αἱρετέον δὲ V. A. P.

[l] Post παρὰ add. τὸ ἔχειν V. A.

[m] παρὰ τὸ] παρὰ τοῦ Heeren.

[n] τὸ δὲ αἱρετὸν ἀλλ' αἱ.] τὸ αἱρετέον οὐχ αἱρούμεθα V. A. P.

[o] ἀλλ' ἢ ἄρα ἔχειν] ἀλλ' ἄρα τὸ ἔχειν Heeren.

[II.142] ἄρα τὸ ἔχειν αὐτὸ αἱρούμεθα. Ὁμοίως δὲ καὶ τὰ μὲν ἀγαθὰ [p]πάντα ἐστὶ ὑπομενετὰ καὶ ἐμμενετὰ, καὶ [q]κατὰ λόγον τὸν αὐτὸν ἐπὶ τῶν ἄλλων αἱρετῶν, εἰ καὶ μὴ [r]κατωνόμασται· τὰ [s]δ' ὠφέλιμα πάντα ὑπομενετέα καὶ ἐμμενετέα· καὶ κατὰ τὸν αὐτὸν λόγον ἐπὶ τῶν ἄλλων [t]κατὰ τὰ οἰκεῖα.

Διειλημμένοις δ' ἱκανῶς περὶ ἀγαθῶν καὶ κακῶν, καὶ αἱρετῶν καὶ φευκτῶν, καὶ περὶ τέλους καὶ εὐδαιμονίας, ἀναγκαῖον ἡγησάμεθα καὶ τὰ περὶ τῶν [u]ἀδιαφόρων λεγόμενα κατὰ τὴν οἰκείαν τάξιν ἐπελθεῖν. Ἀδιάφορα δ' εἶναι λέγουσι τὰ μεταξὺ τῶν ἀγαθῶν καὶ τῶν κακῶν, διχῶς τὸ ἀδιάφορον νοεῖσθαι φάμενοι, καθ' ἕνα μὲν τρόπον τὸ μήτε ἀγαθὸν μήτε κακὸν, καὶ τὸ μήτε αἱρετὸν μήτε φευκτόν· καθ' ἕτερον δὲ, τὸ μήτε ὁρμῆς μήτε ἀφορμῆς κινητικὸν, [x]καθ' ὃ καὶ λέγεσθαί τινα καθάπαξ ἀδιάφορα εἶναι, οἷον τὸ προτεῖναι τὸν δάκτυλον [y]ὠδὶ ἢ ὠδὶ, ἢ τὸ ἀνελέσθαι τι τῶν ἐμποδὼν, κάρφος ἢ φύλλον. Κατὰ τὸ πρότερον δὴ λεκτέον τὰ μεταξὺ ἀρετῆς καὶ κακίας ἀδιάφορα λέγεσθαι [z]κατὰ τοὺς ἀπὸ τῆς αἱρέσεως ταύτης, οὐ μὴν πρὸς ἐκλογὴν καὶ ἀπεκλογήν· δι' ὃ καὶ τὰ μὲν ἀξίαν [a]ἐκλεκτικὴν ἔχειν, p. 173.
τὰ δ' ἀπαξίαν ἀπεκλεκτικὴν, συμβλητικὴν δ' οὐδαμῶς πρὸς τὸν εὐδαίμονα βίον· καὶ τὰ μὲν εἶναι κατὰ φύσιν, τὰ δὲ παρὰ φύσιν, τὰ δὲ οὔτε κατὰ φύσιν οὔτε παρὰ
[II.144] φύσιν. Κατὰ φύσιν μὲν οὖν τὰ τοιαῦτα· ὑγείαν, ἰσχὺν,

p πάντα ἐστὶ πάντα] πάντα secundum om. Heeren.

q κατὰ λόγον ἐπὶ τῶν ἄλλων αἱρετῶν ἐστι] καὶ κατὰ λόγον τὸν αὐτὸν ἐπὶ τῶν ἄλλων αἱρετῶν Heeren. in annot. qui edidit κατὰ ταυτὸν ἐπὶ κ. τ. λ.

r κατ' ὠνόμαστον] κατωνομάσθαι V. A. κατωνόμασται Heeren.

s δὲ deest V. A.

t τῶν κατὰ τὰς οἰκείας] κατὰ τὰ οἰκεῖα Heeren.

u ἀδιαφόρων] Vid. Diog. Laërt. VII. 104. sq.

x καθὰ] καθὸ V. A.

y Post ὠδὶ add. ἢ ὠδὶ V. P. ἢ ὠδὶ om. A.

z καὶ τοὺς] κατὰ τοὺς V. A.

a ἐκλεκτὴν] ἐκλεκτικὴν V. P. A.

αἰσθητηρίων ἀρτιότητα, καὶ τὰ παραπλήσια τούτοις· παρὰ φύσιν δὲ τὰ τοιαῦτα· νόσον, ἀσθένειαν, πήρωσιν, καὶ τὰ τοιαῦτα· οὔτε δὲ κατὰ φύσιν οὔτε παρὰ φύσιν· ψυχῆς κατάστασιν καὶ σώματος, [b]καθ' ἣν ἡ μέν ἐστι φαντασιῶν ψευδῶν δεκτική, τὸ δὲ τρωμάτων καὶ πηρώσεων δεκτικόν, καὶ τὰ τούτοις ὅμοια. Ποιεῖσθαι δὲ λέγουσι τὸν περὶ τούτων λόγον τῶν πρώτων κατὰ φύσιν καὶ παρὰ φύσιν. Τὸ γὰρ διαφέρον καὶ τὸ ἀδιάφορον [c]τῶν πρός τι λεγομένων εἶναι. Διότι κἂν, φασὶ, [d]λέγωμεν ἀδιάφορα τὰ σωματικὰ καὶ τὰ ἐκτὸς πρὸς τὸ εὐσχημόνως ζῆν, (ἐν ᾧ παρέστι τὸ εὐδαιμόνως,) ἀδιάφορά [e]φαμεν αὐτὰ εἶναι, [f]οὐ μὰ Δία πρὸς τὸ κατὰ φύσιν ἔχειν [g]οὐδὲ πρὸς ὁρμὴν καὶ ἀφορμήν. [h]Ἔτι δὲ τῶν ἀδιαφόρων τὰ μὲν πλείω ἀξίαν ἔχειν, τὰ δ' ἐλάττω· καὶ τὰ μὲν καθ' αὑτά, τὰ δὲ ποιητικά· καὶ τὰ μὲν προηγμένα, τὰ δὲ ἀποπροηγμένα, τὰ δ' οὐδετέρως ἔχοντα. Προηγμένα μὲν, ὅσα ἀδιάφορα ὄντα πολλὴν ἔχει ἀξίαν, [i]ὡς ἐν ἀδιαφόροις· [k]ἀποπροηγμένα δὲ, ὅσα πολλὴν ἔχει ἀπαξίαν ὁμοίως· οὔτε δὲ προηγμένα οὔτε ἀποπροηγμένα, ὅσα μήτε πολλὴν [l]ἔχει ἀξίαν μήτε ἀπαξίαν. Τῶν
[II.146] δὲ προηγμένων τὰ μὲν εἶναι περὶ ψυχὴν, τὰ δὲ περὶ σῶμα, τὰ δ' ἐκτός. Περὶ ψυχὴν μὲν εἶναι τὰ τοιαῦτα· εὐφυΐαν, προκοπὴν, μνήμην, ὀξύτητα, διάνοιαν, ἕξιν καθ' ἣν [m]ἐπίμονοί ἐσμεν ἐπὶ τῶν καθηκόντων, καὶ [n]τέχνας ὅσαι δύνανται συνεργεῖν ἐπιπλεῖον πρὸς τὸν κατὰ φύσιν βίον· περὶ σῶμα δ' εἶναι προηγμένα, ὑγείαν, [o]εὐαισθησίαν, καὶ τὰ παραπλή-

[b] καθ' ἃς] καθ' ἣν Heeren.
[c] τῶν πρὸς] τῶν περὶ πρὸς Heeren.
[d] λέγωμεν] λέγομεν V.
[e] μὲν] φαμὲν V. A.
[f] οὐ μὰ—ἔχειν om. Heeren.
[g] οὐδὲ] οὐδὲν V. A.
[h] Ἔτι] εἴ τι A.
[i] Verba ὡς ἐν—ἀπαξίαν des. A.
[k] Post ἀποπροηγμένα add. δὲ V. P.
[l] ἔχει ἀπαξίαν] ἔχει ἀξίαν μήτε ἀπ. Heeren.
[m] ἐπιμόνοις εἰσὶν] ἐπίμονοί ἐσμεν Heeren.
[n] τέχναις] τέχνας Heeren.
[o] αἰσθητηρίαν] εὐαισθησίαν Heeren. Vid. infra p. 174, 3.

σια τούτοις· τῶν δ' ἐκτὸς, γονεῖς, τέκνα, κτῆσιν σύμμε-
τρον, ἀποδοχὴν παρ' ἀνθρώπων. Τῶν δ' ἀποπροηγμένων
περὶ ψυχὴν μὲν εἶναι τὰ ἐναντία τοῖς εἰρημένοις· περὶ σῶμα
δὲ καὶ ἐκτὸς τὰ ὁμοίως [p]ἀντετιθέμενα τοῖς εἰρημένοις περί
τε σῶμα καὶ τοῖς ἐκτὸς [q]προηγουμένοις. Οὔτε δὲ τὰ προ-
ηγμένα οὔτε [r]ἀποπροηγμένα, περὶ ψυχὴν φαντασίαν, καὶ
συγκατάθεσιν, καὶ ὅσα τοιαῦτα· περὶ δὲ σῶμα λευκότητα,
καὶ μελανότητα, καὶ χαροπότητα, καὶ [s]ἡδονὴν [τις ἂν]
καὶ πόνον, καὶ [t]εἴ τι ἄλλο τοιοῦτο. Τῶν δ' ἐκτὸς οὔτε
[II.148] προηγμένα [u]οὔτε ἀποπροηγμένα εἶναι τὰ τοιαῦτα, ὅσα εὐ-
τελῆ ὄντα καὶ μηδὲν χρήσιμον προσφερόμενα, μικρὰν παν-
τελῶς ἔχει τὴν ἀπ' αὐτῶν χρείαν. [v]Τῆς δὲ ψυχῆς οὔσης
κυριωτέρας τοῦ σώματος, καὶ πρὸς τὸ κατὰ φύσιν ζῆν
φασὶ τὰ περὶ τὴν ψυχὴν κατὰ φύσιν ὄντα καὶ προηγμένα
[x]πλείονα τὴν εὐεξίαν ἔχειν [y]τῶν περὶ σῶμα καὶ [z]τῶν ἐκτὸς,
οἷον εὐφυΐαν ψυχῆς πρὸς ἀρετὴν ὑπεράγειν τῆς τοῦ σώμα-
τος εὐφυΐας, καὶ ὁμοίως ἐπὶ τῶν ἄλλων ἔχειν. [w]Ἔτι δὲ
τῶν ἀδιαφόρων φασὶ τὰ μὲν εἶναι ὁρμῆς κινητικὰ, τὰ δὲ
ἀφορμῆς, τὰ δὲ οὔτε ὁρμῆς οὔτε ἀφορμῆς. Ὁρμῆς μὲν οὖν
κινητικὰ, ἅπερ ἐλέγομεν εἶναι κατὰ φύσιν· [a]ἀφορμῆς δὲ,
ὅσα παρὰ φύσιν· οὔτε δὲ ὁρμῆς οὔτε ἀφορμῆς, [b]τὰ μηδε-
τέρως ἔχοντα, οἷά ἐστι τὸ περιττὰς ἢ [c]ἀρτίας ἔχειν τὰς

p ἀντιθέμενα] ἀντετιθέμενα V. A.
q προηγμένοις] προηγουμένοις V. A.
r ἀποπροηγμένα] ἀπροηγμένα V.
s Post ἡδονὴν ap. Cant. [et A.] inseritur τὶς ἄν, quod nihil prorsus habet ad quod referri possit. Pronum foret plane illud delere; manet tamen dubitatio unde ortum sit. Mihi in ἡδονὴν τίς ἄν substantivum latere videtur; ac legendum forte ἡδυπάθειαν, *voluptatem*, quæ τῷ πόνῳ opponitur. Xenoph. Op. p. 243. νομίζουσι τὸ μὲν πονεῖν ἀθλιώτατον, τὸ δὲ ἀπόνως βιοτεύειν, ἡδυπάθειαν. HEEREN.
t ἤτοι] εἴτι V. A.
u Verba οὔτε ἀποπροηγμένα, a me suppleta sunt. HEEREN.
v Τῆς] τῆς δὲ V. A.
x πλείοντα] πλείονα V. A.
y τῶν περὶ σῶμα] τῶν τε σῶμα, et in marg. περὶ V.
z τῶν ἐκτὸς] τὸν ἐντὸς A.
a Post ἀφορμῆς add. δὲ V. A.
b τὰς δὲ μηδ.] τὰς μηδ. A. τά γε μ. Heeren.
c ἀρτίας] ἀρτίους V. A.

τριχάς [d]. Τῶν δὲ κατὰ φύσιν ἀδιαφόρων ὄντων, τὰ μέν ἐστι πρῶτα κατὰ φύσιν, τὰ δὲ κατὰ μετοχήν. Πρῶτα μέν ἐστι κατὰ φύσιν κίνησις, ἢ σχέσις κατὰ τοὺς [e] σπερματικοὺς λόγους γινομένη, οἷον [f] ὑγεία καὶ αἴσθησις, λέγω
[II. 150] δὲ τὴν κατάληψιν καὶ ἰσχύν. Κατὰ μετοχὴν δὲ, ὅσα μετέχει κινήσεως καὶ σχέσεως [g] κατὰ τοὺς σπερματικοὺς λόγους, οἷον [h] χεὶρ ἀρτία, καὶ σῶμα [i] ὑγιαῖνον, καὶ αἰσθήσεις [k] μὴ πεπηρωμέναι. Ὁμοίως δὲ καὶ τῶν παρὰ φύσιν [l] κατὰ τὸ ἀνάλογον. Πάντα δὲ κατὰ φύσιν ληπτὰ εἶναι, καὶ [m] ἅπαντα παρὰ φύσιν ἄληπτα. Τῶν δὲ κατὰ φύσιν τὰ μὲν καθ' αὑτὰ ληπτὰ εἶναι, τὰ δὲ [n] δι' ἕτερα. Καθ' p. 174.
αὑτὰ μέν, ὅσα ἐστὶν ὁρμῆς κινητικὰ [p] καὶ κατατρεπτικῶς ἐφ' ἑαυτὰ, ἢ ἐπὶ [q] τῷ ἀντέχεσθαι αὐτῶν, οἷον ὑγείαν, εὐαισθησίαν, ἀπονίαν, καὶ κάλλος σώματος. Ποιητικὰ [r] δὲ, ὅσα εἰσὶν ὁρμῆς κινητικὰ [s] ἀνετικῶς [t] ἐφ' ἕτερα, καὶ μὴ [u] κατατρεπτικῶς, οἷον πλοῦτον, δόξαν, [x] καὶ τὰ τούτοις ὅμοια. Παραπλησίως δὲ καὶ τῶν παρὰ φύσιν, τὰ μὲν εἶναι καθ'

[d] Idem exemplum de capillis vel paribus vel imparibus affert Diog. VII. 104. qui et aliud adhuc subjungit ἢ ἐκτεῖναι ἢ συστεῖλαι τὸν δάκτυλον. HEEREN.

[e] Sunt apud Stoicos λόγοι σπερματικοὶ *leges, quas natura in formandis corporibus maxime organicis secuta est.* Cf. Tiedemann II. 49. Erit itaque σχέσις κατὰ τοὺς σπερματικοὺς λόγους, *is status seu habitus corporis qui legibus illis convenit.* HEEREN. Vid. Diog. Laërt. VII. 148.

[f] ὑγείαι] ὑγεία V. A.

[g] Post κατὰ add. τοὺς V. A.

[h] χειραντία] χεὶρ ἀρτία V. A.

[i] ὑγαῖνον] ὑγιαῖνον V. A.

[k] μὴ edidi pro μήτε, quod ferri nequit, nisi post πεπηρωμέναι lacunam esse dixeris. HEEREN.

[l] κατὰ ἀνάλογον] κατὰ τὸ ἀνάλογον V. A.

[m] ἅπαντα τὰ φύσιν] τὰ φύσιν om. V. A. παρὰ φύσιν Heeren.

[n] διέστερα] δι' ἕτερα V. A.

[p] καὶ κατατρεπτικῶς] καὶ om. Heeren. Verba καὶ—κινητικὰ om. V. A.

[q] τῶν] τῷ Heeren.

[r] δὲ add. Heeren.

[s] ἀνεκτῶς] ἀνεκτικῶς V. A. ἀνετιτῶς Heeren. ex E.

[t] ἐφ'] ἀφ' V.

[u] κατατρεπτικῶς] παρατρεπτικῶς V. A.

[x] καὶ ante τὰ deest V. A.

[II.152] αὐτὰ [y]ἄληπτα, τὰ δὲ τῷ [z]ποιητικὰ εἶναι. Τῶν δὲ καθ' αὐτὰ [a]ἀλήπτων .... Πάντα δὲ τὰ κατὰ φύσιν ἀξίαν ἔχειν, καὶ πάντα τὰ παρὰ φύσιν ἀπαξίαν. Τὴν δὲ ἀξίαν [b]λέγεσθαι [c]τριχῶς, [d]τήν γε δόσιν, ἢ τὴν καθ' αὐτὸ, καὶ τὴν ἀμοιβὴν τοῦ δοκιμαστοῦ, καὶ τὴν τρίτην, [e]ἣν ὁ Ἀντίπατρος ἐκλεκτικὴν προσαγορεύει, καθ' ἣν, διδόντων τῶν πραγμάτων, [f]τὰ δέ τινα μᾶλλον ἀντὶ τῶνδε αἱρούμεθα, οἷον ὑγείαν ἀντὶ νόσου, καὶ ζωὴν ἀντὶ θανάτου, καὶ πλοῦτον ἀντὶ πενίας.

[II.154] Κατὰ τὸ ἀνάλογον δὲ καὶ τὴν ἀπαξίαν τριχῶς φασὶ λέγεσθαι, ἀντιτιθεμένων τῶν σημαινομένων τοῖς [g]ἐπὶ τῆς πρώτης ἀξίας εἰρημένοις. Τὴν δὲ δόσιν φησὶν ὁ Διογένης κρίσιν εἶναι, ἐφ' ὅσον κατὰ φύσιν ἐστὶν, ἢ ἐφ' ὅσον χρείαν τῇ φύσει παρέχεται. Τὸ δὲ [h]δοκιμαστικὸν, οὐχ ὡς λέγεται τὰ

y ἄληπτα sensu flagitante rescripsi pro ληπτά. Sic quoque statim καθ' αὐτὰ ἀληπτῶν edidi pro καθ' αὐτὰ ληπτῶν. HEEREN.

z ποιητικὰ] ποιητικῶς V.

a Post τῶν δὲ καθ' αὐτὰ ἀλήπτων procul dubio nonnulla exciderunt. HEEREN. ληπτῶν A.

b Ante λέγεσθαι add. τὴν δὲ ἀξίαν V. A. P.

c τριχῶς] Triplex τῆς ἀξίας genus, quod apud Diog. Laërt. VII. 105. proponitur, cum nostro non omnino convenire videtur. Habet ille: Τῶν ἀδιαφόρων τὰ μὲν λέγουσι προηγμένα, τὰ δὲ ἀποπροηγμένα. Προηγμένα μὲν τὰ ἔχοντα ἀξίαν· ἀποπροηγμένα δὲ τὰ ἀναξίαν ἔχοντα. Ἀξίαν δὲ, τὴν μέν τινα λέγουσι σύμβλησιν πρὸς τὸν ὁμολογούμενον βίον, ἥτις ἐστὶ πᾶν ἀγαθόν· (quæ adeo ea foret τῆς ἀξίας species, quam Stob. δόσιν vocat;) τὴν δὲ εἶναι μέσην τινὰ δύναμιν ἢ χρείαν συμβαλλομένην πρὸς τὸν κατὰ φύσιν βίον, πλοῦτος ἢ ὑγιεία· (quam desidero ap. Stob.) τὴν δ' εἶναι ἀξίαν, ἀμοιβὴν δοκιμαστοῦ, ἣν ἂν ὁ ἔμπειρος τῶν πραγμάτων τάξῃ· ὅμοιον εἰπεῖν, ἀμείβεσθαι πυροὺς πρὸς τὰς σὺν ἡμιόνῳ κριθὰς, (quæ secundam speciem ap. Stob. constituit.) Aliter quidem l. h. tentavit Tiedem. l. c. III. p. 288. rescribendo: ἀξίαν λέγεσθαι τριχῶς, τὴν δόσιν, καὶ τὴν καθ' αὐτὰ, καὶ τὴν ἀμοιβὴν τοῦ δοκιμαστοῦ. Καὶ τὴν μὲν πρώτην (pro καὶ τὴν τρίτην) ὁ Ἀντίπατρος etc. Recedunt tamen hæc a codd. lectione, qui omnes tenent τὴν τρίτην ἣν etc. Ceterum pertinent hæc ad argutias Stoicas quibus Diogenis Antipatri et Chrysippi maxime scripta abundasse videntur; post quorum interitum plane eas expediri non posse nemo mirabitur. HEEREN.

d τὴν δὲ δόσιν καὶ] τήν γε δόσιν ἢ Heeren.

e καὶ ὁ] ἣν ὁ V. A.

f τὰ δὲ] τά γε Heeren.

g ἐπὶ] τοῖς ἐπὶ A.

h δοκιμαστικὸν] δοκιμαστὸν V. A.

πράγματα δοκιμαστὰ παραλαμβάνεσθαι, [i]ἀλλ' ὡς [k]δοκι- 20
μαστήν φαμεν [l]εἶναι [m]τὸν τὰ πράγματα δοκιμάζοντα. Τῆς οὖν ἀμοιβῆς τὸν τοιοῦτόν φασι δοκιμαστὴν εἶναι, καὶ ταύτας μὲν τὰς δύο ἀξίας καθ' ἃς λέγομέν [n]τινα τῇ ἀξίᾳ προῆχθαι. Τρίτην δέ φησιν εἶναι, καθ' ἣν φαμεν ἀξίωμά [o]τινα ἔχειν, καὶ ἀξίαν, [p]ἥπερ περὶ ἀδιάφορα οὐ γίνεται, ἀλλὰ περὶ μόνα τὰ σπουδαῖα. Χρῆσθαι δὲ ἡμᾶς φησὶν ἐνίοτε τῷ ὀνόματι τῆς ἀξίας ἀντὶ τοῦ ἐπιβάλλοντος· ὡς ἐν 25
τῷ τῆς δικαιοσύνης ὅρῳ παρείληπται, ὅταν λέγηται εἶναι ἕξις ἀπονεμητικὴ τοῦ κατ' ἀξίαν ἑκάστῳ, [q]ἔστι γὰρ οἷον τοῦ ἐπιβάλλοντος ἑκάστῳ. Τῶν δ' ἀξίαν ἐχόντων, τὰ μὲν ἔχειν [r]πολλὴν ἀξίαν, τὰ δὲ βραχεῖαν. [s]Ὁμοίως δὲ καὶ
[II.156] [t]τῶν ἀπαξίαν ἐχόντων, ἃ μὲν ἔχειν πολλὴν ἀπαξίαν, ἃ δὲ 30
βραχεῖαν. Τὰ μὲν [u]οὖν πολλὴν ἔχοντα ἀξίαν προηγμένα λέγεσθαι, τὰ δὲ πολλὴν ἀπαξίαν, ἀποπροηγμένα, Ζήνωνος ταύτας τὰς ὀνομασίας θεμένου πρώτου τοῖς πράγμασι. [x]Προηγμένον δ' εἶναι λέγουσιν, ὃ ἀδιάφορον [y]ὂν ἐκλεγόμεθα κατὰ προηγούμενον λόγον. Τὸν δ' ὅμοιον [z]ἄρα λόγον ἐπὶ 35
τῶν [a]ἀποπροηγμένων εἶναι, καὶ τὰ παραδείγματα κατὰ

i ἄλλῳ] ἀλλ' ὡς V. A.

k δοκιμαστὴν] δοκιμαστὸν A.

l Post εἶναι add. τὸν τὰ πράγματα δοκιμάζοντα τῆς (τὴν P.) οὖν ἀμοιβῆς (–βὴν P.) τὸν τοιοῦτόν φασι δοκιμαστὴν εἶναι, καὶ ταύτας μὲν etc. V. A.

m τὸν τὰ] τὸν om. A.

n τινὰ edidi pro τινὰς, nam de rebus, non de personis sermo est. HEEREN.

o τινα] τινας A. Cant.

p ἥπερ] εἴπερ V.

q ἔστι—ἑκάστῳ om. A.

r πολλὴν ἀξίαν] πολλὴν ἀπαξίαν A.

s Verba ὁμοίως—βραχεῖαν desunt V.

t τῶν quod res postulat rescripsi pro τήν. HEEREN. Deest v. A.

u οὖν supplevi ut nexus sermonis constaret. HEEREN.

x Προηγμένον] προηγούμενον A. et sic infra.

y ὂν, ob terminationem præcedentis verbi male omissum, inserui. HEEREN.

z ἄρα λόγον edidi pro ἀνάλογον, (nisi forte præferas τὸ δ' ὅμοιον ἀνάλογον, eodem sensu;) et statim τῶν ἀποπροηγμένων pro τὸ ἀποπροηγμένως ap. Cant. HEEREN.

a ἀποπροηγμένως] –μένον V. A.

τὴν ἀναλογίαν ταὐτά. Οὐδὲν δὲ τῶν ἀγαθῶν εἶναι [b]προηγμένον, διὰ τὸ τὴν μεγίστην ἀξίαν αὐτὰ ἔχειν. Τὸ δὲ προηγμένον, τὴν δευτέραν χώραν καὶ ἀξίαν ἔχον, [c]συνεγγίζειν πῶς τῇ τῶν ἀγαθῶν φύσει· [d]οὐδὲ γὰρ ἐν αὐλῇ τὸν [e]προηγούμενον εἶναι τὸν βασιλέα, ἀλλὰ τὸν [f]μετ' αὐτὸν τεταγμένον. Προηγμένα δὲ λέγεσθαι, [g]οὐ τῷ πρὸς εὐδαιμονίαν τινὰ συμβάλλεσθαι συνεργεῖν τι πρὸς αὐτὴν, ἀλλὰ [h]τῷ ἀναγκαῖον εἶναι τούτων τὴν ἐκλογὴν ποιεῖσθαι παρὰ τὰ [i]ἀποπροηγμένα.

[II.158] Ἀκόλουθος δ' ἐστὶ τῷ λόγῳ τῷ περὶ τῶν προηγμένων ὁ περὶ τοῦ καθήκοντος τόπος. Ὁρίζεται δὲ τὸ καθῆκον, τὸ ἀκόλουθον ἐν ζωῇ, ὃ [k]πραχθὲν εὔλογον ἀπολογίαν ἔχει· παρὰ τὸ καθῆκον δὲ τὸ ἐναντίως. Τοῦτο [l]διατείνει καὶ εἰς τὰ ἄλογα τῶν ζώων, ἐνεργεῖ γάρ τι κἀκεῖνα ἀκολούθως τῇ ἑαυτῶν [m]φύσει· ἐπὶ δὲ τῶν λογικῶν ζώων οὕτως [n]ἀποδίδοται, [nn]τὸ ἀκόλουθον ἐν βίῳ. Τῶν δὲ καθηκόντων τὰ μὲν

[b] προηγμένον] –ηγούμενον V. A.

[c] συνεγγίζει] –γίζειν V. A.

[d] Corrupta hæc ap. Cant. ita exstant: οὐδὲν γὰρ ἂν αὐλητῶν προαγόμενον εἶναι τὸν βασιλέα, ἀλλὰ τοῦ μὲν ταυτὸν (μετ' αὐτὸν A.) τεταγμένου. Pro ἂν αὐλητῶν rescribendum esse ἐν αὔλῃ τῶν Cant. jam in marg. annotaverat, quo tamen locus nondum restituitur. HEEREN. οὐδὲ γὰρ τῶν ἐν αὐλῇ Davis. ad Cic. de Fin. III. 16. qui mox ἀλλὰ τοὺς μετὰ τοῦτον τεταγμένους. Wyttenbach. ad Bakii Posidonium p. 280. citat οὐδὲ γὰρ ἐν αὐλῇ τῶν προαγομένων—τοὺς μετ' αὐτὸν τεταγμένους.

[e] προαγόμενον] προηγούμενον V.

[f] μὲν ταυτὸν] μετ' αὐτὸν V. A.

[g] οὐ τὸ] οὐ τῷ A.

ib. οὐ διὰ τὸ εὐδαιμονίαν τινὶ συμβάλλεσθαι ἢ συνεργεῖν τι πρὸς αὐτὴν, ἀλλὰ διὰ τὸ—παρὰ τὰ ἀποπροηγμένα. Sic Davis. ad Cic. Fin. III. 16.

[h] καὶ τὸ] τῷ V. A.

[i] προηγμένα] ἀποπροηγμένα V. A.

[k] παραχθὲν] πραχθὲν Heeren. nescio an secutus Menagium ad Diog. Laert. VII. 107.

[l] διατείνει] διατείνειν V.

ib. διατείνειν, suppleto simul δὲ, edidi ex V. pro διατείνει. HEEREN.

[m] φύσει] Post h. v. distinguendum monet Lyndenus de Panætio p. 95. addito δὲ post ἐπὶ, hoc sensu: *Nam et animalia rationis expertia aliquid suæ naturæ consequenter agunt: at in animalibus ratione præditis officium ita definitur, ut sit id, quod in vita consequens est.*

[n] ἀποδίδοται] –δεται V.

[nn] τὸ om. A.

εἶναί φασι τέλεια, ἃ δὴ καὶ κατορθώματα [o]λέγεσθαι. Κατορθώματα δ' εἶναι, [p]τὰ κατ' ἀρετὴν ἐνεργήματα, οἷον τὸ φρονεῖν, τὸ δικαιοπραγεῖν. Οὐκ εἶναι δὲ κατορθώματα, τὰ μὴ οὕτως ἔχοντα, ἃ δὴ οὐδὲ τέλεια καθήκοντα προσαγορεύ- 55
ουσιν, ἀλλὰ μέσα, οἷον τὸ γαμεῖν, τὸ πρεσβεύειν, τὸ διαλέγεσθαι, [q]τὰ τούτοις ὅμοια. Τῶν δὲ κατορθωμάτων τὰ μὲν εἶναι [r]ὧν χρὴ, τὰ δ' οὔ. [r]Ὧν χρὴ μὲν εἶναι κατηγόρημα ὠφέλημα, οἷον τὸ φρονεῖν, τὸ σωφρονεῖν· οὐκ εἶναι δὲ ὧν χρὴ, τὰ μὴ οὕτως ἔχοντα. Ὁμοίως δὲ καὶ τῶν παρὰ τὸ p. 175.
καθῆκον [s]τὴν αὐτὴν γίνεσθαι τεχνολογίαν. Πᾶν δὲ τὸ
[II.160] παρὰ τὸ καθῆκον ἐν λογικῷ γιγνόμενον, ἁμάρτημα εἶναι· τὸ δὲ καθῆκον τελειωθὲν κατόρθωμα γίνεσθαι. Παραμετρεῖσθαι δὲ τὸ μέσον καθῆκον ἀδιαφόροις τισὶ, καλουμένοις 5
[t]δὲ παρὰ φύσιν καὶ κατὰ φύσιν, τοιαύτην [u]δ' [v]εὐφυΐαν προσφερομένοις, [x]ὥστ' εἰ μὴ [y]λαμβάνοιμεν αὐτὰ ἢ [z]διωθοίμεθα ἀπερισπάστως μὴ ἂν εὐδαιμονεῖν. Τὸ δὲ κινοῦν τὴν ὁρμὴν οὐδὲν ἕτερον εἶναι λέγουσιν ἀλλὰ φαντασίαν ὁρμητικὴν τοῦ καθήκοντος [a]αὐτόθεν, τὴν δὲ ὁρμὴν εἶναι φορὰν ψυχῆς 10
[b]ἐπί τι. [c]Κατὰ τὸ γένος [d]δὲ ταύτην διττῶς θεωρεῖσθαι τήν

o λέγεται] λέγεσθαι V. A.

p τὰ—ἐνεργήματα rescripsi pro τὸ—ἐνέργημα, quod ferri nequit cum κατορθώματα præcesserit; nisi potius mendum in κατορθώματα quæsiveris, legendo κατόρθωμα, quod magis arrisisse video Tiedemanno l. c. p. 303. cum nostro conferendo. HEEREN. τὰ—ἐνεργήματα Davis. ad Cic. Acad. I. 11.

q τὰ τούτοις] καὶ τὰ τούτοις Davis. ib.

r ὧν χρὴ] i. e. τὰ χρήσιμα Lyndenus p. 98.

s Verba τὴν αὐτὴν—καθῆκον des. A. Mox ἀδιαφόροις Heeren. pro διαφ.

t δὲ] γε de suo Heerenius.

u δὲ φυΐαν] δ' εὐφυΐαν V. A.

v εὐφυΐαν] Lyndenus: "An εὐ- "φυΐα, *bona indoles*, verum sit "dubitari potest: equidem arbi- "tror χρείαν veram esse lectio- "nem."

x ὥστε] ὥστ' εἰ Lyndenus.

y λαμβάνομεν] λαμβάνοιμεν V. A.

z διωθοίμεθα] διαθήμεθα V. A.

a αὐτόθι] αὐτόθεν V. A.

b ἐπί τι κατὰ τὸ γένος. ταύτης δ' ἔνι ἀεὶ θεωρεῖσθαι A.

c Κατὰ τὸ γένος δ' ἄγι ἀεὶ θεωρεῖσθαι] Pro δ' ἄγι ἀεὶ codd. V. A. E. ταύτης δ' ἔνι, quo nihil proficimus. Salutarem tamen manum his et sequentibus addixit Salmasius ad Simplic. p. 44. qui pro δ' ἄγι ἀεὶ

τε ἐν τοῖς λογικοῖς γιγνομένην ὁρμὴν, καὶ τὴν ἐν τοῖς ἀλόγοις
[II.162] ζώοις, οὐ [e]κατωνομασμέναι δ' εἰσίν. [f]Ἡ γὰρ ὄρεξις οὐκ
ἔστι λογικὴ ὁρμὴ, ἀλλὰ [g]λογικῆς ὁρμῆς εἶδος. [h]Τὴν δὲ
λογικὴν ὁρμὴν δεόντως [i]ἂν τις ἀφορίζοιτο, λέγων εἶναι φορὰν
διανοίας ἐπί τι τῶν ἐν τῷ πράττειν· ταύτῃ δ' [k]ἀντιτίθεσθαι
ἀφορμὴν, φοράν [l]τινα . . . . [m]Ἰδίως δὲ καὶ τὴν ὄρουσιν
ὁρμὴν λέγουσι, τῆς πρακτικῆς ὁρμῆς οὖσαν [n]εἶδος. Τὴν δὲ
ὄρουσιν [o]εἶναι φορὰν διανοίας ἐπί τι μέλλον. Ὥστε μέχρι
μὲν τούτων [p]τετραχῶς ὁρμὴν λέγεσθαι, διχῶς δ' ἀφορμὴν,
[q]προστεθείσης καὶ τῆς ἕξεως τῆς ὁρμητικῆς, ἣν δὴ καὶ ἰδίως

emendat διττῶς, quod sequentia postulare videntur, duo enim genera τῆς ὁρμῆς statim distinguit in ratione præditis et brutis, quæ tamen singula nomine careant, nam κατωνομασμέναι, quod Salmasius restituit pro κατωνομασμένη, confirmatur quodammodo codd. V. A. E. ubi κατωνομασμένα; nisi præferas οὐ κατωνομασμένη δ' ἐστὶ, nempe ἡ τῶν ἀλόγων ὁρμή. HEEREN.

d δ' ἄγια] ταύτης δ' ἐνὶ ἀεὶ V. A.

e κατωνομασμένη] –μένα V. A.

f Ἡ] ὁ A.

g λογικοῦ] λογικῆς V. A. λογικὴν P.

h Ante δὲ add. τὴν V. A.

i ἄν τις ἀφορίζοιτο Salmasius restituit pro ἀνταφορίζοιτο quod habet Cant. HEEREN. ἀνταφορίζοιντο A.

k ἂν τιθέσθαι] ἀντιθέσθαι A. ἀντιτίθεσθαι Heeren.

l τινα] Supplet Salmasius, διανοίας ἀπό τινος τῶν ἐν τῷ φεύγειν.

m Ἰδίως] ἡδέως A.

n εἶδος etc.] εἶδος. Τὴν δὲ ὄρουσιν εἰδέναι δὲ φορὰν etc. V. A.

o εἰδέναι] εἰδέναι δέ A. εἶναι Salmasius.

p τετραχῶς—διχῶς] Quatuor hæc ipsis ὁρμῆς genera statuuntur, ὁρμὴ λογικὴ, ὁρμὴ ἄλογος, ὄρεξις et ὄρουσις. Sed de ἀφορμῇ nusquam in præcedentibus dictum est dupliciter eam intelligi. Semel quippe ἀφορμὴν apposuit τῇ ὁρμῇ, quæ λογικὴ ipsi appellata est. Verum enimvero ita forsitan intelligebant; ut λογικὴ ὁρμὴ suam habet sibi contrariam ἀφορμὴν, quæ declinat ab his malis quæ cum ratione metuuntur, ita et ἄλογος ὁρμὴ suam pariter ἀφορμὴν ἄλογον quæ vitare satagit quæ sine ratione formidantur. Non puto tamen eos hoc voluisse, nec auctorem illum cujus ea verba sunt quæ Stobæus adduxit. Sed ut ὁρμῇ λογικῇ sua est opposita λογικὴ ἀφορμὴ, ita ὀρέξει, quæ est ὁρμῆς λογικῆς species, opponitur ἔκκλισις, quæ similiter est ἀφορμῆς εἶδος. Si enim ὄρεξις una est ex illis quattuor motibus quos ὁρμῆς nomine indigetant, certe et ἔκκλισις, quæ ὀρέξει contraria est, ut ὁρμῇ λογικῇ ἡ ἀφορμὴ, erit et ipsa ἀφορμῆς species. Sicut quadrifariam ipsis dicitur ὁρμὴ, ita et ἀφορμὴ bifariam. SALMAS.

q Post προστεθείσης add. δὲ V. A. P. Mox ἀφ' ἧς Heeren. pro ἀφ' οὗ.

ὁρμὴν λέγουσιν, ἀφ' ἧς συμβαίνει ὁρμᾶν [r]πανταχοῦ. Τῆς δὲ πρακτικῆς ὁρμῆς εἴδη πλείονα εἶναι, ἐν οἷς καὶ ταῦτα· πρόθεσιν, ἐπιβολὴν, παρασκευὴν, ἐγχείρησιν, [s]αἵρεσιν, προ-
[II.164] αίρεσιν, [t]βούλησιν, θέλησιν. Πρόθεσιν μὲν οὖν εἶναι λέγουσι σημείωσιν [u]ἐπιτελέσεως· [x]ἐπιβολὴν δὲ, ὁρμὴν [y]πρὸ ὁρμῆς· παρασκευὴν δὲ, πρᾶξιν πρὸ πράξεως· [z]ἐγχείρησιν δὲ, ὁρμὴν ἐπί τινος [a]ἐν χερσὶν ἤδη ὄντος· αἵρεσιν δὲ, βούλησιν ἐξ ἀναλογισμοῦ· προαίρεσιν δὲ, αἵρεσιν [b]πρὸ αἱρέσεως· βούλησιν δὲ, εὔλογον ὄρεξιν· θέλησιν δὲ, ἑκουσίαν βούλησιν. [c]Πάσας δὲ τὰς ὁρμὰς [d]συγκαταθέσεις εἶναι, τὰς δὲ πρακτικὰς καὶ τὸ κινητικὸν περιέχειν. Ἤδη δὲ ἄλλων μὲν εἶναι συγκαταθέσεις, ἐπ' [e]ἄλλα δὲ ὁρμάς. [f]Καὶ συγκαταθέσεις μὲν, ἀξιώμασί τισι, ὁρμὰς δὲ [g]ἐπὶ κατηγορήματα, τὰ περιεχό-

[r] πανταχοῦ] πενταχῶς V. A.

[s] Clarum est ex sequentibus excidisse hic αἵρεσιν quod supplevi. HEEREN. Post Salmasium scilicet.

[t] Ante θέλησιν add. βούλησιν V. A.

[u] ἐπιτελέως] ἐπιτελέσεως V. A.

[x] ἐπιβολὴν] ἐπιβουλὴν A.

[y] πρὸς] πρὸ Heeren post Salmasius p. 47. πρὸς A.

ib. πρὸ rescripsi pro πρὸς ap. Cant. et in codd. Clarum enim est loqui auctorem de eo motu animi qui ipsum impetum seu ὁρμὴν, quæ jam actio est, præcedit. HEEREN.

[z] Post ἐγχείρησιν add. δὲ V. A.

[a] ἐν χερσὶν] Ita Salmasius pro ἐγχείρησιν. HEEREN.

[b] προαιρέσεως una voce V. A.

[c] Πάσας δὲ τὰς ὁρμὰς, συγκαταθέσεις εἶναι, τὰς δὲ πρακτικὰς, καὶ τὸ κινητικὸν περιέχειν. ἤδη δὲ ἄλλων μὲν εἶναι συγκαταθέσεις, ἐπ' ἄλλο δὲ ὁρμάς· καὶ συγκαταθέσεις μὲν, ἀξιώμασί τισι, ὁρμὰς δὲ ἐπικατηγορήματα, τὰ περιεχόμενά πως ἐν τοῖς ἀξιώμασιν αἱ συγκαταθέσεις] Ita Cant. Salmasius ad Simplicium p. 48. plurima restituit. HEEREN.

[d] συγκαταθέσεις] συγκαταθέσεως A. hic et infra.

[e] ἄλλα] ἄλλο A.

[f] Καὶ συγκαταθέσεις] Salmasius: "Mihi verior videtur lectio si "scribamus: καὶ συγκαταθέσεις μὲν "ἀξιώμασιν, ὁρμὰς δὲ ἐπὶ κατηγορή-"ματα, περιεχομένας δέ πως τοῖς "ἀξιώμασιν αἱ συγκαταθέσεις. Di-"cit, quodammodo contineri as-"sensiones axiomatibus. Sequi-"tur enim ex axiomate boni aut "mali, ut συγκατάθεσις, id est "assensio, ad id appetendum aut "fugiendum in ipso pæne axio-"mate comprehendatur. Statim "enim ac bonum aliquid pronun-"tiavit effatum, ita esse assen-"tietur." ἢ συγκαταθέσεις *quatenus sunt assensiones* ed. Heeren.

[g] ἐπικατηγορήμα] ἐπὶ κατηγορήματα V. A.

μενά πως ἐν τοῖς ἀξιώμασιν, αἱ συγκαταθέσεις. Ἐπεὶ δ' [h]ἐν εἴδει τὸ πάθος τῆς ὁρμῆς ἐστι, [i]λέγωμεν ἑξῆς περὶ παθῶν.

[II.166] Πάθος δ' εἶναί φασιν ὁρμὴν πλεονάζουσαν, καὶ [k]ἀπειθῆ τῷ αἱροῦντι λόγῳ[l], [m]ἢ κίνησιν ψυχῆς παρὰ φύσιν, (εἶναι δὲ πάθη πάντα, τῷ γένει, [n]τῆς ψυχῆς,) διὸ καὶ πᾶσαν πτοίαν πάθος εἶναι, καὶ πάλιν πάθος [o]πτοίαν. Τοῦ δὲ πάθους τοιούτου ὄντος, ὑποληπτέον, τὰ μὲν πρῶτα εἶναι καὶ ἀρχηγά, τὰ δ' εἰς ταῦτα τὴν ἀναφορὰν ἔχειν. Πρῶτα δ' εἶναι τῷ γένει ταῦτα τὰ [p]τέσσαρα, ἐπιθυμίαν, φόβον, λύπην,

[II.168] ἡδονήν. Ἐπιθυμίαν μὲν οὖν καὶ φόβον προηγεῖσθαι, τὴν μὲν πρὸς τὸ φαινόμενον ἀγαθὸν, [q]τὴν δὲ πρὸς τὸ φαινόμενον κακόν. Ἐπιγίγνεσθαι [r]δὲ τούτοις ἡδονὴν καὶ λύπην, ἡδονὴν μὲν ὅταν τυγχάνωμεν ὧν [s]ἐπιθυμοῦμεν, ἢ ἐκφύγωμεν ἃ

h ἂν εἴδη] ἐν εἴδει V. A.

i λέγω μὲν] λέγομεν V. A.

k ἀπαθῆ] ἀπειθῆ V. A.

l Ex Zenone, qui librum περὶ παθῶν conscripserat, petitam esse hanc explicationem, (paulo tamen immutatam), discimus ex Diog. VII. 110. Ἔστι δὲ αὐτὸ τὸ πάθος κατὰ Ζήνωνα ἡ ἄλογος καὶ παρὰ φύσιν ψυχῆς κίνησις, ἢ ὁρμὴ πλεονάζουσα, sive ut interpretatur Cicero Tusc. IV. 6. *Est igitur Zenonis hæc definitio, ut perturbatio sit, quod* πάθος *ille dicit, aversa a recta ratione, contra naturam, animi commotio: quidam brevius, perturbationem esse adpetitum vehementiorem.* HEEREN. Salmasius p. 108. "Incontinens judicat se non "recte facere, sed tamen facit "propter πάθος, cui non potest "imperare, et quod eum cogit "rationem recte præcipientem "aversari, quam τὸν αἱροῦντα λόγον "appellant."

m ἢ καὶ] καὶ deest V. A.

n ἢ τῆς] Delevit Heeren. qui mox post εἶναι addidit καί.

o πτοίαν] ποίαν A.

p τέτταρα] τὰ τέσσαρα A.

ib. τέτταρα] Diog. l. c. Τῶν δὲ παθῶν τὰ ἀνωτάτω, (καθά φησιν Ἑκάτων ἐν δευτέρῳ περὶ παθῶν, καὶ Ζήνων ἐν τῷ περὶ παθῶν,) εἶναι γένη τέτταρα, λύπην, φόβον, ἐπιθυμίαν, ἡδονήν. Apud *Ciceronem* l. c. *Partes autem perturbationum volunt ex duobus opinatis bonis nasci, et ex duobus opinatis malis; ita esse quatuor: ex bonis libidinem et lætitiam, ex malis metum et ægritudinem.* HEEREN.

q τὴν] τὸν A.

r Ante τούτοις add. δὲ V. A.

s Post ἐπιθυμοῦμεν add. ἢ ἐκφύγωμεν ἃ ἐφοβούμεθα. Λύπην δὲ ὅταν ἀποτυγχάνωμεν ὡς (ὧν A. P.) ἐπιθυμοῦμεν ἢ περιπέσωμεν οἷς ἐφοβούμεθα V. A. P.

ἐφοβούμεθα· λύπην δὲ, ὅταν ἀποτυγχάνωμεν ὧν ἐπιθυμοῦμεν, ἢ περιπέσωμεν οἷς ἐφοβούμεθα. [t]Ἐπὶ πάντων δὲ τῶν τῆς ψυχῆς παθῶν ἐπὶ δόξας αὐτὰ λέγουσιν εἶναι· [u]παραλαμβάνεσθαι τὴν δόξαν ἀντὶ τῆς ἀσθενοῦς ὑπολήψεως·

[II.170] . . . . τὸ δὲ πρόσφατον ἀντὶ τοῦ κινητικοῦ συστολῆς ἀλόγου [[x]ἢ] ἐπάρσεως. Τὸ δὲ ἄλογον καὶ τὸ παρὰ φύσιν οὐ κοινῶς, ἀλλὰ τὸ μὲν ἄλογον ὅσον [y]τὸ ἀπειθῶς τῷ λόγῳ. Πᾶν γὰρ πάθος βιαστικόν ἐστι, [z]ὡς καὶ πολλάκις ὁρῶντας τοὺς ἐν τοῖς [a]πάθεσιν ὄντας ὅτι συμφέρει τόδε [b]οὐ ποιεῖν, ὑπὸ τῆς σφοδρότητος ἐκφερομένους, καθάπερ ὑπό τινος ἀπειθοῦς ἵππου, ἀνάγεσθαι πρὸς τὸ ποιεῖν [c]αὐτὸ, παρ' ὃ καὶ πολλάκις τινὰς ἐξομολογεῖσθαι λέγοντας τὸ θρυλλούμενον τοῦτο,

[d]Γνώμην δ' ἔχοντά μ' ἡ φύσις βιάζεται· p. 176.

[e]γνώμην γὰρ λέγει νῦν τὴν εἴδησιν καὶ γνῶσιν τῶν ὀρθῶν πραγμάτων. Καὶ τὸ παρὰ φύσιν δ' εἴληπται ἐν τῇ τοῦ πάθους ὑπογραφῇ, ὡς συμβαίνοντος παρὰ [f]τὸν ὀρθὸν καὶ κατὰ φύσιν λόγον. Πάντες δ' οἱ ἐν τοῖς πάθεσιν ὄντες ἀποστρέφονται τὸν λόγον, οὐ παραπλησίως δὲ τοῖς ἐξηπα-

[t] Omnes affectus ex opinionibus ortum trahere, nempe ex falsa de bonis et malis opinione, communis est Stoicorum doctrina. Cicero Tusc. IV. 7. *Sed omnes perturbationes judicio fieri censent et opinione.* Cf. Tiedemann Syst. d. st. Phil. III. p. 176. Pro ἐπὶ πάντων rectius forte legas περὶ πάντων. HEEREN.

[u] Pro παραλαμβάνεσθαι legendum videtur παραλαμβάνουσι δὲ, quo nexus cum præcedentibus restituitur. Cic. Tusc. IV. 7. *Opinationem autem* (s. δόξαν) *volunt esse imbecillam assensionem.* Verum post ὑπολήψεως nonnulla excidisse arbitror. HEEREN.

[x] [ἢ] inseruit Heeren. post Salmasium p. 58.

[y] τὸ] τῷ A.

[z] ὡς addidit Salmasius p. 55.

[a] Post πάθεσιν add. ὄντας A.

[b] οὐ] εὖ V. A.

[c] αὐτὸ] ἐναντίον corr. Salmasius, virgula supra post τόδε posita.

[d] Versus Euripidis ex Chrysippo. [Fr. 1.] Vid. Valcken. Diatrib. p. 21. HEEREN.

[e] γνώμη] γνώμην V. A.

[f] τοῦ ὀρθοῦ—λόγου Salmasius.

[II.172] τημένοις ἐν ὀτῳοῦν, ἀλλ' ἰδιαζόντως. Οἱ μὲν γὰρ ἠπατημένοι, λόγου χάριν περὶ τὰς [f]ἀτόμους ἀρχὰς εἶναι, διδαχθέντες ὅτι οὔκ εἰσιν, ἀφίστανται τῆς κρίσεως· οἱ δ' ἐν τοῖς πάθεσιν ὄντες, κἂν μάθωσι, κἂν μεταδιδαχθῶσιν ὅτι οὐ δεῖ λυπεῖσθαι ἢ φοβεῖσθαι, ἢ ὅλως ἐν τοῖς πάθεσιν εἶναι τῆς ψυχῆς, ὅμως οὐκ ἀφίστανται τούτων, ἀλλ' ἄγονται ὑπὸ τῶν παθῶν εἰς τὸ ὑπὸ τῆς τούτων κρατεῖσθαι τυραννίδος. [g]Τὴν μὲν οὖν ἐπιθυμίαν λέγουσιν ὄρεξιν εἶναι [h]ἀπειθῆ λόγῳ· αἴτιον δ' αὐτῆς τὸ δοξάζειν ἀγαθὸν ἐπιφέρεσθαι, οὗ παρόντος εὖ ἀπαλλάξομεν, τῆς δόξης αὐτῆς ἐχούσης [i]τὸ ἀτάκτως κινητικὸν [k]καὶ πρόσφατον. [l]Φόβον δ' εἶναι [m]ἔκκλισιν ἀπειθῆ λόγῳ, αἴτιον δ' αὐτοῦ τὸ δοξάζειν [n]κακὸν [o]ἐπιφέρεσθαι, τῆς δόξης τὸ κινητικὸν καὶ πρόσφατον ἐχούσης τοῦ [p]ὄντως αὐτὸ φευκτὸν εἶναι. Λύπην δ' εἶναι συστολὴν ψυ-

[II.174] χῆς ἀπειθῆ λόγῳ, αἴτιον δ' αὐτῆς τὸ δοξάζειν πρόσφατον [q]κακὸν παρεῖναι, ἐφ' ᾧ [r]καθήκει . . . ἐπαίρεσθαι. Ὑπὸ μὲν οὖν [s]τὴν ἐπιθυμίαν ὑπάγεται τὰ τοιαῦτα· [t]ὀργὴ καὶ τὰ

[f] ἀτίμους A.

[g] Exhibetur eadem hæc tum a Diog. VII. I. 63. tum a Cicerone Tusc. IV. 7, 8. qui uterque cum nostro est conferendus. HEEREN.

[h] ἀπειθῆ] ἀπειθεῖ V.

[i] τὸ ἀτάκτως κ.] Salmasius legerit, τὸ κινητικὸν καὶ πρόσφατον τοῦ οὕτως ὀρεκτὸν εἶναι.

[k] καὶ πρόσφατον deest V. A.

[l] φόβον] φόβου A.

[m] ἔκλυσιν] ἔκκλισιν V. ἔκκλησιν A.

[n] καὶ ἐπιφ.] κακὸν ἐπιφ. V. A.

[o] Post ἐπιφέρεσθαι addit Salmasius, οὗ παρόντος κακῶς ἀπαλλάξομεν.

[p] οὕτως] ὄντος V. A.

[q] καὶ παρεῖναι] κακὸν παρεῖναι V. A.

[r] καθήκει] Salmasius statim adjicit: συστέλλεσθαι. Ἡδονὴν δ' εἶναι ἔπαρσιν ψυχῆς ἀπειθῆ λόγῳ, αἴτιον δ' αὐτῆς τὸ δοξάζειν πρόσφατον κακὸν παρεῖναι, ἐφ' ᾧ καθήκει ἐπαίρεσθαι. HEEREN. Et sic fere Davisius ad Ciceron. Fin. II. 4.

[s] Species τῆς ἐπιθυμίας aliter constituit Diog. l. c. Ἐπιθυμία δ' ἐστὶν ἄλογος ὄρεξις, ὑφ' ἣν τάττεται καὶ ταῦτα, σπάνις, μῖσος, φιλονεικία, ὀργή, ἔρως, μῆνις, θυμός, qui adeo alium scriptorem ante oculos habuisse videtur. Ab utroque iterum recedit Cicero l. c. qui *iram*, *excandescentiam* (θύμωσιν), *odium*, *inimicitiam*, *discordiam*, *indigentiam*, *desiderium*, species libidinis ponit. Stobaeum in capite hoc Chrysippum secutum esse, qui in

εἴδη αὐτῆς, (θυμὸς, καὶ χόλος, καὶ μῆνις, καὶ κότος, καὶ πικρίαι, καὶ τὰ τοιαῦτα,) ἔρωτες σφοδροὶ, καὶ πόθοι, καὶ ἵμεροι, καὶ φιληδονίαι, καὶ φιλοπλουτίαι, καὶ φιλοδοξίαι, καὶ τὰ ὅμοια· ὑπὸ δὲ [u]τὴν ἡδονὴν ἐπιχαιρεκακίαι, καὶ ἀσμενισμοὶ, καὶ [x]γοητεῖαι, καὶ τὰ ὅμοια· ὑπὸ δὲ τὸν [y]φόβον, ὄκνοι, καὶ ἀγωνίαι, καὶ αἰσχύναι, καὶ θόρυβοι, καὶ [z]ἐκπλήξεις, καὶ δεισιδαιμονίαι, [a]καὶ δέος, καὶ δείματα· ὑπὸ δὲ τὴν [b]λύπην, φθόνος, ζῆλος, ζηλοτυπία, [II. 176] ἔλεος, πένθος, [c]ἄχθος, ἄχος, ἀνία, ὀδύνη, ἄση. [d]Ὀργὴ μὲν οὖν ἐστιν ἐπιθυμία τιμωρήσασθαι τὸν δοκοῦντα ἠδικηκέναι παρὰ τὸ προσῆκον· [e]θυμὸς δὲ, ὀργὴ ἐναρχομένη· [f]χόλος δὲ,

libro suo περὶ παθῶν et copiose et subtiliter de his egerat, suspicari licet ex iis quæ sub finem capitis ipse annotat. HEEREN.

t Verba ὀργὴ—τοιαῦτα desunt V. A.

u Species τῆς ἡδονῆς ita enumerat Diog. l. c. κήλησις, ἐπιχαιρεκακία, τέρψις, διάχυσις. Cicero l. c. *malevolentiam, delectationem, jactationem* vocat. HEEREN.

x Post γοητεῖαι add. καὶ τὰ ὅμοια A. P.

y Paulo aliter Diog. l. c. qui sub φόβῳ comprehendit δεῖμα, ὄκνον, αἰσχύνην, ἔκπληξιν, θόρυβον, ἀγωνίαν. Subtilius Cicero l. c. *Pigritiam, pudorem et terrorem, timorem, pavorem, exanimationem, conturbationem, formidinem.* HEEREN.

z ἔκπληξις] ἐκπλήξεις A.

a ἢ] καὶ V. A.

b Species sub λύπῃ comprehensas vocat Diog. ἔλεον, φθόνον, ζῆλον, ζηλοτυπίαν, ἄχθος, ἐνόχλησιν, ἀνίαν, ὀδύνην, σύγχυσιν. Cicero l. c. *invidentiam, æmulationem, obtrectationem, misericordiam, angorem, luctum, mœrorem, ærumnam, dolorem, lamentationem, sollicitudinem, molestiam, afflictationem, desperationem, et si quæ sint de genere eodem.* HEEREN.

c ἄχθος om. A.

d Ὀργὴν ita definit Diog. ἐπιθυμία τιμωρίας τοῦ δοκοῦντος ἠδικηκέναι οὐ προσηκόντως· sive secundum Ciceronem l. c. *Ira est libido puniendi ejus qui videtur læsisse injuria.* HEEREN.

e θυμὸν *excandescentiam* vocat Cicero; *ut sit ira nascens et modo existens, quæ* θύμωσις *Græce dicitur.* Suspicari inde possis apud Stob. quoque θύμωσις legendum esse, nisi obstaret Diogenis auctoritas, qui cum nostro, ὁ δὲ θυμός ἐστιν, inquit, ὀργὴ ἀρχομένη. HEEREN.

f χόλον omiserunt et Cicero et Diogenes. Μῆνιν explicat Diog. ὀργὴν πεπαλαιωμένην καὶ ἐπίκοτον ἐπιτηρητικήν τε. Apud Ciceronem est *odium, ira inveterata.* Sequens κότος vocatur apud Ciceronem, *inimicitia, quæ est ira ulciscendi tempus observans.* HEEREN.

ὀργὴ διοιδοῦσα· μῆνις [g]δὲ, ὀργὴ εἰς παλαίωσιν ἀποτιθεμένη ἢ ἐναποκειμένη· κότος δὲ, ὀργὴ ἐπιτηροῦσα καιρὸν εἰς τιμωρίαν· πικρία δὲ, ὀργὴ παραχρῆμα ἐκρηγνυμένη· ἔρως δὲ, [h]ἐπιβολὴ [i]φιλοποιΐας διὰ [k]κάλλος [l]ἐμφαινόμενον· πόθος δὲ, ἐπιθυμία τοῦ [m]ἔρωτι ἀπόντος· ἵμερος δὲ, ἐπιθυμία [n]φίλου ἀπόντος ὁμιλίας· φιληδονία δὲ, ἐπιθυμία ἡδονῶν· φιλοπλουτία δὲ, πλούτου· φιλοδοξία δὲ, δόξης· ἐπι-
[II.178] χαιρεκακία δὲ, ἡδονὴ ἐπ' ἀλλοτρίοις κακοῖς· ἀσμενισμὸς δὲ, ἡδονὴ ἐπὶ ἀπροσδοκήτοις· γοητεία δὲ, [o]ἡδονὴ δι' ὄψεως κατ' ἀπάτην· ὄκνος δὲ, φόβος μελλούσης ἐνεργείας· ἀγωνία δὲ, φόβος διαπτώσεως, καὶ ἑτέρως, φόβος [p]ἥττης· ἔκπληξις δὲ, φόβος ἐξ ἀσυνήθους φαντασίας· αἰσχύνη δὲ, φόβος ἀδοξίας· θόρυβος δὲ, φόβος μετὰ φωνῆς [q]κατ-
επείγων· δεισιδαιμονία δὲ, φόβος θεῶν [r]καὶ δαιμόνων· δέος δὲ, φόβος δεινοῦ· δεῖμα δὲ, φόβος ἐκ λόγου· φθόνος δὲ, λύπη ἐπ' ἀλλοτρίοις ἀγαθοῖς· ζῆλος δὲ, λύπη ἐπὶ
[II.180] [s]τῷ ἕτερον ἐπιτυγχάνειν ὧν αὐτὸς ἐπιθυμεῖ, [t]αὐτὸν δὲ μή· λέγεσθαι δὲ καὶ ἑτέρως ζῆλον, [u]μακαρισμοῦ ἔνδειαν,

g δὲ] μὲν A.

h ἐπιβουλὴ] ἐπιβολὴ V. A.

i φιλοποιΐας] Vid. Menag. ad Laërt. VII. 113.

k κάλλος] κάλλους A.

l ἐμφαινόμενον] –μένου V. A.

m ἔρωτι] Andronicus: κατὰ ἔρωτα ἀπόντος. Heeren. ed. ἄρτι.

n φίλος] φίλου V. A. P.

o δι' ἡδονῆς] ἡδονὴ Heeren. Andronicus: Γοητεία δὲ ἡδονὴ διὰ μαγείαν, ἢ δι' ἀπάτην.

p ἥττης] Addit Andronicus, ἢ φόβος ἐμποιητικὸς ἐναντίων ἐλπίδων, περὶ ὧν ὄρεξιν σφόδραν ἔχομεν. Verba ἥττης—φόβος om. A.

q κατεπείγων] Diog. VII. 113. θόρυβος δὲ φόβος μετὰ κατεπείξεως φωνῆς. HEEREN.

r καὶ δαιμόνων] ἢ δαιμ. A.

s τὸ] τῷ A.

t Verba αὐτὸν δὲ—ἐπιθυμεῖ om. V. A.

u μακαρισμὸν ἐνδεοῖς, καὶ τι ἄλλως μίμησις ὡσὰν κρείττονος] Davisius ad Cicer. Tusc. IV. 8. μακαρισμοῦ ἔνδειαν, ἤτοι ἄλλου μίμησιν ὡς ἂν κρείττονος. Leniori autem medicina restitui posse opinatur Pierson. ad Mœrin v. ζήλωσις, si legas μακαρισμὸν ἐνίοις, καὶ ἔτι ἄλλως rel. Verum utcumque hæc primo aspectu arrideant, assentior tamen Davisio. HEEREN.

ἤτοι ἄλλου μίμησιν ὡς ἂν κρείττονος· [x]ζηλοτυπίαν δὲ, λύπην ἐπὶ τῷ ἕτερον ἐπιτυγχάνειν ὧν αὐτὸς ἐπιθυμεῖ· ἔλεος δὲ, [y]λύπην ἐπὶ τῷ δοκοῦντι ἀναξίως κακοπαθεῖν· πένθος δὲ, λύπην ἐπὶ θανάτῳ ἀώρῳ· ἄχθος δὲ, λύπην βαρύνουσαν· 55
ἄχος δὲ, λύπην ἀφωνίαν ἐμποιοῦσαν· ἀνίαν δὲ, λύπην κατὰ [z]διαλογισμόν· ὀδύνην δὲ, λύπην εἰσδύνουσαν καὶ καθικνου-
[II.182] μένην· ἄσην δὲ, λύπην μετὰ ῥιπτασμοῦ. Τούτων δὲ τῶν παθῶν τὰ μὲν [a]ἐμφαίνει τὸ ἐφ' ᾧ γίγνεται, οἷον ἔλεον, p. 177.
φθόνον, ἐπιχαιρεκακίαν, [b]αἰσχύνην· τὰ δὲ τὴν ἰδιότητα τῆς [c]κινήσεως, οἷον ὀδύνην, δεῖμα.

[d]Εὐεμπτωσίαν δ' εἶναι εὐκαταφορίαν εἰς πάθος, [e]ὡς εἴς τι τῶν παρὰ φύσιν ἔργων, οἷον ἐπιλυπίαν, ὀργιλότητα, 5
φθονερίαν, ἀκροχολίαν, καὶ τὰ ὅμοια. Γίγνεσθαι δὲ εὐεμπτωσίας καὶ εἰς ἄλλα ἔργα τῶν παρὰ φύσιν, οἷον εἰς κλοπὰς, καὶ μοιχείας, καὶ ὕβρεις, καθ' [f]ἃς κλέπται τε καὶ ὑβρισταὶ καὶ μοιχοὶ λέγονται. Νόσημα [g]δ' εἶναι δόξαν ἐπιθυμίας ἐρρυηκυῖαν εἰς ἕξιν, καὶ [h]ἐνεσκιρρωμένην, καθ' ἣν ὑπολαμβάνουσι τὰ μὴ αἱρετὰ σφόδρα αἱρετὰ εἶναι, οἷον 10
[i]φιλογυνίαν, φιλοινίαν, φιλαργυρίαν· εἶναι δέ τινα καὶ

[x] ζηλοτυπία est ap. Cicer. *obtrectatio*, seu *ægritudo ex eo quod alter quoque potiatur eo quod ipse concupiverit*. Diog. ζηλοτυπίαν δὲ, λύπην ἐπὶ τῷ ἄλλῳ παρεῖναι, ἃ καὶ αὐτὸς ἔχει, quod paululum differt a nostro, in quo ἐπὶ τῷ edidi pro ἐπὶ τό. Præterea pro ἐπιθυμεῖ Davis. l. c. rescribendum ducit ἐπεθύμει, quod tamen non necessarium puto, etsi Ciceronis auctoritate l. c. quodammodo confirmari possit. Si consensum nostri cum Diogene restituere velis, suspicari quoque posses, post ἐπιθυμεῖ excidisse μόνος ἔχειν, *ægritudinem alium quoque habere quæ solus habere velit*. HEEREN.

[y] λύπην] λύπη A. (ter.)

[z] διαλογισμὸν] λογισμὸν V.

[a] ἐμβαίνει] ἐμφαίνει V. A.

[b] αἰσχύνην om. Heeren.

[c] κοινήσεως] κινήσεως V. A.

[d] Εὐεμπτωσία est quam Cicero Tusc. IV. 12. vocat *proclivitatem*, qua alii ad alia, quæ contra naturam sunt, sive affectus sive vitia, magis propensi sunt. HEEREN.

[e] ὡς addidit Heeren.

[f] οὓς κλέπτεται] ἃς κλέπται τε V. P. ἃς κλέπτεται A.

[g] δ' ante εἶναι deest V.

[h] ἐνσκιρρωμένην] ἐνεσκιρωμ. V. A.

[i] φιλογυνίαν, φιλοινίαν] φιλογυναικίαν, φιλοινίαν V.

ἐναντία [k]τούτοις τοῖς νοσήμασι κατὰ [l]προσκοπὴν γινόμενα,
[II.184] οἷον [m]μισογυνίαν, μισοινίαν, μισανθρωπίαν. [n]Τὰ δὲ νοσήματα μετ' ἀσθενείας συμβαίνοντα, ἀρρωστήματα καλεῖσθαι. Κατόρθωμα δ' εἶναι λέγουσι καθῆκον, πάντας [o]ἐπέχον τοὺς ἀριθμοὺς, ἢ καθάπερ προείπομεν, τέλειον καθῆκον· [p]ἁμάρτημά τε, τὸ παρὰ τὸν ὀρθὸν λόγον πραττόμενον, ἢ ἐν ᾧ [q]παραλέλειπταί τι καθῆκον ὑπὸ λογικοῦ ζώου. [r]Τά τε ἀγαθὰ πάντα τῶν σπουδαίων εἶναι λέγουσι, καθ' ὃ καὶ τὸν ὠφελοῦντά [s]τινα τῶν πλησίον καὶ [t]ἑαυτὸν ὠφελεῖν. Τήν τε ὁμόνοιαν ἐπιστήμην εἶναι κοινῶν ἀγαθῶν, δι' ὃ καὶ τοὺς σπουδαίους [u]πάντας ὁμονοεῖν [x]ἀλλήλοις, διὰ τὸ συμφωνεῖν ἐν τοῖς κατὰ τὸν βίον· τοὺς δὲ φαύλους διαφωνοῦντας πρὸς ἀλλήλους, ἐχθροὺς εἶναι καὶ κακοποιητικοὺς ἀλλήλων καὶ πολεμίους. Τό τε δίκαιόν φασι φύσει εἶναι καὶ μὴ θέσει.
[II.186] Ἑπόμενον δὲ τούτοις ὑπάρχειν καὶ τὸ πολιτεύεσθαι τὸν σοφὸν καὶ μάλιστα ἐν ταῖς τοιαύταις πολιτείαις ταῖς ἐμφαινούσαις τινὰ προκοπὴν πρὸς τὰς τελείας πολιτείας, καὶ τὸ νομοθετεῖν δὲ, καὶ τὸ παιδεύειν ἀνθρώπους, [y]ἔτι δὲ [z]συγγράφειν τὰ δυνάμενα ὠφελεῖν τοὺς ἐντυγχάνοντας τοῖς γράμμασιν, οἰκεῖον εἶναι τοῖς [a]σπουδαίοις, καὶ τὸ συγκαταβαίνειν καὶ εἰς γάμον καὶ εἰς τεκνογονίαν, καὶ αὐτοῦ χάριν καὶ τῆς πατρίδος, καὶ ὑπομένειν περὶ [b]ταύτης, ἐὰν ᾖ μέτρια, καὶ [c]πόνους καὶ θάνατον. Παρακεῖσθαι δὲ τού-

[k] τοῖς] τούτοις τοῖς Heeren.
[l] προκοπὴν] προσκοπὴν V. A.
[m] μισογυνίαν om. Heeren.
[n] Copiose explicat Stoicorum hæc placita Tiedem. Syst. d. st. Phil. III. p. 264. etc. HEEREN.
[o] ἐπέχον] ἀπέχον V. A.
[p] ἁμάρτημά τε edidi pro ἁμαρτήματα. HEEREN. ἁμαρτήματα sic V. A.
[q] παραλέλειπται] –λῆπται V.
[r] Τά γε] τάτε V. A. P.
[s] τινὰ om. A.
[t] ἐφ' ante ἑαυτὸν deest V. A.
[u] πάντα] πάντας A. P.
[x] ἀλλήλως] ἀλλήλοις V.
[y] ἔτι] Sic Heeren. ἔστι A. Cant. Supra τε pro δὲ Heeren.
[z] σύγγραφον] συγγράφειν V. A.
[a] Ante σπουδ. add. τοῖς V. A.
[b] ταύτας] ταύτης V. A.
[c] πόνους] τόπους V.

τοις [d]φαῦλα, τό τε δημοκοπεῖν, καὶ τὸ σοφιστεύειν, καὶ τὸ συγγράφειν [e]ἐπὶ βλάβῃ τοῖς ἐντυγχάνουσιν, ἅπερ εἰς σπουδαίους οὐκ ἂν πέσοι.

Τριχῶς δὲ λεγομένης τῆς φιλίας, καθ' ἕνα μὲν τρόπον τῆς κοινῆς ἕνεκα [f]χρείας, καθ' ἣν φίλοι εἶναι λέγονται, ταύτην μὲν οὔ φασι τῶν ἀγαθῶν εἶναι, διὰ τὸ μηδὲν ἐκ [II.188] διεστηκότων ἀγαθὸν εἶναι κατ' αὐτούς· τὴν δὲ κατὰ τὸ δεύτερον σημαινόμενον λεγομένην φιλίαν, κατὰ σχέσιν οὖσαν φιλικὴν πρὸς τὸν πέλας, τῶν ἐκτὸς λέγουσιν ἀγαθῶν· τὴν δὲ περὶ [g]αὐτὸν φιλίαν, καθ' ἣν φίλος ἐστὶ τῶν πέλας, τῶν περὶ ψυχὴν ἀποφαίνουσιν ἀγαθῶν. Εἶναι δὲ [h]καὶ καθ' ἕτερον τρόπον κοινὰ τὰ ἀγαθά. Πάντα γὰρ τὸν ὁντινοῦν ὠφελοῦντα [i]ἴσην ὠφέλειαν ἀπολαμβάνειν νομίζουσι παρ' αὐτὸ τοῦτο, μηδένα δὲ φαῦλον μήτε [k]ὠφελεῖσθαι μήτε ὠφελεῖν. Εἶναι γὰρ τὸ ὠφελεῖν ἴσχειν κατ' ἀρετήν, [l]καὶ τὸ ὠφελεῖσθαι, κινεῖσθαι κατ' ἀρετήν. Οἰκονομικὸν δ' εἶναι μόνον λέγουσι τὸν σπουδαῖον καὶ [m]ἀγαθὸν οἰκονόμον. [n]Ἔτι δὲ χρηματιστικόν. Τὴν μὲν γὰρ οἰκονομικὴν εἶναι θεωρητικὴν ἕξιν καὶ πρακτικὴν τῶν οἴκῳ συμφερόντων· τὴν δ' οἰκονομίαν, διάταξιν περὶ ἀναλωμάτων καὶ ἔργων, καὶ κτήσεως ἐπιμέλειαν, καὶ τῶν [o]κατ' ἀγρὸν ἐργαζομένων. Τὴν δὲ

[d] φαῦλα] φαύλους A.

[e] ἐπιβλαβὸν] ἐπὶ βλαβὴν V. ἐπιβλάβη A.

[f] χρείας, *usus* vel *commodi*, rescripsi pro φιλίας, male repetito. In sequentibus ἐκ διεστηκότων dictum puto pro ἀντικειμένων, *ex oppositis*, seu natura sua diversis. Bonum nempe non provenire posse ex eo, quod natura sua non bonum sit. HEEREN.

[g] αὐτῶν] αὐτὸν V. A.

[h] καὶ καθ' ἕτερον edidi pro καὶ θάτερον ap. Cant. In codd. V. A. E. κάτερον legitur. HEEREN. εἶναι δὲ καὶ κάτερον A.

[i] ἴσον] ἴσην V. A.

[k] Post ὠφελεῖσθαι add. μηδὲ ὠφελεῖν V. μήτε ὠφ. P. A.

[l] Verba καὶ—ἀρετὴν desunt V. A.

[m] τὸν ἀγαθὸν] τὸν deest V. A.

[n] Ἐστὶ] ἔτι V. A. Cant. in marg.

[o] κατ' ἀγρὸν ἐργαζομένων, *quæ in agro fiunt*, sic rescribere non dubitavi pro κατ' αὐτὸν ἐργαζ. quod cum Cant. nullo sensu exhibent codd. HEEREN. καὶ τὸν κατ' αὐτὸν A.

χρηματιστικὴν, ἐμπειρίαν περιποιήσεως χρημάτων [p]ἀφειδῶς,
[II.190] καὶ ἔξιν ὁμολογουμένως ἀναστρέφεσθαι ποιοῦσαν ἐν συναγωγῇ χρημάτων, καὶ τηρήσει, καὶ ἀναλώσει πρὸς [q]εὐπορίαν· τὸ δὲ χρηματίζεσθαι τινὲς μὲν μέσον εἶπον εἶναι, τινὲς δὲ ἀστεῖον. Φαῦλον δὲ μηδένα προστάτην ἀγαθὸν οἴκου γίγνεσθαι, μηδὲ δύνασθαι οἰκίαν εὖ [r]οἰκονομεῖν. Μόνον δὲ τὸν σπουδαῖον ἄνδρα χρηματιστικὸν εἶναι, γιγνώσκοντα ἀφ' ὧν χρηματιστέον, καὶ πότε, καὶ πῶς, καὶ [s]μέχρι πότε.
Φασὶ [t]δὲ μηδέποτε συγγνώμην ἔχειν, καὶ νομίζειν τὸν ἡμαρ- p. 178.
τηκότα μὴ παρ' αὐτὸν ἡμαρτηκέναι, πάντων ἁμαρτανόντων παρὰ τὴν ἰδίαν κακίαν· [u]δι' ὃ καὶ δεόντως λέγεσθαι τὸ μηδὲν συγγνώμην ἔχειν τοῖς ἁμαρτάνουσιν. [x]Οὐκ ἐπιεικῆ δέ φασιν εἶναι τὸν ἀγαθὸν [y]ἄνδρα, τὸν γὰρ ἐπιεικῆ παραιτητικὸν εἶναι τῆς κατ' ἀξίαν κολάσεως, καὶ τοῦ [z]αὐτοῦ εἶναι ἐπιεικῆ τε εἶναι, καὶ ὑπολαμβάνειν τὰς ἐκ τοῦ νόμου τεταγμένας κολάσεις τοῖς ἀδικοῦσι σκληροτέρας εἶναι, καὶ τὸ ἡγεῖσθαι παρὰ τὴν ἀξίαν [a]ἀπονέμειν τὰς κολάσεις τὸν νομοθέτην. [b]Τόν τε νόμον σπουδαῖον εἶναί φασι, λόγον
[II.192] ὀρθὸν ὄντα [c]προστακτικὸν μὲν τῶν ποιητέων, ἀπαγορευτικὸν δὲ τῶν οὐ ποιητέων. Τοῦ δὲ νόμου ἀστείου ὄντος, καὶ ὁ νό-

p ἀφ' ὧν δέος] ἀφειδῶς Heeren. qui ὁμολογουμένως pro ὁμολογοῦμεν ὡς.

q εὐπορίαν] ἐμπορίαν V. A.

r οἰκουμένην παρασχεῖν] οἰκονομεῖν A.

s καὶ μέχρι πότε φ. μηδέποτε] καὶ μέχριπότε φασὶν μηδὲ συγγνώμην V. A.

t δὲ addidit Heeren.

u Pertinent et hæc et alia tum quæ præcessere tum quæ sequuntur ad decantata illa *paradoxa* Stoicorum, in quibus abusum potius quam usum philosophiæ illius agnosces. HEEREN.

x Οὐδ' edidi pro οὐκ; in proximis τὸν male repetitur ap. Cant. ante ἄνδρα, quod delent codd. V. A. qui iidem παραιτητικὸν, *deprecantem*, bene servarunt pro παραιτικὸν ap. Cant. HEEREN. παραιτικὸν diserte A.

y τὸν ante ἄνδρα deest V. τὸ A.

z Post αὐτοῦ add. εἶναι V. A. P. Mox τεταμένας A.

a ἀπονέμειν] ἀπονέμων A.

b τόν τε νομοθέτην τὸν] τόν τε νομοθέτην om. V. A.

c προστακτικὸν] προτρεπτικὸν V. A.

μιμος ἀστεῖος [d]ἀνήρ· νόμιμον μὲν γὰρ εἶναι ἄνδρα [c]τὸν ἀκολουθητικὸν τῷ νόμῳ καὶ πρακτικὸν τῶν ὑπ' αὐτοῦ προστα- 15
ττομένων· νομικὸν δὲ, [f]τὸν ἐξηγητικὸν τοῦ νομίμου. Μηδένα δὲ τῶν φαύλων, μήτε νόμιμον εἶναι, μήτε νομικόν.

Ἔτι δὲ τῶν ἐνεργημάτων φασὶ τὰ μὲν εἶναι κατορθώματα, τὰ δὲ ἁμαρτήματα, τὰ δ' οὐδέτερα. Κατορθώματα μὲν τὰ τοιαῦτα· φρονεῖν, σωφρονεῖν, δικαιοπραγεῖν, χαίρειν, 20
εὐεργετεῖν, εὐφραίνεσθαι, φρονίμως περιπατεῖν, πάνθ' ὅσα κατὰ τὸν ὀρθὸν λόγον πράττεται· ἁμαρτήματα δ' εἶναι, τό τε ἀφραίνειν, καὶ τὸ ἀκολασταίνειν, καὶ τὸ ἀδικεῖν, καὶ τὸ [g]λυπεῖσθαι, καὶ τὸ φοβεῖσθαι, καὶ τὸ κλέπτειν, καὶ καθόλου ὅσα παρὰ τὸν ὀρθὸν λόγον πράττεται· οὔτε δὲ κατορθώματα [h]οὔτε ἁμαρτήματα, τὰ τοιαῦτα· λέγειν, ἐρω- 25
τᾶν, ἀποκρίνεσθαι, περιπατεῖν, ἀποδημεῖν, καὶ τὰ τούτοις παραπλήσια. Πάντα δὲ τὰ κατορθώματα δικαιοπραγήματα εἶναι, καὶ εὐνοήματα, καὶ εὐτακτήματα, καὶ [i]εὐεπι-
[II.194] τηδεύματα, καὶ εὐτυχήματα, καὶ εὐδαιμονήματα, καὶ [k]εὐ- 30
καιρήματα, καὶ εὐσχημονήματα· οὐκ ἔτι μέντοιγε [l]φρονιμήματα, ἀλλὰ μόνα τὰ ἀπὸ φρονήσεως, καὶ ὁμοίως ἐπὶ τῶν ἄλλων ἀρετῶν, εἰ καὶ μὴ ὠνόμασται, οἷον [m]σωφρονήματα μὲν τὰ ἀπὸ σωφροσύνης· δικαιώματα δὲ, τὰ ἀπὸ δικαιοσύνης. Τὰ δὲ ἁμαρτήματα ἐκ τῶν ἀντικειμένων ἀδι- 35

[d] ἄν] ἀνὴρ ed. Heeren. propter νόμιμον ἄνδρα in seqq. Nescio an melius ἦν, vel ἄν εἴη.

[c] Habet Cant. καὶ ἀκολουθητικὸν, sed dubitari nequit rescribendum esse τὸν ἀκολ. HEEREN.

[f] τὸ] τὸν V. A. Mox dedi μήτε pro μηδέ.

[g] Post λυπ. add. καὶ τὸ φοβεῖσθαι V. A. P.

[h] οὔτε δὲ] δὲ deest V. A.

[i] ἐπιτηδεύματα] εὐεπιτηδεύματα Heeren. ἐπιτιδεύματα A.

[k] εὐκαιρήματα] εὐχαιρ. V. εὐκχαιρήματα A.

[l] φρονιμήματα] φρονημευμ. V. φρονιμεύματα A.

ib. φρονιμήματα, quam formam reliqua postulant, restitui pro φρονιμεύματα, et statim ὁμοίως rescripsi pro ὁμοιώσεως. HEEREN.

[m] σωφρονήματα] σωφρονημεύματα V. σωφρονικεύματα A. P.

κοπραγήματα, καὶ [n]ἀνομήματα, καὶ ἀτακτήματα. Διαφέρειν δὲ λέγουσιν, ὥσπερ αἱρετὸν καὶ αἱρετέον, οὕτω καὶ
[II.196] ὀρεκτὸν καὶ ὀρεκτέον, καὶ βουλητὸν καὶ βουλητέον, καὶ ἀποδεκτὸν καὶ ἀποδεκτέον. Αἱρετὰ [o]μὲν γὰρ εἶναι, καὶ βουλητὰ, [p]καὶ ὀρεκτὰ . . . . καὶ [q]ἀποδεκτέα, κατηγορήματα ὄντα, παρακείμενα δ' ἀγαθοῖς. Αἱρεῖσθαι μὲν γὰρ ἡμᾶς τὰ αἱρετέα, καὶ βούλεσθαι τὰ βουλητέα, καὶ ὀρέγεσθαι τὰ ὀρεκτέα. Κατηγορημάτων [r]γὰρ αἵ τε αἱρέσεις καὶ ὀρέξεις καὶ βουλήσεις γίγνονται, ὥσπερ καὶ αἱ ὁρμαί· ἔχειν μέντοι αἱρούμεθα, καὶ βουλόμεθα, καὶ ὁμοίως ὀρεγόμεθα τἀγαθὰ, διὸ καὶ αἱρετὰ καὶ βουλητὰ καὶ ὀρεκτὰ ἀγαθά ἐστι. Τὴν γὰρ φρόνησιν αἱρούμεθα ἔχειν, καὶ τὴν σωφροσύνην· οὐ μὰ Δία τὸ φρονεῖν καὶ σωφρονεῖν, ἀσώματα ὄντα καὶ [s]κατηγορήματα. Λέγουσι δὲ ὁμοίως καὶ [t]τὰ ἀγαθὰ πάντα εἶναι ὑπομενετὰ καὶ ἐμμενετὰ, [u]καὶ ἀνάλογον ἐπὶ τῶν ἄλλων [x]αἱρετῶν, εἰ καὶ μὴ κατωνόμασται· τὰ δ' [y]ὠφέλιμα πάντα ὑπομενετέα, καὶ ἐμμενετέα, καὶ τὰ ὅμοια.

n ἀνοήματα] ἀνομήματα V. A.

o μὲν om. A.

p Post καὶ ὀρεκτὰ nonnulla intercidisse ipsa vulgatæ lectionis vestigia docent. Legitur nempe continua serie καὶ βουλητὰ, καὶ ὀρεκτὰ, καὶ ἀποδεκτέα, ubi tamen ἀποδεκτὰ exspectaveris. Perierunt nempe post ὀρεκτὰ verba, καὶ ἀποδεκτὰ τὰ ἀγαθά· αἱρετέα δὲ καὶ βουλητέα καὶ ἀποδεκτέα, a quibus ob homoioteleuton librarii oculus aberraverat. Erit itaque jam integer locus sic legendus: αἱρετὰ μὲν γὰρ εἶναι καὶ βουλητὰ καὶ ὀρεκτὰ καὶ ἀποδεκτὰ τὰ ἀγαθὰ (vel αὐτὰ τὰ ἀγαθὰ adeoque *res ipsæ*, seu *objecta*;) αἱρετέα δὲ, καὶ βουλητέα, καὶ ὀρεκτέα, καὶ ἀποδεκτέα ἃ (nam ἃ supplevi cum ob præcedentem terminationem periisset;) κατηγορήματα ὄντα παρακείμενά ἐστι τοῖς ἀγαθοῖς (s. *prædicata*, sensu a Cicerone explicato). HEEREN.

q ἀποδεκτέα] ἀποδεικτέα A.

r δὲ αἱ] γὰρ αἱ V. A. καὶ ὀρέξεις om. A.

s κατηγορήματα] Ex sua ipse conjectura perperam οὐ ante κατηγορήματα edidit Heerenius: nam et φρονεῖν et σωφρονεῖν sunt κατηγορήματα, et κατηγορήματα, ut distincta ab ipsis rebus, sunt ἀσώματα, siquidem res ipsæ et virtutes sunt σώματα. LYNDEN. Panæt. p. 97.

t τὰ ἀγαθὰ] τὰ om. A.

u κατὰ λόγον] κατ' ἀνάλογον V. A. P. καὶ Heeren. pro κατ'.

x αἱρετῶν] ἀρετῶν V. A.

y ὠφέλημα] ὠφέλιμα V. A.

Ὡσαύτως [z]δὲ διαφέρειν ὑπολαμβάνουσι [a]καὶ τὰ [b]εὐλαβητὰ καὶ τὰ εὐλαβητέα, καὶ ἀνυπομενετὰ καὶ ἀνυπομενετέα. Τῶν δ' ἄλλων τῶν κατὰ τὰς κακίας ὁ αὐτὸς λόγος. [c]Πάντα δὲ τὸν καλὸν καὶ ἀγαθὸν ἄνδρα τέλειον εἶναι λέγουσι, διὰ τὸ μηδεμιᾶς ἀπολείπεσθαι ἀρετῆς· τὸν δὲ
[II.198] φαῦλον τοὐναντίον ἀτελῆ, διὰ τὸ μηδεμιᾶς μετέχειν ἀρετῆς. Δι' ὃ καὶ πάντως εὐδαιμονεῖν ἀεὶ τῶν ἀνθρώπων τοὺς ἀγαθοὺς, τοὺς δὲ φαύλους κακοδαιμονεῖν· καὶ τὴν [[d]ἐκείνων] εὐδαιμονίαν μὴ διαφέρειν τῆς θείας εὐδαιμονίας, μηδὲ τὴν ἀμεριμνίαν ὁ Χρύσιππός φησι διαφέρειν τῆς τοῦ Διὸς εὐδαιμονίας, κατὰ [e]μηδὲν [f]γὰρ αἱρετωτέραν εἶναι μήτε καλλίω μήτε σεμνοτέραν τὴν τοῦ Διὸς εὐδαιμονίαν τῆς τῶν σοφῶν ἀνδρῶν. Ἀρέσκει γὰρ τῷ τε Ζήνωνι καὶ τοῖς [g]ἀπ' αὐτοῦ Στωϊκοῖς φιλοσόφοις δύο γένη τῶν ἀνθρώπων εἶναι, τὸ μὲν τῶν σπουδαίων, τὸ δὲ τῶν φαύλων· καὶ τὸ μὲν τῶν σπουδαίων διὰ παντὸς τοῦ βίου χρῆσθαι [h]ταῖς ἀρεταῖς, τὸ δὲ τῶν φαύλων ταῖς κακίαις. Ὅθεν τὸ μὲν ἀεὶ κατορθοῦν ἐν ἅπασιν[i] οἷς [k]προστίθεται, τὸ δὲ ἁμαρτάνειν· καὶ τὸ μὲν σπουδαῖον ταῖς περὶ τὸν βίον ἐμπειρίαις χρώμενον ἐν τοῖς πραττομένοις ὑπ' αὐτοῦ [l]πάντ' εὖ ποιεῖν, καθάπερ φρονίμως, καὶ σωφρόνως, καὶ κατὰ τὰς ἄλλας ἀρετάς· [m]τὸ δὲ φαῦλον κατὰ τοὐναντίον, κακῶς. Καὶ [n]τὸ μὲν σπουδαῖον μέγα εἶναι, καὶ ἀδρὸν, καὶ ὑψηλὸν, καὶ ἰσχυρόν. Μέγα μὲν, ὅτι δύναται [o]ἐφικνεῖσθαι τῶν κατὰ προαίρεσιν ὄντων

[z] δὲ] καὶ A.

[a] καὶ τὰ etc.] καὶ τὰ εὐλαβῆ καὶ τὰ εὐλαβητέα, καὶ ἀνυπομενετὰ καὶ ἀνυπομενετέα V. A.

[b] εὐλαβῆ] εὐλαβητὰ ed. Heeren.

[c] Πάντα δὲ] πάντατε A.

[d] ἐκείνων vel ἀγαθῶν excidisse res ipsa docet. HEEREN.

[e] μηδένα] μηδὲν V. A.

[f] γὰρ add. Heeren.

[g] ἀπ' αὐτοῦ edidi pro ὑπ' αὐτοῦ. HEEREN.

[h] καὶ ante ταῖς deest V. A.

[i] ἀνθρώποις οἷς] ἀνθρώποις om. V. A.

[k] προτίθεται] προστίθεται V. A.

[l] Ante εὖ ποιεῖν add. πάντ' V. A. P.

[m] τὸν] τὸ Heeren.

[n] τὸ] τὸν V. A.

[o] ἀφικνεῖσθαι] ἐφικν. V. A.

[II.200] αὐτῷ καὶ προκειμένων· ἀδρὸν δὲ, ὅτι ἐστὶν [p]ηὐξημένον πάντοθεν· ὑψηλὸν δὲ, ὅτι [q]μετείληφε τοῦ ἐπιβάλλοντος ὕψους p. 179. ἀνδρὶ γενναίῳ καὶ σοφῷ· καὶ ἰσχυρὸν δὲ, ὅτι τὴν ἐπιβάλλουσαν ἰσχὺν [r]περιπεποίηται, ἀήττητος ὢν καὶ ἀκαταγώνιστος, παρ' ὃ καὶ οὔτε ἀναγκάζεται ὑπό τινος οὔτε ἀναγκάζει τινὰ, οὔτε κωλύεται οὔτε κωλύει, οὔτε βιάζεται ὑπό τινος οὔτ' αὐτὸς βιάζει τινὰ, οὐ δεσπόζει οὔτε δεσπόζεται, οὔτε κακοποιεῖ τινα οὔτ' αὐτὸς κακοποιεῖται, οὔτε [s]κακῶς περιπίπτει, οὔτε ἀπατᾶται, οὔτε ἐξαπατᾷ [t]ἄλλον, οὔτε διαψεύδεται, οὔτε ἀγνοεῖ, οὔτε λανθάνει ἑαυτὸν, οὔτε καθόλου ψεῦδος ὑπολαμβάνει, εὐδαίμων δ' ἐστὶ μάλιστα καὶ εὐτυχὴς, καὶ μακάριος, καὶ ὄλβιος, καὶ εὐσεβὴς, καὶ θεοφιλὴς, καὶ ἀξιωματικὸς, βασιλικός τε, καὶ στρατηγικὸς, [u]καὶ πολιτικὸς, καὶ οἰκονομικὸς, καὶ χρηματιστικός· τοὺς δὲ φαύλους ἅπαντα τούτοις ἐναντία ἔχειν. Καθόλου δὲ τοῖς μὲν σπουδαίοις πάντα τἀγαθὰ ὑπάρχειν, τοῖς δὲ φαύλοις πάντα τὰ κακά. Οὐ νομιστέον δὲ λέγειν αὐτοὺς οὕτως, ὡς εἴ τινά ἐστιν ἀγαθὰ, ἐκεῖνα [x]ὑπάρχει τοῖς σπουδαίοις, ὁμοίως δὲ καὶ ἐπὶ τῶν κακῶν· [y]ἀλλὰ τῷ τοὺς μὲν τοσαῦτα ἔχειν ἀγαθὰ ὥστε μηδὲν ἐλλείπειν εἰς τὸ τέλειον αὐτοῖς εἶναι τὸν βίον, τοὺς δὲ τοσαῦτα κακὰ, ὥστε τὸν βίον ἀτελῆ εἶναι καὶ κακοδαίμονα. Τὴν δ' ἀρετὴν πολλοῖς

[II.202] [z]ὀνόμασι [a]προσαγορεύουσιν. Ἀγαθόν τε γὰρ λέγουσιν [b]αὐτὴν, ὅτι ἄγει ἡμᾶς ἐπὶ τὸν ἀρθὸν βίον· καὶ ἀρεστὸν, ὅτι δοκιμαστόν ἐστιν ἀνυπόπτως· καὶ πολλοῦ ἄξιον, [c]ὅτι ἀν-

p ηὐξημένος] ηὐξημένον Heeren.
q μετείληφε τοῦ] μετείληφθαι Heeren.
r περιποίηται] περιπεποίηται V.
s καλῶς] κακῶς V.A.P. An κακοῖς?
t τὸν ἄλλον P.
u Ante οἰκον. add. πολιτικὸς καὶ V. A.
x ὑπάρχειν] ὑπάρχει V. A.
y ἀλλὰ τῷ] ἀλλ' οὕτω Heeren.
z ὀνόμασι] ὀνομάσαι V. A.
a προσαγορεύουσιν] προσαγόρευσιν A.
b αὐτὸν] αὐτὴν V. A.
c Addidi ὅτι, quod male exciderat. HEEREN.

ὑπέρβλητον [d]ἔχει τὴν ἀξίαν· καὶ σπουδαῖον, ἄξιον γὰρ εἶναι πολλῆς σπουδῆς· καὶ ἐπαινετὸν, εὐλόγως γὰρ ἄν τις αὐτὴν ἐπαινοίη· καὶ καλὸν, ὅτι πρὸς ἑαυτὴν καλεῖν πέφυκε τοὺς ὀρεγομένους αὐτῆς· καὶ συμφέρον, φέρειν γὰρ τοιαῦτα ἃ συντείνει πρὸς τὸ εὖ ζῆν· καὶ χρήσιμον, ὅτι ἐν τῇ χρείᾳ ὠφέλιμόν ἐστι· καὶ αἱρετὸν, [e]συμβαίνει γὰρ ἀπ' αὐτῆς ἃ εὐλόγως ἐστὶν [f]αἱρεῖσθαι· καὶ ἀναγκαῖον, ὅτι παροῦσά τε ὠφελεῖ, καὶ μὴ παρούσης οὐκ ἔστιν ὠφελεῖσθαι· καὶ λυσιτελὲς, τὰς γὰρ ἀπ' αὐτῆς ὠφελείας κρείττους εἶναι τῆς πραγματείας τῆς εἰς [g]ταύτας συντεινούσης· καὶ αὔταρκες, ἐξαρκεῖν γὰρ τῷ ἔχοντι· καὶ ἀνενδεὲς, ὅτι ἐνδείας ἀπαλλάττει πάσης· καὶ ἀποχρῶν, διὰ τὸ ἐν τῇ [h]χρήσει ἱκανὸν εἶναι, καὶ διατείνειν εἰς πᾶσαν τὴν κατὰ τὸν βίον χρείαν. Τῶν τε ἀγαθῶν μηδενὸς μετέχειν τοὺς φαύλους, ἐπειδὴ τὸ ἀγαθὸν ἀρετή ἐστιν, [i]ἢ τὸ μετέχον ἀρετῆς, τά τε παρακείμενα τοῖς ἀγαθοῖς, ἅπερ ἐστὶν ὧν χρὴ, ὠφελήματα ὄντα, [II.204] μόνοις τοῖς σπουδαίοις συμβαίνειν· καθάπερ καὶ τὰ παρακείμενα τοῖς κακοῖς, ἅπερ [k]ἐστὶν ὧν οὐ χρὴ, μόνοις τοῖς κακοῖς· βλάμματα γὰρ εἶναι, καὶ διὰ τοῦτο τοὺς μὲν ἀγαθοὺς [l]ἀβλαβεῖς πάντας εἶναι κατ' ἀμφότερα, οὔτε βλάπτειν οἵους τε ὄντας, οὔτε βλάπτεσθαι, τοὺς δὲ φαύλους κατὰ τοὐναντίον. Τὸν δὲ κατ' ἀλήθειαν πλοῦτον ἀγαθὸν εἶναι λέγουσι, καὶ τὴν κατ' ἀλήθειαν πενίαν, κακόν. Καὶ τὴν μὲν κατ' ἀλήθειαν ἐλευθερίαν, ἀγαθὸν, τὴν δὲ κατ' ἀλήθειαν δουλείαν, κακόν. Δι' ὃ δὴ καὶ τὸν σπουδαῖον εἶναι μόνον πλούσιον καὶ ἐλεύθερον, τὸν δὲ φαῦλον τοὐναντίον

[d] ἔχει] ἔχειν V.
[e] συμβαίνει] συμβαίνειν V. A.
[f] εὑρεῖσθαι] αἱρεῖσθαι V. A. Cant. in marg.
[g] ταύτας] ταῦτα V. A. Mox ὅτε A.
[h] χρίσει κοινὸν] χρήσει ἱκανὸν V. A.
[i] καὶ τὸ] ἢ τὸ V. A.
[k] ἐστι οὐ] ἔστιν ὧν οὐ V. A.
[l] Post ἀβλαβεῖς add. πάντας diserte A. Tamquam ex eo codice πάντως edidit Heeren.

πένητα, τῶν εἰς τὸ πλουτεῖν ἀφορμῶν [m]ὑστερημένον, καὶ δοῦλον, διὰ τὴν ὑποπτωτικὴν ἐν αὐτῷ διάθεσιν· τὰ δ' ἀγαθὰ πάντα κοινὰ εἶναι τῶν σπουδαίων, τῶν δὲ φαύλων τὰ κακά. Δι' ὃ καὶ τὸν ὠφελοῦντά τινα καὶ [n]ἑαυτὸν ὠφελεῖσθαι, τὸν δὲ βλάπτοντα, καὶ ἑαυτὸν βλάπτειν. Πάντας δὲ τοὺς σπουδαίους ὠφελεῖν ἀλλήλους, οὔτε φίλους ὄντας ἀλλήλων πάντως, οὔτε εὔνους, [o]οὔτε εὐδοκίμους, οὔτε ἀποδεχομένους, παρὰ τὸ μήτε καταλαμβάνεσθαι, μήτε ἐν [p]ταυτῷ κατοικεῖν τόπῳ, εὐνοητικῶς [q]μέντοιγε πρὸς ἀλλήλους διακεῖσθαι, καὶ φιλικῶς, καὶ δοκιμαστικῶς, καὶ ἀποδεκτικῶς, τοὺς δ' ἄφρονας ἐν τοῖς ἐναντίοις τούτων ὑπάρχειν. Τοῦ δὲ νόμου ὄντος σπουδαίου, καθάπερ εἴπομεν, ἐπειδὴ λόγος ὀρθός ἐστι
[II.206] μὲν προστακτικὸς ὢν ποιητέον, [r]ἀπαγορευτικὸς δὲ ὢν οὐ ποιητέον, μόνον τὸν σοφὸν [s]εἶναι λέγουσι νόμιμον, πρακτικὸν ὄντα τῶν ὑπὸ τοῦ νόμου προσταττομένων, καὶ μόνον ἐξηγητικὸν τούτου, δι' ὃ καὶ νομικὸν εἶναι, τοὺς δὲ ἠλιθίους ἐναντίως ἔχειν. [t]Ἀστείοις δ' ἔτι καὶ τὴν ἀρχὴν κατανέμουσι ἢ ἐπιστασίαν καὶ τὰ ταύτης εἴδη, βασιλείαν, στρατηγίαν, ναυαρχίαν, καὶ [u]τὰς ταύταις [x]παραπλησίους. Κατὰ τοῦτο δὴ καὶ μόνος ὁ σπουδαῖος ἄρχει, καὶ εἰ μὴ πάντως

[m] ἐστερημένον] ὑστερημένον V. A.

[n] αὐτὸν] ἑαυτὸν V. αὐτὸν A. ut Cant.

[o] οὔτε, quod sensus postulat, supplere non dubitavi. HEEREN.

[p] ταυτῷ] 'ἐν τ'ἀυτῷ A.

[q] Post μέντοιγε add. πρὸς ἀλλήλους διακεῖσθαι καὶ φιλικῶς καὶ δοκιμαστικῶς καὶ ἀποδεκτικῶς· τοὺς δὲ ἄφρονας etc. V. A. P.

[r] Verba ἀπαγορευτικὸς—ποιητέον desunt V. A.

[s] εἶναι ante λέγ. deest V.

[t] Legitur ἀστεῖος (ἀστείως A.) δ' εἶναι καὶ τὴν ἀρχὴν κατανέμουσαν ἐπιστασίαν, nullo sensu. Rescripsi ἀστείοις δ' ἔτι καὶ τὴν ἀρχὴν κατανέμουσι ἢ ἐπιστασίαν, *sapientibus imperium et magistratus concedunt*, antiquæ lectionis vestigiis insistens. Quod ad rem ipsam attinet, affirmat illam ut multa alia hic a sapiente prædicata, quæ singula aliorum testimoniis fulcire supervacaneum duxi, Diog. VII. I. 64. HEEREN. *Probis quoque imperium convenire* Cant. vers.

[u] Ante ταύταις add. τὰς V. τὰς τούταις (sic) A.

[x] παραπλησίως] –σίους V.

κατ' ἐνέργειαν, κατὰ διάθεσιν δὲ καὶ [y]πάντως. Καὶ πει- p. 180.
θαρχικὸς [z]μόνος ὁ σπουδαῖός ἐστιν, ἀκολουθητικὸς ὢν ἄρ-
χοντι. Τῶν δ' ἀφρόνων οὐδεὶς τοιοῦτος· οὔτε γὰρ ἄρχειν
οὔτε ἄρχεσθαι οἷός ἐστιν ὁ ἄφρων, αὐθάδης τις ὢν, καὶ
ἀνάγωγος. Πάντα τε εὖ [a]ποιεῖ ὁ νοῦν ἔχων, καὶ γὰρ φρο-
νίμως, καὶ ἐγκρατῶς, καὶ κοσμίως, καὶ εὐτάκτως ταῖς
περὶ τὸν βίον ἐμπειρίαις χρώμενος συνεχῶς· ὁ δὲ φαῦλος,
ἄπειρος ὢν τῆς ὀρθῆς χρήσεως, πάντα κακῶς ποιεῖ καθ' ἣν
[II.208] ἔχει διάθεσιν ἐνεργῶν, [b]εὖ μετάπτωτος ὢν, καὶ παρ' ἕκαστα
[c]μεταμελείᾳ [d]συνεχόμενος. Εἶναι δὲ τὴν μεταμέλειαν,
λύπην ἐπὶ [e]πεπραγμένοις ὡς [f]παρ' αὐτοῦ ἡμαρτημένοις,
κακοδαιμονικόν τι πάθος ψυχῆς καὶ στασιῶδες· ἐφ' ὅσον
γὰρ ἄχθεται τοῖς συμβεβηκόσιν ὁ ἐν ταῖς μεταμελείαις
ὢν, ἐπὶ τοσοῦτον ἀγανακτεῖ πρὸς ἑαυτὸν, ὡς αἴτιον γεγονότα
τούτων· δι' ὃ καὶ ἄτιμον εἶναι πάντα φαῦλον, μήτε τιμῆς
ἄξιον ὄντα, μήτε τίμιον ὑπάρχοντα. Τὴν γὰρ τιμὴν εἶναι
[g]γέρως ἀξίωσιν, τὸ δὲ [h]γέρας ἆθλον ἀρετῆς εὐεργετικόν.
Τὸ οὖν ἀρετῆς ἀμέτοχον, ἄτιμον δικαίως λέγεσθαι. [i]Λέγ-
ουσι δὲ καὶ φυγάδα πάντα φαῦλον εἶναι, καθ' ὅσον στέρεται
νόμου καὶ πολιτείας κατὰ φύσιν ἐπιβαλλούσης. Τὸν
γὰρ νόμον εἶναι, καθάπερ εἴπομεν, σπουδαῖον, ὁμοίως δὲ
καὶ τὴν πόλιν. Ἱκανῶς δὲ καὶ Κλεάνθης περὶ τὸ σπου-
δαῖον εἶναι τὴν πόλιν λόγον ἠρώτησε τοιοῦτον· Πόλις μέν
[II.210] [k]ἐστιν οἰκητήριον κατασκεύασμα, εἰς ὃ [l]καταφεύγοντάς

[y] πάντες] πάντως ni fallor A. pr. m. deinde mutat in πάντας vel πάντες.
[z] μόνος edidi pro μόνον. HEEREN.
[a] ποιεῖ] ποιεῖν V. A.
[b] οὐ μετάπτωτος] εὖ μετάπτωτος ὢν V. A. P. Cant. in marg.
[c] μεταμελείας] μεταμελείᾳ Heerenius.
[d] συνερχόμενος] συνεχόμενος V. A.
[e] ἐπὶ πραγμένοις] ἐπιπεπραγμένοις A. ἐπὶ ἁμαρτήμασι πεπραγμένοις Andronicus.
[f] ὥσπερ αὐτῶν] ὡς παρ' αὐτὸν V. A. αὐτοῦ Heeren.
[g] γέρας· ἀξίωσι] γέρως ἀξίωσιν V. A.
[h] γέρα] γέρας V. A.
[i] Post Λέγ. add. δὲ V. A.
[k] ἔστιν οἰκητήριον] εἰ ἐστι δικαστηρίου Heeren. qui mox δικαστήριον pro οἰκητήριον.
[l] καταφεύτας] καταφεύγοντας V. A.

ἐστι δίκην δοῦναι καὶ λαβεῖν, οὐκ ἀστεῖον [m]δὴ πόλις ἐστίν; ἀλλὰ μὴν τοιοῦτόν ἐστιν ἡ πόλις οἰκητήριον· ἀστεῖον ἄρ' ἔστιν ἡ πόλις. Τριχῶς δὲ λεγομένης τῆς πόλεως, τῆς τε κατὰ τὸ οἰκητήριον, καὶ τῆς κατὰ [n]τὸ σύστημα τῶν ἀνθρώπων, καὶ τρίτον τὸ κατ' ἀμφότερα τούτων, κατὰ δύο σημαινόμενα λέγεσθαι τὴν πόλιν ἀστείαν, κατά τε τὸ σύστημα τῶν ἀνθρώπων, καὶ κατὰ τὸ συναμφότερον, διὰ [o]τοὺς ἐνοικοῦντας [p]ἀναφορὰν . . . . Φασὶ δὲ καὶ ἄγροικον εἶναι πάντα φαῦλον, τὴν γὰρ ἀγροικίαν ἀπειρίαν εἶναι [q]τῶν κατὰ πόλιν ἐθῶν καὶ [r]νόμων· [s]καὶ πάντα φαῦλον ἔνοχον ὑπάρχειν· εἶναι δὲ καὶ [t]ἄγριον, ἐναντιωτικὸν ὄντα τῇ [u]κατὰ νόμον διεξαγωγῇ, καὶ θηριώδη καὶ βλαπτικὸν ἄνθρωπον. Τὸν δ' αὐτὸν τοῦτον καὶ ἀνήμερον ὑπάρχειν καὶ τυραννικὸν, οὕτως διακείμενον ὥστε δεσποτικὰ ποιεῖν, ἔτι δὲ ὠμὰ, καὶ
[II.212] βίαια, καὶ παράνομα, [x]καιρῶν ἐπιλαβόμενον. Εἶναι δὲ [y]καὶ ἀχάριστον, οὔτε πρὸς [z]ἀνταπόδοσιν χάριτος οἰκείως ἔχοντα, οὔτε πρὸς μετάδοσιν, διὰ τὸ μηδὲ κοινῶς τι ποιεῖν, μηδὲ φιλικῶς, μηδ' [a]εὐμελετήτως. Μηδὲ φιλόλογον εἶναι τὸν φαῦλον, μηδὲ φιλήκοον, παρὰ τὸ μηδ' [b]ἀρχὴν [c]παρεσκευάσθαι πρὸς τὴν [d]ὀρθῶν λόγων παραδοχὴν, διὰ τὴν [e]ἀπηχοῦσαν ἐκ τῆς διαστροφῆς ἀφροσύνην, παρὰ τὸ μήτε

m δὴ πόλις] δὲ πόλις V.
n σύστημα] τὸ σύστημα V. A.
o τὰ ἐνοικοῦντας] τοὺς ἐνοικ. V. A.
p ἀναφορὰν] ἀναφοραν sine accentu A. Post h. v. lacunæ signum posuit Heeren.
q τὸν καπόλιν ἐθνῶν] τῶν κατὰ πόλιν ἐθῶν V. A. P.
r νόμων] μόνων A.
s καὶ πάντα] ἢ πάντα V. A. f. οἷς π.
t ἄγριον] ἄγροικον V.
u κατανόμῳ] κατὰ νόμον V. ἐναντιοτικὸν ὄντα τῇ κατὰ νόμου A.
x καιρὸν] καιρῶν V.
y Ante ἀχαριστ. add. καὶ V. A. P.
z ἀνταπόδοσιν—οὔτε πρὸς om. A.
a ἀμελήτως] ἀμελετήτως V. A. Reposui εὐμελετήτως. Heeren. ἀμελλήτως.
b ἄρχειν] ἀρχὴν Heeren.
c Verba παρασκ.—δοχὴν des. A.
d ὄρρων] ὀρθῶν Canter. in marg.
e ἀπήκουσαν] ὑπήκουσαν V. A. ἀπηχοῦσαν Valckenærius.

προτετράφθαι τινὰ τῶν φαύλων μήτε προτρέπειν πρὸς ἀρετήν· τὸν γὰρ προτετραμμένον [f]ἢ προτρεπόμενον ἑτέρους ἕτοιμον εἶναι [g]δεῖ πρὸς τὸ φιλοσοφεῖν, [h]τὸν δὲ ἕτοιμον [i]ἀνεμποδίστως ἔχειν, μηδένα [k]δὲ τῶν ἀφρόνων εἶναι τοιοῦτον. Οὐ γὰρ τὸν προθύμως ἀκούοντα καὶ ὑπομνηματιζόμενον τὰ λεγόμενα ὑπὸ τῶν φιλοσόφων ἕτοιμον εἶναι πρὸς τὸ φιλοσοφεῖν, ἀλλὰ τὸν ἑτοίμως ἔχοντα πρὸς τὸ τὰ διὰ τῆς φιλοσοφίας παραγγελλόμενα μεταφέρειν ἐπὶ τὰ ἔργα, καὶ κατ' αὐτὰ βιοῦν. Οὐδένα δὲ τῶν φαύλων τοιοῦτον εἶναι, [l]προκατειλημμένον τοῖς τῆς κακίας δόγμασιν. Εἰ γὰρ προετέτραπτό [m]τις τῶν φαύλων, καὶ ἀπὸ τῆς κακίας
[II.214] [n]ἀνετέτραπτο. Οὐδεὶς [o]δὲ ἔχων τὴν κακίαν πρὸς ἀρετὴν τέτραπται, ὡς [p]οὐδὲ νόσον πρὸς ὑγείαν. Μόνον δὲ προτετράφθαι τὸν σοφὸν, καὶ μόνον προτρέπειν δύνασθαι, τῶν δ' ἀφρόνων μηδένα· κατὰ γὰρ παραγγέλματα βιοῦν μηδένα τῶν ἀφρόνων. Μηδ' εἶναι [q]φιλόλογον, λογόφιλον δὲ μᾶλλον, μέχρι λαλιᾶς ἐπιπολαίου προβαίνοντα, μηκέτι δὲ καὶ τοῖς ἔργοις ἐκβεβαιούμενον τὸν τῆς ἀρετῆς λόγον. [r]Μηδὲ γὰρ φιλόπονόν τινα τῶν φαύλων εἶναι· τὴν γὰρ φιλοπονίαν διάθεσιν ἐξεργαστικὴν εἶναι τῶν [s]ἐπιβαλλόντων ἀνυπόπτως διὰ [t]πόνου, οὐδένα δὲ τῶν φαύλων ἀνυπόπτως ἔχειν πρὸς τὸν p. 181.
πόνον. Μηδὲ γὰρ [u]τὴν κατ' ἀξίαν ποιεῖσθαι δόσιν τῆς ἀρετῆς τῶν [x]φαύλων τινὰ, σπουδαῖον μὲν γὰρ εἶναι τὴν

[f] καὶ προτρεπόμενον] ἢ προτ. V. A. P.
[g] δεῖ] δὴ A.
[h] τὸν δὲ—φιλοσοφεῖν om. A.
[i] ἐμποδίστως] ἀνεμποδίστως V.
[k] δὲ add. Heeren.
[l] προκαταλειμμένον] προκατειλημμένον A.
[m] τις om. A.
[n] ἀνατέτραπτο] ἀνετέτραπτο V. A.
[o] γὰρ δὲ] γὰρ deest V. A.
[p] οὐδὲν] οὐδὲ V. A.
[q] Ante φιλολογ. add. καὶ V.
[r] Μήτε γὰρ] μηδὲ γὰρ V. A.
[s] ὑποβαλλόντων] ἐπιβαλλ. V. A. P.
[t] πόνου] πόνον V. A. Post πόνον add. οὐδένα δὲ τῶν φαύλων ἀνυπόπτως ἔχειν πρὸς τὸν πόνον A.
[u] τὴν om. Heeren.
[x] σπουδαίων] φαύλων Cant. in marg.

δόσιν, ἐπιστήμην οὖσαν, καθ' ἣν ἀξιόλογόν [y]τι ἡγούμεθα περιποιεῖσθαι. [z]Τῶν δὲ σπουδαίων μηδὲν εἰς φαύλους πίπτειν, ὥστε μηδὲ [a]τὴν ἀξίαν τῆς ἀρετῆς δόσιν ποιεῖσθαί τινα τῶν φαύλων. Εἰ γὰρ τὴν κατ' ἀξίαν τις ἐποιεῖτο δόσιν τῶν ἀφρόνων τῆς ἀρετῆς, ἐφ' ὅσον ἐτίμα ταύτην, [b]ἀπῳκονομεῖτο ἂν τὴν κακίαν. Πᾶς δέ τε ἄφρων σύνεστιν ἡδέως τῇ ἑαυτοῦ κακίᾳ. Σκοπεῖν γὰρ δεῖ μὴ τὸν
[II.216] ἐξωφόρον [c]αὐτῶν λόγον, φαῦλον ὄντα, ἀλλὰ τὸν τῶν πράξεων. Ἐκ τούτων γὰρ ἀπελέγχονται [d]μὴ περὶ τὰ καλὰ καὶ σπουδαῖα [e]παρωρμημένοι, ἀλλὰ περὶ τὰς [f]ἀνδραποδώδεις ἀμέτρους ἀπολαύσεις. Ἀρέσκει δὲ καὶ πᾶν ἁμάρτημα ἀσέβημα εἶναι. [g]Τὸ γὰρ παρὰ τὴν βούλησίν τι πράττεσθαι τοῦ θεοῦ, ἀσεβείας εἶναι τεκμήριον. Τῶν γὰρ θεῶν οἰκειουμένων μὲν τῇ ἀρετῇ καὶ τοῖς [h]ταύτης ἔργοις, ἀλλοτριουμένων δὲ τῇ κακίᾳ καὶ τοῖς ἀπὸ ταύτης συντελουμένοις, τοῦ δ' ἁμαρτήματος ὄντος ἐνεργήματος κατὰ κακίαν, κατεφαίνετο πᾶν ἁμάρτημα ἀπαρεστὸν θεοῖς ὑπάρχον, (τοῦτο δ' ἐστὶν ἀσέβημα,) καὶ καθ' ἕκαστον [i]γὰρ ἁμάρτημα ὁ φαῦλος ἀπαρεστόν τι ποιεῖ θεοῖς. Ἔτι δὲ, ἐπεὶ πᾶς φαῦλος ὅσα ποιεῖ κατὰ κακίαν ποιεῖ, καθάπερ ὁ σπουδαῖος κατ' ἀρετὴν, καὶ [k]ὁ μίαν ἔχων κακίαν πάσας ἔχει. Ἐν δὲ ταύταις ὁρᾶσθαι καὶ τὴν ἀσέβειαν, οὐ τὴν τεταγμένην κατὰ τὴν ἐνέργειαν, ἀλλὰ τὴν τῇ εὐσεβείᾳ ἐναντίαν ἕξιν. Τὸ δὲ κατ' ἀσέβειαν πεπραγμένον ἀσέβημα εἶναι, πᾶν [l]οὖν ἁμάρτημα

y τὶ] τινα A.
z Τῶν δὲ σπουδαίων] τὸν δεν sic σπουδαῖον V.
a Post τὴν ἀξίαν add. τῆς ἀρετῆς δόσιν ποιεῖσθαί τινα τῶν φαύλων. Εἰ γὰρ τὴν κατ' ἀξίαν τις ἐποιεῖτο etc. V. A.
b ἀποκονομεῖτο] ἀπῳκον. A.
c αὐτὸν λόγον] αὐτῶν λόγον V.
d καὶ μὴ] καὶ om. Heeren.
e παρορμημένοι] παρωρμημένον V. A.
f ἀνταποδόσεις] ἀνδραποδώδεις V. ἀνδραποδώδης A.
g Τὸ] τὰ A.
h ταύτης] ταύτοις A.
i γὰρ] γε Heeren.
k ὁμοίαν κακίαν ἔχων] ὁ μίαν ἔχων κακίαν V. A. ὅκαν κ. ἔ. P.
l οὖν, quod nexus sermonis flagitat, addidi. HEEREN.

ἀσέβημα εἶναι. Ἔτι δ' ἀρέσκει αὐτοῖς, καὶ πάντ' εἶναι τὸν ἄφρονα θεοῖς ἐχθρόν· τὴν γὰρ ἔχθραν [m]ἀσυμφωνίαν εἶναι τῶν κατὰ τὸν βίον καὶ διχόνοιαν, ὥσπερ καὶ τὴν φιλίαν συμφωνίαν καὶ ὁμόνοιαν. [n]Διαφωνοῦσι δ' οἱ φαῦλοι πρὸς τοὺς θεοὺς [o]περὶ τῶν κατὰ τὸν βίον, διόπερ [p]πᾶς ἄφρων
[II.218] θεοῖς ἐχθρός ἐστιν, ἐπεὶ [q]εἰ πάντες τοὺς ἐναντίους αὐτοῖς ἐχθροὺς εἶναι νομίζουσι, τῷ δὲ σπουδαίῳ ὁ φαῦλός ἐστιν ἐναντίος, καὶ σπουδαῖός ἐστιν ὁ θεὸς, ὁ φαῦλος θεοῖς ἐστὶν ἐχθρός. Ἴσά τε πάντα λέγουσιν εἶναι τὰ ἁμαρτήματα, οὐκ [r]ἔτι δ' ὅμοια. Καθάπερ γὰρ ἀπὸ μιᾶς τινος πηγῆς, τῆς κακίας, φέρεσθαι πέφυκε, τῆς κρίσεως οὔσης ἐν πᾶσι τοῖς ἁμαρτήμασι τῆς αὐτῆς· παρὰ δὲ τὴν ἔξωθεν αἰτίαν, τῶν ἐφ' οἷς αἱ κρίσεις ἀποτελοῦνται [s]μέσων διαλλαττόντων, διάφορα κατὰ ποιότητα γίγνεσθαι τὰ ἁμαρτήματα. Λάβοις δ' ἂν [t]εἰκόνα σαφῆ τοῦ δηλουμένου τῷδ' ἐπιστήσας· πᾶν [u]γὰρ τὸ [x]ψεῦδος ἐπ' ἴσης [y]ψεῦδος συμβέβηκεν, οὐ γὰρ εἶναι ἕτερον ἑτέρου μᾶλλον διεψευσμένον· [z]τό τε γὰρ [a]νύκτα εἶναι ψεῦδός ἐστι, καθάπερ [b]τὸ ἱπποκένταυρον ζῆν· καὶ οὐ μᾶλλον εἰπεῖν ἐστι ψεῦδος εἶναι θάτερον θατέρου· ἀλλ' [c]εἴγε τὸ ψεῦδος ἐπίσης ψεῦδός ἐστιν, οὐχὶ δὲ καὶ οἱ διεψευσμένοι ἐπίσης εἰσὶ διεψευσμένοι. Διαμαρτάνειν

m ἀσυμφωνίαν] συμφωνίαν V.

n Διαφέρουσι] διαφωνοῦσι V. A.

o περὶ τῶν] περὶ τὸν A.

p τὰς] πᾶς V. A. Cant. in marg.

q εἰ addidit Heeren.

r ἔστι] ἔτι Cant. in marg.

s μέσων, quod ex τῶν pendet, rescripsi pro μέσον. Sunt nempe τὰ μέσα rationes, *secundum quas judicia facimus*, quæ sane in eadem re apud alios aliæ esse possunt. HEEREN.

t ἐκεῖνα] εἰκόνα A. et mox τῷδ' pro τόδ'.

u γὰρ] γε Heeren.

x Post ψεῦδος add. ἐπίσης ψεῦδος V. A.

y ψεῦδος εἶναι] Heeren. tanquam ex A. Atqui A. non agnoscit εἶναι.

z τὸν] τὸ A.

a Subintelligendum erit: *si dies est*, nisi potius aliquid exciderit v. c. ἀεὶ post εἶναι. HEEREN. Facile potuit excidere ἀεὶ inter νύκτα et εἶναι.

b τὸν ὑποκένταυρον] τὸ ἱπποκένταυρον V. τὸ ὑποκένταυρον A.

c οὐχὶ] εἴγε Heeren.

[II.220] δὲ μᾶλλον καὶ ἧττον οὐκ ἔστι, πᾶσαν γὰρ ἁμαρτίαν κατὰ διάψευσιν πράττεσθαι. Ἔτι οὐχὶ κατόρθωμα μὲν μεῖζον καὶ ἔλαττον γίγνεσθαι, [d]ἁμάρτημα δὲ μεῖζον ἢ [e]ἔλαττον οὐ γίγνεσθαι, [f]πάντα γάρ ἐστι τέλεια, διόπερ οὔτ' ἐλλείπειν οὔτ' ὑπερέχειν δύναιτ' ἂν ἀλλήλων. [g]Ἴσά τε νῦν ἐστι πάντα τὰ ἁμαρτήματα. Περὶ δὲ εὐφυοῦς, ἔτι δὲ εὐγενοῦς, οἱ μὲν τῶν ἐκ τῆς αἱρέσεως [g]ἐπηνέχθησαν ἐπὶ [h]τὸ λέγειν πάντα σοφὸν τοιοῦτον εἶναι, οἱ δ' οὔ. Οἱ μὲν γὰρ οἴονται, [i]οὐ μόνον εὐφυεῖς γίγνεσθαι πρὸς ἀρετὴν ἐκ φύσεως, ἀλλὰ καὶ τοὺς [k]ἐκ κατασκευῆς, καὶ τὸ ἐν ταῖς παροιμίαις λεγόμενον τοῦτο ἀπεδέξαντο,

μελέτη [l]χρονισθεῖσ' εἰς φύσιν καθίσταται.

Τὸ δ' ὅμοιον καὶ περὶ εὐγενείας ὑπέλαβον, ὥστε εὐφυΐαν μὲν εἶναι κοινῶς ἕξιν ἐκ φύσεως ἢ ἐκ κατασκευῆς, οἰκείαν πρὸς ἀρετὴν, ἣ ἕξιν, καθ' ἣν [m]εὐανάληπτοι ἀρετῆς εἰσί τινες· τὴν δ' εὐγένειαν, ἕξιν [n]ἐκ γένους ἢ ἐκ κατασκευῆς, οἰκείαν πρὸς ἀρετήν. Τὸν δὲ σπουδαῖον, ὁμιλητικὸν ὄντα, καὶ ἐπιδέξιον, καὶ προτρεπτικὸν, καὶ θηρευτικὸν διὰ τῆς ὁμιλίας εἰς εὔνοιαν καὶ φιλίαν, [o]καὶ ὡς δυνατὸν εὐάρμοστον εἶναι [p]πρὸς τὸ πλῆθος ἀνθρώπων, παρ' ὃ καὶ ἐπαφρόδιτον εἶναι,
[II.222] καὶ ἐπίχαριν, καὶ πιθανὸν, ἔτι δὲ [q]αἰμύλον, [r]καὶ εὔστοχον, p. 182.
καὶ εὔκαιρον, καὶ ἀγχίνουν, καὶ ἀφελῆ, καὶ ἀπερίεργον, καὶ ἁπλοῦν, καὶ ἄπλαστον· τὸν δὲ φαῦλον ἔνοχον πᾶσι

[d] Verba ἁμάρτημα—γίνεσθαι desunt V.
[e] ἢ ἔλαττον γίγνεσθαι] καὶ ἔλαττον οὐ γίνεται V. A.
[f] πᾶν] πάντα V. A.
[g] ἀπενέχθησαν] ἐπενέχθησαν V. P. ἐπηνέχθησαν A.
[h] τὸ] τῷ A.
[i] Ante οὐ μόνον add. ὅτι A.
[k] ἐν] ἐκ V. A.
[l] χρονισθῆναι] χρονισθεῖσα V. A.
[m] ἀνάληπτον] –λήπτοι V. A.
[n] εὐγενοῦς] ἐκ γένους Heeren. post Cant. in marg.
[o] καὶ] καὶ ὡς Heeren.
[p] πρὸς πλ.] τὸ πλ. A.
[q] αἰμύλιον] αἰμύλον V. A.
[r] καὶ εὔστοχον om. Heeren.

[s]τοῖς ἐναντίοις. Τὸ δ' [t]εἰρωνεύεσθαι φαύλων εἶναί [u]φασιν, οὐδένα γὰρ ἐλεύθερον καὶ σπουδαῖον [x]εἰρωνεύεσθαι· ὁμοίως δὲ καὶ τὸ σαρκάζειν, ὅ ἐστιν εἰρωνεύεσθαι μετ' ἐπισυρμοῦ τινός. Ἐν μόνοις τε τοῖς σοφοῖς ἀπολείπουσι φιλίαν, [y]ἐπεὶ ἐν μόνοις τούτοις ὁμόνοια γίγνεται [z]περὶ τῶν κατὰ τὸν βίον· τὴν δ' ὁμόνοιαν εἶναι κοινῶν ἀγαθῶν ἐπιστήμην. Φιλίαν γὰρ ἀληθινὴν καὶ μὴ ψευδώνυμον ἀδύνατον χωρὶς πίστεως καὶ βεβαιότητος ὑπάρχειν· ἐν δὲ τοῖς φαύλοις, [a]ἀπίστοις καὶ ἀβεβαίοις οὖσι καὶ [b]δόγματα πολεμικὰ κεκτημένοις, οὐκ εἶναι φιλίαν, ἑτέρας δέ τινας ἐπιπλοκὰς καὶ συνδέσεις ἔξωθεν ἀνάγκαις καὶ δόξαις κατεχομένας γίγνεσθαι. Φασὶ δὲ καὶ τὸ ἀγαπᾶν, καὶ τὸ ἀσπάζεσθαι, καὶ τὸ [c]φιλεῖν μόνων εἶναι σπουδαίων. Καὶ μόνον εἶναι τὸν σοφὸν βασιλέα τε καὶ βασιλικόν, τῶν δὲ φαύλων μηδένα· [d]τὴν γὰρ βασιλείαν ἀρχὴν ἀνυπεύθυνον εἶναι καὶ τὴν ἀνωτάτω καὶ τὴν ἐπὶ πάσαις. Λέγουσι δὲ καὶ ἄριστον αὐτοῦ ἰατρὸν
[II.224] εἶναι τὸν σπουδαῖον ἄνδρα· ἐπιμελῆ γὰρ ὄντα τῆς ἰδίας φύσεως [e]παρατηρητὴν ὑπάρχειν καὶ τῶν πρὸς ὑγίειαν ἐπιστήμονα συμφερόντων. Οὐχ οἷόν τε [f]δὲ [g]μεθυσθήσεσθαι τὸν νοῦν ἔχοντα· τὴν γὰρ μέθην [h]ἁμαρτητικὸν περιέχειν, λήρησίν [i]τε εἶναι [k]περὶ τὸν οἶνον, ἐν μηδενὶ δὲ τὸν σπουδαῖον

[s] Ante ἐναντ. add. τοῖς V. A.

[t] εἰρωνεύεσθαι φαῦλον] εἰρονεύεσθαι φαύλων A.

[u] φύσιν] φασὶν V. A.

ib. φασὶν bene codd. V. A. E. pro φύσιν. Pro φαῦλον malim φαύλων. HEEREN. Sic plane A.

[x] Post εἰρωνεύεσθαι add. ὁμοίως δὲ καὶ τὸ σαρκάζειν, ὅ ἐστιν εἰρωνεύεσθαι μετ' ἐπισυρμοῦ A.

[y] ἐπεὶ] ἐπὶ A.

[z] περὶ τῶν] περὶ τοῦ A.

[a] ἀπιστίαν καὶ ἀβεβαίαν] ἀπίστοις καὶ ἀβεβαίοις V. A. P.

[b] δόματα] δόγματα V. A.

[c] Post φιλεῖν add. μόνων εἶναι σπουδαίων καὶ etc. V. A. P.

[d] τὴν δὲ] τὴν γὰρ V. A.

[e] παρατηρετεῖν] παρατηρητὴν V. A.

[f] δὲ om. Heeren.

[g] μεθυσθήσεσθαι] μηθηθήσεσθαι sic V.

[h] ἁμαρτητικὸν] ἁμαρτητὸν V.

[i] τε add. Heeren.

[k] παρὰ τὸν υἱὸν] παρὰ τὸν οἶον A. π. τ. οἶνον V. Cant. marg.

ἁμαρτάνειν, δι' ὃ πάντα κατ' ἀρετὴν ποιεῖν καὶ τὸν ἀπὸ ταύτης ὀρθὸν λόγον. Τρεῖς δὲ [l]προηγορευμένους εἶναι βίους, τόν τε βασιλικὸν, καὶ τὸν πολιτικὸν, καὶ τρίτον τὸν ἐπιστημονικόν· ὁμοίως δὲ καὶ [m]χρηματισμοὺς τρεῖς προηγουμένους, τόν τε ἀπὸ τῆς βασιλείας, [n]καθ' ὃν ἡ αὐτὸς [o]βασιλεύσει καὶ [p]μοναρχικῶς χρημάτων εὐπορήσει· δεύτερον δὲ, τὸν ἀπὸ τῆς πολιτείας, πολιτεύεσθαι γὰρ κατὰ τὸν προηγούμενον λόγον· καὶ γὰρ γαμήσειν, καὶ παιδοποιήσεσθαι, ἀκολουθεῖν [q]γὰρ ταῦτα τῇ τοῦ [r]λογιστικοῦ ζώου καὶ κοινωνικοῦ καὶ φιλαλλήλου [s]. . . Χρηματιεῖσθαι οὖν καὶ ἀπὸ τῆς πολιτείας, καὶ ἀπὸ τῶν φίλων, τῶν ἐν ὑπεροχαῖς ὄντων.

[II.226] Περὶ δὲ τοῦ σοφιστεύειν καὶ ἀπὸ [t]σοφιστείας εὐπορήσειν χρημάτων, διέστησαν οἱ ἀπὸ τῆς αἱρέσεως κατὰ τὸ σημαινόμενον. Τὸ μὲν γὰρ χρηματιεῖσθαι ἀπὸ τῶν κατὰ τὴν παιδείαν, καὶ μισθούς ποτε [u]λήψεσθαι παρὰ τῶν φιλομαθούντων, διωμολογήσαντο· περὶ δὲ τὸ σημαινόμενον ἐγένετό τις ἐν αὐτοῖς ἀμφισβήτησις, τῶν μὲν αὐτὸ τοῦτο λεγόντων σοφιστεύειν, τὸ ἐπὶ μισθῷ μεταδιδόναι [x]τῶν τῆς φιλοσοφίας δογμάτων, τῶν δ' [y]ὑποτοπησάντων ἐν τῷ σοφιστεύειν περιέχεσθαί τι φαῦλον, οἱονεὶ λόγους καπηλεύειν, οὐ [z]φαμένων [a]δεῖν ἀπὸ παιδείας παρὰ τῶν ἐπιτυχόντων

[l] προηγορευμένους] τοὺς π. Heeren. qui legerit tamen προηγουμένους.

[m] χρηματιστικὸν] χρηματισμοὺς V. A.

[n] καθ' ἣν ἡ αὐτὸς βασιλεύσει, καὶ] Pro καὶ Cant. in marg. ἢ. Heerenius dedit, καθ' ὃν αὐτὸς ὁ βασιλεύει καὶ μοναρχικῶν χρημάτων εὐπορήσει, *quatenus rex regiis quoque divitiis abundabit.*

[o] βασιλεύσει] βασιλεύει V.

[p] μοναρχικοῖς] μοναρχικῶς Heeren. in annot. casu an consilio incertum, nam in contextu edidit μοναρχικῶν.

[q] γὰρ, ut nexus constaret, supplevi. HEEREN.

[r] λογικοῦ] λογιστικοῦ V. A.

[s] Excidisse videtur φύσει. HEEREN.

[t] σοφιστείας εὐπορήσειν] σοφιστὰς ἀπορήσειν V. A.

[u] λήψεσθαι] λήψασθαι A.

[x] ταῖς] τῶν V. A. P.

[y] ὑποτοπησάντων] ὑποτοπῆσάντων A.

[z] φαμὲν ὧν] φαμένων Cant. in marg.

[a] δὲ ἀπὸ] δεῖν ἀπὸ V. A.

χρηματίζεσθαι, καταδεέστερον γὰρ εἶναι τὸν τρόπον τοῦτον τοῦ χρηματισμοῦ τοῦ τῆς φιλοσοφίας ἀξιώματος. Φασὶ δέ ποτε καὶ τὴν ἐξαγωγὴν τὴν [b]ἐκ τοῦ βίου τοῖς σπουδαίοις καθηκόντως [c] κατὰ πολλοὺς τρόπους, τοῖς δὲ φαύλοις [d]μονὴν ἐν τῷ ζῆν, [e]εἰ μὴ [f]μέλλοιεν ἔσεσθαι σοφοὶ, οὔτε γὰρ τὴν ἀρετὴν κατέχειν ἐν τῷ ζῆν, οὔτε τὴν κακίαν ἐκβάλλειν· τοῖς δὲ καθήκουσι καὶ τοῖς παρὰ τὸ καθῆκον μετρεῖσθαι τήν [g]τε ζωὴν καὶ τὸν [h]θάνατον. Λέγουσι δὲ καὶ τὸν σοφὸν ἀνύβριστον εἶναι, οὔθ' ὑβρίζεσθαι γὰρ οὔθ' ὑβρίζειν, διὰ τὸ
[II.228] τὴν ὕβριν ἀδικίαν εἶναι καταισχύνουσαν καὶ βλάβην· μήτε δὲ ἀδικεῖσθαι μήτε βλάπτεσθαι τὸν σπουδαῖον, ἀδικητικῶς μέντοιγέ τινας [i]αὐτῷ [k]προσφέρεσθαι καὶ ὑβριστικῶς, καὶ κατὰ τοῦτο δικαιοπραγεῖν, πρός τε τὸ μηδὲν [l]τυχοῦσαν ἀδικίαν εἶναι τὴν ὕβριν, ἀλλὰ καταισχύνουσαν, καὶ [m]ὑβριστικὴν οὖσαν. Ἀπερίπτωτον δ' ὑπάρχειν τὸν νοῦν ἔχοντα τούτοις, καὶ μηδαμῶς [n]καταισχύνεσθαι, ἐν ἑαυτῷ γὰρ [o]ἔχειν τὸ ἀγαθὸν καὶ τὴν θείαν ἀρετὴν, δι' ὃ καὶ πάσης ἀπηλλάχθαι κακίας καὶ βλάβης. Καὶ βασιλεύσειν τέ ποτε τὸν νοῦν [p]ἔχοντα, καὶ βασιλεῖ συμβιώσεσθαι, [q]καὶ [r]εὐφυΐαν [s]ἐμφαίνοντι καὶ φιλομάθειαν. Ἔφαμεν δ' ὅτι καὶ πολιτεύεσθαι κατὰ τὸν προηγούμενον λόγον [t]οἷόν ἐστι, μὴ πολι-

[b] Ante ἐκ τοῦ add. τὴν V. A.

[c] Supplendum videtur γίνεσθαι. HEEREN. Plutarch. II. p. 1063 D. Stoici πολλοὺς μὲν ἐξάγουσι τῶν σοφῶν ὡς ἄμεινον εὐδαιμονοῦντας πεπαῦσθαι, πολλοὺς δὲ κατέχουσι τῶν φαύλων, ὡς καθήκοντος αὐτοῖς ζῆν κακοδαιμονοῦντας.

[d] μόνην] μονὴν Davis. ad Cic. de Fin. III. 18. μηδὲ τὴν μονὴν ed. Heeren. Supra δὲ om. A. Cant.

[e] εἰ μὴ—τῷ ζῆν om. A.

[f] μέλοιεν] μέλλοιεν V. Verba καὶ εἰ—ζῆν des. A.

[g] τε om. A.

[h] Ante θάνατον add. τὸν V. A. P.

[i] αὐτῶν] αὐτῷ Heeren.

[k] προφέρεσθαι] προσφέρ. V. A.

[l] τυχοῦσα] τυχοῦσαν V. A.

[m] ὑβριστικὸν] ὑβριστικὴν V. A.

[n] καταισχύνεσθαι] κατύνεσθαι A.

[o] ἔχειν] ἔχει V.

[p] ἔχοντα add. Heeren.

[q] καὶ om. A.

[r] εὐφυΐαν] ἐμφυΐαν A.

[s] ἐμφαίνονται] —νοντι V. A.

[t] οἷον μήτι] οἷόν ἐστι ed. Heeren. qui post ἐάν τι lacunæ signum posuit.

τεύεσθαι δὲ ἐάν τι . . . καὶ μάλιστα μηδὲν ὠφελεῖν [u]μέλλῃ τὴν πατρίδα, κινδύνους δὲ παρακολουθεῖν [x]ὑπολαμβάνῃ
[II.230] μεγάλους καὶ χαλεποὺς ἐκ τῆς πολιτείας. Λέγεσθαι δὲ, μὴ ψεύδεσθαι τὸν σοφὸν, ἀλλ' ἐν πᾶσιν ἀληθεύειν· [y]οὐ γὰρ ἐν τῷ λέγειν τι ψεῦδος τὸ ψεύδεσθαι ὑπάρχειν, ἀλλ' ἐν τῷ p. 183.
διαψευστῶς τὸ ψεῦδος λέγειν, καὶ ἐπὶ ἀπάτῃ [z]τῶν πλησίον. [a]Τῷ μέντοι ψεύδει ποτὲ συγχρήσασθαι νομίζουσιν αὐτὸν κατὰ πολλοὺς τρόπους ἄνευ συγκαταθέσεως· καὶ γὰρ κατὰ στρατηγίαν πρὸς [b]τῶν ἀντιπάλων, καὶ κατὰ τὴν τοῦ συμφέροντος [c]προόρασιν, καὶ κατ' ἄλλας οἰκονομίας τοῦ βίου πολλάς. [d]Ψεῦδος [e]δὲ ὑπολαμβάνειν οὐδέποτέ φασι τὸν σοφὸν, [f]οὐδὲ τὸ παράπαν ἀκαταλήπτῳ τινὶ συγκατατίθεσθαι, διὰ τὸ μηδὲ δοξάζειν αὐτὸν, μηδ' ἀγνοεῖν μηδέν. Τὴν γὰρ ἄγνοιαν μεταπτωτὴν εἶναι, συγκατάθεσιν [g]δὲ ἀσθενῆ. Μηδὲν δ' [h]ὑπολαμβάνειν ἀσθενῶς, ἀλλὰ μᾶλλον ἀσφαλῶς καὶ βεβαίως, δι' ὃ καὶ μηδὲ δοξάζειν τὸν σοφόν. Διττὰς γὰρ εἶναι δόξας, τὴν μὲν [i]ἀκατάληπτον συγκατάθεσιν, τὴν [k]δ' ὑπόληψιν ἀσθενῆ· ταύτας [l]δ' ἀλ-
[II.232] λοτρίους εἶναι τῆς τοῦ σοφοῦ διαθέσεως, δι' ὃ καὶ τὸ προπίπτειν πρὸ καταλήψεως, [m]καὶ συγκατατίθεσθαι κατὰ τὸν προπετῆ, [n]φαύλου εἶναι, καὶ μὴ πίπτειν εἰς τὸν εὐφυῆ καὶ τέλειον ἄνδρα καὶ σπουδαῖον. Οὐδὲ λανθάνειν δὲ αὐτόν

[u] μέλλει] μέλλῃ V. A. Supra μηδὲ A.
[x] ὑπολαμβάνει] –βάνῃ V. A.
[y] οὐ γὰρ] καὶ γὰρ V. A.
[z] τὸν] τῷ V. A. τῶν Heeren.
[a] Τὸ μέντοι] τῷ μέντοι V. A.
[b] τῶν] πρὸς τῶν Heeren.
[c] πρόρασιν] προόρασιν V. A.
[d] Seqq. illustrat Salmasius ad Simplic. p. 35. etc. HEEREN.
[e] δ' ante ὑπ. deest A.
[f] οὐδέποτε παράπαν] οὐδὲ τὸ παράπαν V. A. P.
[g] δὲ] Sic Salmasius. καὶ A. Cant.
[h] ὑπολαμβάνει] –βάνειν V. A.
[i] ἀκατάληπτον] –λήπτων V. A.
[k] δ' ὑπέρληψιν] μὲν ὑπόληψιν V. P. sed in marg. δὲ ὑπόληψιν A.
[l] δὲ, ut nexus constaret, supplevi. HEEREN.
[m] καὶ addit Salmasius.
[n] μᾶλλον] φαύλου Salmasius.

τι, [o]τὴν γὰρ [p]λήθην εἶναι ψεύδους [q]ὑπόληψιν [r]ἀποφαντικὴν πράγματος. Τούτοις δ' ἀκολούθως [s]οὐκ ἀπιστεῖν, τὴν γὰρ [t]ἀπιστίαν εἶναι [u]ψεύδους ὑπόληψιν, [x]τὴν δὲ πίστιν ἀστεῖον ὑπάρχειν, εἶναι γὰρ ὑπόληψιν ἰσχυρὰν, βεβαιοῦσαν τὸ ὑπολαμβανόμενον. Ὁμοίως δὲ καὶ τὴν ἐπιστήμην [y]ἀμετάπτωτον ὑπὸ λόγου· διὰ ταῦτά φασι μήτε ἐπίστασθαί τι τὸν φαῦλον [z]μήτε πιστεύειν. Ἐχομένως δὲ [a]τούτῳ μήτε πλεονάζεσθαι τὸν σοφὸν, οὔτε βουκολεῖσθαι, οὔτε [b]διαιτᾶσθαι, οὔτε παραριθμεῖν, οὔτε [c]ὑφ' ἑτέρου [d]παραριθμεῖσθαι, ταῦτα γὰρ πάντα τὴν ἀπάτην περιέχειν, καὶ τοῖς κατὰ τὸν τόπον ψεύδεσι πρόσθεσιν. Οὐδένα δὲ τῶν ἀστείων οὔθ'
[II.234] [e]ὁδοῦ διαμαρτάνειν, οὔτ' [f]οἰκίας, οὔτε σκοποῦ· ἀλλ' οὐδὲ παρορᾶν ἀλλ' οὐδὲ παρακούειν νομίζουσι τὸν σοφὸν, οὐδὲ τὸ σύνολον παραπαίειν κατά τι τῶν αἰσθητηρίων, καὶ γὰρ τούτων ἕκαστον ἔχεσθαι νομίζουσι τῶνδε ψευδῶν [g]συγκαταθέσεων· οὐδ' ὑπονοεῖν δέ φασι τὸν σοφὸν, καὶ γὰρ τὴν ὑπόνοιαν ἀκατάληπτον εἶναι τῷ γένει συγκατάθεσιν, οὐδὲ μετανοεῖν [h]δ' ὑπολαμβάνουσι τὸν νοῦν ἔχοντα, καὶ γὰρ τὴν μετάνοιαν ἔχεσθαι ψεύδους συγκαταθέσεως, [i]ὡς ἂν [k]προδιαπεπτωκότος. Οὐδὲ μεταβάλλεσθαι δὲ κατ' οὐδένα

o τὸν γὰρ] τὴν γὰρ V. A.
p λύσιν] λήθην Heeren.
q ὑπόληψιν] ἀπόλυσιν A.
r ἀποφαντικοῦ] ἀποφαντικὴν Heeren.
s οὐκ] οὔτ' Heeren.
t ἀπιστείαν] –στίαν V. A.
u ψεύδους] ψεύδοι A.
x Verba τὴν δὲ—ὑπόληψιν desunt V.
y μετάπτωτον] ἀμετάπτωτον Heeren. qui om. τὴν ante ἐπιστήμην.
z μήτ' ἐπιστ.] μήτε πιστ. V. A.
a Post τούτῳ add. μήτε V. A. P.
b διετᾶσθαι] Sic A. Cant. διαιτᾶσθαι V. P. διαπατᾶσθαι Heeren. διαπατᾶσθαι improbat Wyttenbach. ad Plutarch. II. p. 78 F. qui malit δεκάζεσθαι.
c ὑφ' ἑτέρου] παρ' ἑτέρου V.
d παραριθμεῖσθαι] παραριθεῖσθαι A.
e ὁμοῦ] ὁδοῦ V. A.
f οἰκείαν] οἰκείας V. οἰκίας A.
g συμμεταθέσεων] συγκαταθέσεων V. A. P.
h δ' om. Heeren.
i ἂν] ὡς ἂν Heeren.
k προσδιαπεπτωκότος] προδιαπεπτωκότος V. –κότως A.

τρόπον, οὐδὲ μετατίθεσθαι, οὐδὲ [l]σφάλλεσθαι· ταῦτα γὰρ εἶναι πάντα τῶν [m]τοῖς δόγμασι μεταπιπτόντων, ὅπερ ἀλλότριον εἶναι τοῦ νοῦν ἔχοντος· οὐδὲ δοκεῖν αὐτῷ τί φασι, παραπλησίως τοῖς εἰρημένοις. [II.236] Γίγνεσθαι δὲ καὶ διαλελῃθότα τινὰ [n]σοφὸν νομίζουσι κατὰ τοὺς πρώτους χρόνους, οὔτε [o]ὀρεγόμενόν τινος, [p]οὔτε νομίζειν βουλόμενον, [q]ἔν τινι τῶν ἐν τῷ βούλεσθαι ἰδικῶν ὄντα, διὰ τὸ μὴ κρίνειν [r]τι αὐτῷ παρεῖναι ὧν χρή. Οὐ μόνον δ' ἐπὶ τῆς φρονήσεως ἀλλὰ καὶ ἐπὶ τῶν ἄλλων τεχνῶν τὰς τοιαύτας ἔσεσθαι διαλήψεις. [s]Ἔτι, πάντων τε τῶν ἁμαρτημάτων ἴσων ὄντων καὶ τῶν κατορθωμάτων, καὶ τοὺς [t]ἄφρονας ἐπίσης πάντας ἄφρονας εἶναι, τὴν αὐτὴν καὶ ἴσην ἔχοντας διάθεσιν. [u]Ἴσων δὲ ὄντων τῶν ἁμαρτημάτων, εἶναί τινας ἐν αὐτοῖς διαφορὰς, καθ' ὅσον τὰ μὲν αὐτῶν ἀπὸ σκληρᾶς καὶ δυσϊάτου διαθέσεως γίγνεται, τὰ δ' οὔ. Καὶ τῶν σπουδαίων [x]δὲ ἄλλους ἄλλων προτρεπτικωτέρους γίγνεσθαι καὶ πιστικωτέρους, [y]ἔτι δὲ [z]καὶ ἀγχινουστέρους κατὰ τὰ μέσα τὰ ἐμπεριλαμβανόμενα τῶν ἐπιτάσεων συμβαινουσῶν. Εὐτεκνεῖν δὲ μόνον τὸν ἀστεῖον, οὔ τι μὴν πάντα, δεῖν γὰρ τὸν εὐτεκνοῦντα, ἀστεῖα τέκνα ἔχοντα, χρήσασθαι αὐτοῖς ὡς τοιούτοις. Εὐγηρεῖν τε μόνον, καὶ [a]εὐθανατεῖν τὸν σπουδαῖον· εὐγηρεῖν γὰρ εἶναι, τὸ μετὰ ποιοῦ [b]γήρως διεξάγειν κατ' ἀρετὴν, [c]εὐθανατεῖν

[l] σφάλλεσθαι] σφάλεσθαι A.
[m] τοῖς] τῆς A.
[n] σοφὸν] σοφῶν V.
[o] ὀρεγόμενον] –μένος A.
[p] οὔτε] οὔτε βουλόμενον ἔν τι τῶν ἐν τῷ βούλεσθαι ἰδικῶν ὄντων Wyttenbach. Plutarch. p. 75 D.
[q] ἔν τινι τὸν] ἔν τινι τῶν V. A.
[r] Ante αὐτῷ add. τὶ V. A.
[s] Ἔτι *præterea*, rescripsi pro ἐκ. HEEREN.
[t] Post ἄφρονας add. ἐπίσης πάντας ἄφρονας V. A.
[u] Ἴσων] ἴσως A.
[x] δὲ] γε Heeren.
[y] Verba ἔτι—ἀγχινουστέρους desunt V.
[z] καὶ ante ἀγχιν. om. A.
[a] εὐθανατεῖν] Sic A. in marg. ἀθανατεῖν in textu.
[b] γήρως διεξάγειν] γήρους διεξάμην A. qui habet γειν in marg.
[c] Post εὐθανατεῖν add. δὲ V. A.

[II.238] δὲ, [d]τὸ μετὰ ποιοῦ θανάτου κατ' ἀρετὴν τελευτᾶν. [e]Καὶ τά τε ὑγιεινὰ καὶ νοσερὰ πρὸς ἄνθρωπον λέγεσθαι, καὶ ὡς τρόφιμα καὶ [f]τὰ λυτικὰ, καὶ στατικὰ, καὶ τὰ τούτοις παραπλήσια. Ὑγιεινὰ μὲν γὰρ εἶναι τὰ εὐφυῶς ἔχοντα πρὸς τὸ περιποιεῖν ὑγίειαν [g]ἢ συνέχειν· νοσερὰ δὲ τὰ ἐναντίως ἔχοντα τούτοις. Παραπλήσιον δὲ εἶναι καὶ τὸν ἐπὶ τῶν ἄλλων λόγον. Καὶ μαντικὸν δὲ μόνον εἶναι τὸν σπουδαῖον, ὡς ἂν ἐπιστήμην ἔχοντα διαγνωστικὴν σημείων τῶν [h]ἐκ θεῶν ἢ δαιμόνων πρὸς ἀνθρώπινον βίον τεινόντων. Δι' ὃ καὶ τὰ [i]εἴδη τῆς μαντικῆς εἶναι περὶ αὐτὸν, τό τε ὀνειροκριτικὸν, καὶ τὸ οἰωνοσκοπικὸν, [k]καὶ θυτικὸν, καὶ εἴ τινα [l]ἄλλα τούτοις ἐστὶ [m]παραπλήσια. [n]Αὐστηρόν τε λέγεσθαι τὸν σπουδαῖον καθ' ὅσον οὔτε προσφέρει τινὶ οὔτε προσίεται p. 184. τὸν πρὸς χάριν λόγον. Κυνιεῖν τε τὸν σοφὸν λέγουσιν, [o]ἶσον [p]τῷ ἐπιμένειν τῷ κυνισμῷ, οὐ μὴν σοφὸν ὄντα ἐνάρξασθαι τοῦ κυνισμοῦ. Τὸν δ' [q]ἐρωτά φασιν ἐπιβολὴν εἶναι φιλοποιΐας διὰ κάλλος ἐμφαινόμενον νέων ὡραίων· δι' ὃ καὶ ἐρωτικὸν εἶναι τὸν σοφὸν, καὶ [r]ἐρασθήσεσθαι τῶν ἀξιεράστων, εὐγενῶν ὄντων καὶ εὐφυῶν. [s]Λέγουσι δὲ μηδὲ παρὰ τὴν ὄρεξιν, μηδὲ παρὰ τὴν ὁρμὴν, μηδὲ παρὰ τὴν ἐπιβουλὴν [II.240] γίγνεσθαί τι περὶ τὸν σπουδαῖον, διὰ τὸ μεθ' ὑπεξαιρέσεως πάντα ποιεῖν τὰ τοιαῦτα, καὶ μηδὲν αὐτῷ τῶν ἐναντιου-

[d] τὸ] τὸν sic V.
[e] Καὶ τάτε] κἄτε sic V. κατά τε A.
[f] τὰ om. Heeren.
[g] καὶ συνεχ.] ἢ συνεχ. V. A.
[h] ὡς] ἐς V. A.
ib. ἐκ rescripsi pro ὡς. Codd. V. A. E. ἐς. HEEREN. ἀπὸ Davis. Cic. de Div. II. 63.
[i] εἴδη] ἔδη A.
[k] καιθ' ἢ] καὶ θυτικὸν V. A. P.
[l] ἄλλα] ἄλλο A.
[m] παραπλήσια] -σιον A. Verba αὐστηρὸν—ὅσον leg. in marg. A. sed eadem manu scripta.
[n] Αὐστηρὸν—ὅσον A. in marg. p. m.
[o] ἶσον] ἴσον ὂν Valckenær.
[p] τῷ ἐπιμένειν τῷ κυνισμῷ] τῷ κυνισμῷ ἐπιμένειν A.
[q] ἔρωτα] ἐρῶντα V. A.
[r] ἐρασθήσεσθαι] ἐρασθήσεται V. A.
[s] Λέγουσι καὶ etc.] λέγουσι δὲ etc. V. A. P.

μένων ἀπρόληπτον προσπίπτειν. Εἶναι δὲ καὶ πρᾷον, τῆς πραότητος οὔσης ἕξεως [t]καθ' ἣν πράως ἔχουσι πρὸς τὸ ποιεῖν τὰ ἐπιβάλλοντα ἐν πᾶσι, καὶ μὴ ἐκφέρεσθαι εἰς ὀργὴν ἐν μηδενί. Καὶ ἡσύχιον [u]δὲ καὶ κόσμιον εἶναι· τῆς κοσμιότητος οὔσης ἐπιστήμης κινήσεων πρεπουσῶν, ἡσυχιότητος δὲ [x]εὐταξίας περὶ τὰς κατὰ φύσιν κινήσεις καὶ μονὰς ψυχῆς καὶ σώματος, τῶν ἐναντίων τούτοις περὶ [y]πάντων φαύλων γιγνομένων. [z]Ἀδιάβολον δ' εἶναι πάντα τὸν καλὸν κἀγαθὸν, ἀπαράδεκτον ὄντα διαβολῆς, ὅθεν καὶ ἀδιάβολον εἶναι κατά τε τοῦτον τὸν τρόπον, [a]καὶ τῷ μὴ διαβάλλειν [b]ἕτερον. Εἶναι δὲ τὴν διαβολὴν διάστασιν φαινομένων [c]φίλων ψευδεῖ λόγῳ· τοῦτο δὲ μὴ γίγνεσθαι περὶ τοὺς ἀγαθοὺς ἄνδρας, μόνους [d]δὲ τοὺς φαύλους καὶ διαβάλλεσθαι καὶ διαβάλλειν, δι' ὃ καὶ τοὺς μὲν κατ' ἀλήθειαν φίλους μήτε διαβάλλειν μήτε διαβάλλεσθαι, τοὺς δὲ [c]δοκοῦντας καὶ φαινομένους. Οὐδ' ἀναβάλλεσθαι [f]δέ ποτε τὸν σπουδαῖον οὐδὲν, εἶναι γὰρ τὴν ἀναβολὴν ὑπέρθεσιν ἐνεργείας δι' ὄκνον, ὑπερτίθεσθαι δέ τινα μόνον, ἀνεγκλήτου τῆς ὑπερθέσεως οὔ-
[II.242] σης. [g]Ἐπὶ γὰρ τοῦ ἀναβάλλεσθαι τὸν Ἡσίοδον ταῦτ' εἰρηκέναι·[h]

*Μήδ' ἀναβάλλεσθαι ἔς τ' αὔριον, [i]ἔς τε ἔνηφι·

καὶ,

Αἰεὶ δ' ἀμβολιεργὸς ἀνὴρ ἄτῃσι [k]παλαίει·

[t] καθ' ἣν] καθ' ὃν V.
[u] δὲ ante καὶ deest V.
[x] εὐταξίας] εὐπραξίας V. εὐταξίᾶσ A.
[y] πάντα] πάντων A. πάντα φαῦλον legerit Heeren.
[z] Ἀδιάβουλον] ἀδιάβολον V. A.
[a] καὶ τῷ μὴ edidi pro καὶ τὸ μή. Quod nisi admittas, supplendum erit κατά. HEEREN.
[b] ἕτερον] ἑτέρους V. ἑτέρου A.
[c] φίλων ψευδεῖ λόγῳ] ψευδῆ λόγῳ φίλων V. A.
[d] τε τοὺς] δὲ τοὺς V. A.
[e] κακοῦντας] δοκοῦντας V. A. P.
[f] δέ] δέ ποτε A.
[g] Ἐπεὶ γὰρ τοῦ] ἐπὶ γὰρ τὸ Heeren. ἐπὶ γὰρ τοῦ A.
[h] Hesiod. Op. 408. 411.
[i] ἔς τ' ἐνιφί] ἔς τε ἔνιφι V. A.
[k] ἀ. παλαίει] ἄτισι παλαίειν A.

τῆς [l]δὲ ἀναβολῆς ἔκπτωσίν τινα τῶν προσηκόντων ἔργων ἐμποιούσης.

Ταῦτα μὲν ἐπὶ τοσοῦτον. Περὶ γὰρ πάντων τῶν παραδόξων δογμάτων ἐν πολλοῖς μὲν καὶ ἄλλοις ὁ Χρύσιππος διελέχθη, καὶ [m]γὰρ ἐν τῷ περὶ δογμάτων, καὶ ἐν τῇ [n]ὑπογραφῇ τοῦ λόγου, καὶ ἐν ἄλλοις πολλοῖς τῶν κατὰ μέρος συγγραμμάτων. Ἐγὼ δ' ὁπόσα προυθέμην ἐπελθεῖν [o]ἐν κεφαλαίῳ τῶν ἠθικῶν δογμάτων κατὰ τὴν τῶν Στωϊκῶν φιλοσόφων αἵρεσιν διεληλυθὼς ἱκανῶς, ἤδη τοῦτον τὸν ὑπομνηματισμὸν αὐτόθι καταπαύσω.

7

Ἀριστοτέλους καὶ τῶν λοιπῶν Περιπατητικῶν περὶ τῶν [a]ἠθικῶν.

Τὸ μὲν οὖν ἦθος τοὔνομα λαβεῖν φησὶν [b]ἀπὸ τοῦ ἔθους·
[II.244] ὧν γὰρ ἐκ φύσεως ἀρχὰς ἔχομεν καὶ σπέρματα, τούτων τὰς τελειότητας περιποιεῖσθαι τοῖς [c]ἔθεσι καὶ ταῖς ὀρθαῖς ἀγωγαῖς· δι' ὃ καὶ τὴν [d]ἠθικὴν ἐθικὴν εἶναι, καὶ περὶ μόνα τὰ ζῶα γίγνεσθαι, καὶ μάλιστα περὶ ἄνθρωπον. Τὰ μὲν [e]γὰρ λοιπὰ ἐθισθέντα οὐ λόγῳ ἀλλὰ τῇ ἀνάγκῃ γίγνεσθαι ποιὰ ἄττα, [f]τὸν δ' ἄνθρωπον, τῷ [g]λόγῳ πλαττόμενον, ἐκ τοῦ ἐθισμοῦ μέρους τῆς ψυχῆς [h]ἀλόγου διακειμένου κατὰ

[l] δὲ] γε Heeren.

[m] γὰρ] γε Heeren.

[n] ὑπογραμμῇ] ὑπογραμμῇ A. ὑπογραφῇ Heeren. propter Diog. Laërt. VII. 199. ubi inter opera Chrysippi numeratur ὑπογραφὴ τοῦ λόγου τοῦ πρὸς Θεόσπορον.

[o] κεφαλαίοις] κεφαλαίοισ A.

7.

[a] ἠθικῶν] ἠθικῶν δόγματα Heeren.

[b] Nempe Aristoteles. Respicit ad ea quæ Stagirita disputat Eth. II. 1. et Magn. Moral. I. 5. 6. HEEREN.

[c] ἔθεσι] ἤθεσι V.

[d] Post ἠθικὴν add. ἐθικὴν V. A.

[e] Post τὰ μὲν γὰρ add. λοιπὰ V. A.

[f] Post τὸν add. δὲ V. A.

[g] Post λόγῳ add. πλαττόμενον ἐκ τοῦ ἐθισμοῦ μέρους τῆς ψυχῆς διακειμένου κατὰ τὸν λόγον· λόγον δὲ λέγεσθαι ψυχῆς μέρος· οὐ τὸ καθάπαξ ἄλογον, ἀλλὰ τὸ οἷόν τε πείθεσθαι λόγῳ ὁποῖον etc. V. A. P.

[h] ἀλόγου add. Heeren. qui mox ἄλογον pro λόγον.

τὸν λόγον. [p]Ἄλογον δὲ λέγεσθαι ψυχῆς μέρος οὐ τὸ καθάπαξ ἄλογον, ἀλλὰ τὸ οἷόν τε πείθεσθαι λόγῳ, ὁποῖόν ἐστι τὸ παθητικὸν, τοῦτο [i]δὲ καὶ τῆς ἀρετῆς δεκτικόν. Τῆς [k]γὰρ ψυχῆς τὸ μὲν εἶναι λογικὸν, τὸ δ' ἄλογον· λογικὸν μὲν τὸ κριτικὸν, ἄλογον δὲ τὸ ὁρμητικόν. Τοῦ δὲ λογικοῦ τὸ μὲν περὶ τὰ ἴδια καὶ τὰ θεῖα θεωρητικὸν, ἐπιστημονικὸν καλεῖσθαι· τὸ δὲ περὶ τὰ ἀνθρώπινα καὶ τὰ πρακτικὰ, βουλευτικόν. Καὶ τοῦ ἀλόγου τὸ μὲν ὀρεκτικὸν [l]τῶν ἐν
[II.246] ἡμῖν, ἐπιθυμητικόν· τὸ δὲ πρὸς τοὺς πλησίον οἷον ἀμυντικὸν, θυμικόν. Ὥστε διττὸν εἶναι καὶ τῶν ἀρετῶν τὸ εἶδος, τὸ μὲν λογικὸν, τὸ δ' ἄλογον, ἐπειδὴ καὶ [m]ταῦτα πέφυκε μὲν κατὰ θεωρίαν καὶ πρᾶξιν, ὅθεν καὶ [n]τὴν ἠθικὴν ἀρετὴν οὐκ εἶναι μὲν ἐπιστήμην, προαιρετικὴν δὲ τῶν καλῶν ὑπάρχειν. Ἐκ τριῶν δὲ συμβεβηκέναι τὴν ἀρετὴν τελειοῦσθαι, φύσεως, p. 185.
ἔθους, λόγου. Τὸν γὰρ ἄνθρωπον, διαφέροντα κατά τε σῶμα καὶ ψυχὴν τῶν ἄλλων ζώων, διὰ τὸ, μεταξὺ τῶν ἀθανάτων ὄντα καὶ τῶν θνητῶν, κοινωνίαν ἐξῆφθαι πρὸς ἄμφω, πρὸς μὲν τὰ λογικὰ, τῷ κατὰ τὴν ψυχὴν θείῳ, πρὸς δὲ τὰ ἄλογα, τῷ κατὰ [o]τὸ σῶμα θνητῷ, κατὰ λόγον ἀμφοῖν [p]τῆς τελειότητος ἐφίεσθαι. Καὶ πρῶτον μὲν ὀρέγεσθαι τοῦ εἶναι, φύσει γὰρ ᾠκειῶσθαι πρὸς ἑαυτὸν, δι' ὃ καὶ προσηκόντως μὲν ἀσμενίζειν ἐν τοῖς κατὰ φύσιν, δυσχεραίνειν δὲ ἐπὶ τοῖς παρὰ φύσιν. Τήν τε γὰρ ὑγίειαν
[II.248] περιποιεῖσθαι σπουδάζειν, καὶ τῆς ἡδονῆς [q]πόθον ἔχειν, καὶ [r]τοῦ ζῆν [s]ἀντιποιεῖσθαι, τῷ ταῦτα μὲν εἶναι κατὰ φύσιν,

[i] δὲ, quod nexus sermonis flagitat, supplevi. HEEREN.
[k] γὰρ om. A.
[l] τῶν] τὸ Heeren.
[m] ταῦτα πεφύκαμεν θεωρίαν] Heerenius dedit ταῦτα πέφυκε μὲν κατὰ θεωρίαν.
[n] τὸν ἠθικὸν] τὴν ἠθικὴν V. A.
[o] τὸ σῶμα] τῷ σῶμα A.
[p] τὴν τελειότητα] τῆς τελειότητος V. A.
[q] πόθον] φύσιν V. A.
[r] τὸ ζῆν] τοῦ ζῆν V. A.
[s] ἀναποιεῖσθαι] ἀντιποιεῖσθαι Heeren.

καὶ [t]αὐθαίρετα, καὶ [u]ἀγαθά. Κατὰ δὲ [x]τἀναντία τὴν νόσον, καὶ τὴν ἀλγηδόνα, καὶ τὴν φθορὰν διακρούεσθαι καὶ περικλίνειν, τῷ παρὰ φύσιν ὑπάρχειν, καὶ διὰ ταῦτα φευκτὰ καὶ κακά. Φίλον γὰρ εἶναι ἡμῶν τὸ σῶμα, φίλην δὲ τὴν ψυχὴν, φίλα δὲ τὰ τούτων μέρη, καὶ τὰς δυνάμεις, καὶ τὰς ἐνεργείας, ὧν κατὰ τὴν πρόνοιαν τῆς σωτηρίας τὴν ἀρχὴν γίγνεσθαι τῆς ὁρμῆς, καὶ τοῦ [y]καθήκοντος, καὶ τῆς ἀρετῆς. Εἰ μὲν γὰρ περὶ τὰς τῶν [z]εἰρημένων αἱρέσεις καὶ φυγὰς μηδεμία συνέβαινε πλάνη καθάπαξ, ἀλλὰ τῶν μὲν ἀγαθῶν [a]ἐπήβολοι, τῶν δὲ κακῶν ἄμοιροι διετελοῦμεν ὄντες, οὐδέποτ' ἂν τὴν ὀρθὴν καὶ ἄπταιστον ἐν τούτοις [b]ἐπεζητήσαμεν ἐκλογήν. Ἐπεὶ δὲ πολλάκις δι' ἄγνοιαν περὶ τὰς αἱρέσεις καὶ φυγὰς [c]ἀπατώμεθα, καὶ τὰ μὲν ἀγαθὰ παραπέμπομεν, τοῖς κακοῖς δ' ὡς ἀγαθοῖς [d]ἐντυγχάνομεν, ἀναγκαίως [e]τὴν τῆς ἐπικρίσεως βέβαιον εἴδησιν ἐπεζητήσαμεν, ἣν καὶ συνῳδὸν εὑρόμενοι τῇ φύσει, διὰ τὸ τῆς ἐνεργείας
[II.250] μεγαλοπρεπὲς, ἀρετὴν [f]προσηγορεύσαμεν, καὶ [g]μόνοι, ὡς θαυμάσαντες, ἐπετιμήσαμεν πρὸ τῶν ἄλλων ἁπάντων. Τὰς γὰρ πράξεις ἀπό τε τῆς [h]τῶν κατὰ φύσιν ἐκλογῆς καὶ τῆς ἀπεκλογῆς τῶν παρὰ φύσιν τὰς ἀρχὰς ἔχειν συμβέβηκε, καὶ τὰ λεγόμενα καθήκοντα· δι' ὃ καὶ τάς τε κατορθώσεις καὶ τὰς ἁμαρτίας ἐν τούτοις καὶ περὶ ταῦτα γίγνεσθαι. Σχεδὸν γὰρ τὴν ὅλην τῆς αἱρέσεως ὑπογραφὴν ἀπὸ τούτων [i]ὡρμῆσθαι, καθάπερ ἐπιδείξω διὰ βραχυτάτων.

t αὐθαίρετα] ἀιφθαιρ. V.
u τὰ ante ἀγαθά om. V.A.
x τ' ἀναντίαν] τἀναντία A.
y καθήκοντος] καθηκότος A.
z εἰρημίων] εἰρημένων V. A.
a ἐπήβολοι] ἐπίβολοι V. A.
b ἐπιζητήσαιμεν, *non quæremus*, rescripsi pro ἐπεζητήσαμεν. HEEREN.
c ἀπατώμεθα] ἠπατώμεθα V. A.
d ἐντυγχάνομεν] ἐνετυγχ. sic V.
e τῆς] τὴν τῆς V. A.
f προσαγορεύσαμεν] προσηγορ. V. A.
g μόνοις] μόνοι V. A. μόνως, *unice*, Heeren.
h τῶν ante κατὰ deest V.
i ὁρμῆσθαι] ὠρμῆσθαι A.

Ὅτι γὰρ οὐ μόνον αἱρετὰ τὰ τέκνα τοῖς [j]γειναμένοις ἐστὶ [k]διὰ τὰς χρείας, ἀλλὰ καὶ δι' ἑαυτὰ, γνώριμον ἐκ τῆς ἐνεργείας. Οὐδένα γοῦν οὕτως ὠμὸν εἶναι καὶ [l]θηριώδη τὴν φύσιν, ὃς οὐκ ἂν σπουδάζοι [m]μετὰ τὴν ἑαυτοῦ τελευτὴν εὐδαιμονεῖν τὰ τέκνα, καὶ καλῶς ἐπανάγειν μᾶλλον [n]ἢ τοὐναντίον. Ἀπὸ ταύτης [o]γοῦν τῆς φιλοστοργίας καὶ διαθήκας τελευτᾶν μέλλοντας τίθεσθαι, καὶ τῶν ἔτι κυοφορουμένων φροντίζειν, ἐπιτρόπους ἀπολιπόντας καὶ [p]κηδεμόνας, καὶ τοῖς φιλτάτοις παρατιθεμένους, καὶ παρακαλοῦντας ἐπικουρεῖν αὐτοῖς, καί τινας μὲν ἀποθνήσκουσι τοῖς τέκνοις συναποθνήσκειν. Τῶν δὲ τέκνων οὕτως ἀγαπωμένων κατὰ τὸ αὐθαίρετον, ἀναγκαῖον καὶ τοὺς γονεῖς, καὶ τοὺς ἀδελφοὺς, καὶ τὴν τοῦ λέχους κοινωνὸν, καὶ τοὺς συγγενεῖς, καὶ
[II.252] τοὺς ἄλλους οἰκείους καὶ πολίτας, ὡς δι' αὐτοὺς φιλίας τυγχάνειν· ἔχειν γὰρ ἐκ φύσεως ἡμᾶς καὶ πρὸς τούτους τινὰς [q]οἰκειότητας· φιλάλληλον γὰρ εἶναι καὶ κοινωνικὸν ζῶον τὸν ἄνθρωπον. Εἰ δὲ τῶν φιλιῶν τὰς μὲν εἶναι πόρρω συμβέβηκε, τὰς δὲ προσεχεῖς ἡμῖν, οὐθὲν πρὸς ἔπος· πᾶσαν γὰρ δι' [r]αὐτὴν αἱρετὴν ὑπάρχειν, καὶ μὴ μόνον διὰ χρείας. Εἰ δὲ πρὸς τοὺς πολίτας φιλίαν δι' αὐτὴν αἱρετὴν, ἀναγ-

[j] γεναμένοις] γιναμένοις A. γειν. Heeren.

[k] διὰ τὰς χρείας] διὰ τὴν χρείαν A.

[l] Post θηριώδη turbata omnia videntur in codd. V. A. E. P. sequuntur enim quæ in editis leguntur infra p. 188, 10. ed. Cant. καὶ περὶ τὴν κτῆσιν etc. Verum oscitantiæ hæc librariorum debentur, qui transpositione paginarum facta, quæ illuc sequuntur huc traxerunt, et quæ hic sequi debuissent post illa rejecerunt, certissimumque inde argumentum duci potest codd. V. A. E. F. (non vero P. in quo verus ordo servatus est;) ex eodem fonte fluxisse. HEEREN. In marg. A. hæc scripta sunt manu, ni fallor, Hœschelii: " † huc inserenda qr̃e " pag. ab hac tertia usque ad " notam) ."

[m] κατὰ τὴν ἑαυτὴν] μετὰ τὴν ἑαυτοῦ V. A. P.

[n] καὶ τουναντίον] ἢ τοὐναντίον V. A.

[o] γοῦν] οὖν A.

[p] κηδεμόνας] κηδαιμόνας A.

[q] οἰκοιότητας] οἰκειότητας V. A.

[r] αὐτὴν ὑπάρχειν] αὐτὴν ἀρετὴν δ' ὑπάρχειν V. A. αἱρετὴν Heeren.

καῖον εἶναι καὶ τὴν πρὸς ὁμοέθνεις, καὶ [s]ὁμοφύλους, ὥστε καὶ τὴν πρὸς πάντας ἀνθρώπους. Καὶ γὰρ δὴ πάντας τοὺς σώζοντας οὕτως ἔχειν πρὸς τοὺς πλησίον, ὥστε μὴ [t]κατὰ χρήσεις, ἀλλὰ κατὰ τὸ διαυθαίρετον τὰ πλεῖστα δρᾶν. Τίνα γὰρ [u]οὐκ ἂν ἐξελέσθαι θεασάμενον ἄνθρωπον p. 186.
ὑπὸ θηρίου καταδυναστευόμενον, εἰ δύναιτο; τίνα δ' οὐκ ἂν ὁδὸν [x]πλανωμένῳ μηνύσειν; τίνα δ' οὐκ [y]ἂν ἐπαρκέσειν ὑπ' ἐνδείας ἀπολλυμένῳ; τίνα δ' οὐκ ἂν [z]ἐπ' ἐρημίας ἀνύδρου νάμασι περιτυχόντα γνωρίσμασι διαδηλώσειν τοῖς τὴν αὐτὴν ὁδὸν βαδίζουσι; [a]τίνα δ' οὐ τῆς μετὰ τὸν βίον εὐφημίας πολὺν ποιεῖσθαι λόγον; τίνα δ' οὐκ ἀποστυγεῖν τὰς τοιαύτας φωνὰς, ὡς παρὰ τὴν ἀνθρωπίνην [b]οὔσας φύσιν,

[c]Ἐμοῦ θανόντος γαῖα [d]μιχθήτω πυρί.
[II.254] Οὐθὲν μέλει μοι, τἀμὰ γὰρ καλῶς [c]ἔχει.

Φανερὸν οὖν ὅτι πρὸς πάντας ἐστὶν ἡμῖν εὔνοια φυσικὴ καὶ φιλία, τὸ [f]διαυθαίρετον ἐμφαίνουσα καὶ τὸ κατὰ λόγον.

[g]Ἓν γὰρ ἀνδρῶν ἓν θεῶν γένος, ἐκ
μιᾶς δὲ πνέομεν
γαστρὸς ἀμφότεροι [g],

[s] ὁμοφίλους] ὁμοφύλους A.

[t] τὰς πράξεις] κατὰ χρήσεις Heeren.

[u] Post οὐκ add. ἂν V. A.

[x] πλανωμένῳ] πλαζομένῳ A.

[y] ἀθαρκεύσειν pro ἂν ἐπαρκέσειν A.

[z] ἐπ' ἐρημίαν ἀνίδρου νάματι τυχόντα] ἐπ' ἐρημίας ἀνύδρου νάμασι περιτυχόντα V. A.

[a] τινὰ] τί A.

[b] οὔσας] οὖσαν A.

[c] Putantur versus hi esse Euripidis, atque a Barnesio, nulla tamen certa auctoritate, inter fragmenta ex incertis fabulis poëtæ relati sunt, ed. Lips. II. p. 497. Primum versum citant Dio Cass. LVIII. c. 23. p. 636. et Suetonius in Ner. c. 38. alludit vero ad eum Seneca de Clem. II. 2. nusquam tamen poëtæ nomine addito. Alterum versum Stob. solus servavit. HEEREN.

[d] μιχθῆ τῷ] μιχθήτω V. μισθήτω A.

[c] ἔχειν] ἔχει V. A.

[f] τ' αὐθαίρετον] διαυθαίρετον V. διαφθαίρετον A.

[g] Sunt verba Pindari Nem. VI. 1. Ceterum, quem scriptorem Stobæus hic ante oculos habuerit, miror. Plutarchi fere ingenium redolent quæ hic legimus,

τῆς [h] φύσεως. Ἐπεὶ δὴ κοινή τις ἡμῖν ὑπάρχει φιλανθρωπία, πολὺ μᾶλλον πρὸς τοὺς ἐν συνηθείᾳ φίλους τὸ διαυθαίρετον φανερώτερον· [i] εἰ δ' ὁ φίλος δι' αὑτὸν [k] αἱρετὸς, καὶ ἡ φιλία, καὶ ἡ εὔνοια, καὶ [l] ἡ παρὰ πάντων τῶν τοῦ βίου κοινωνούντων, καὶ παρὰ τῶν πλείστων ἀνθρώπων, ὥστε καὶ τὸν ἔπαινον εἶναι δι' αὑτὸν αἱρετὸν, οἰκειοῦσθαι γὰρ ἡμᾶς πρὸς τοὺς ἐπαινοῦντας. Εἰ δὲ ὁ ἔπαινος δι' ἑαυτὸν
[II.256] αἱρετὸς, καὶ ἡ [m] εὐδοξία· καὶ γὰρ οὐδὲν ἕτερον τὴν εὐδοξίαν κατὰ τὴν ὑπογραφὴν παρειλήφαμεν, εἰ μὴ [n] τὸν παρὰ πολλῶν ἔπαινον· [o] ὥστε ταύτῃ μὲν τὰ λεγόμενα τῶν ἀγαθῶν ἔξω ὅτι [p] διαυθαίρετα πέφυκεν ἐπιδεδεῖχθαι σαφῶς· πῶς οὖν οὐ πολὺ μᾶλλον τὰ περὶ ἡμᾶς καὶ ἐν ἡμῖν; λέγω δὴ τὰ περὶ σῶμά τε καὶ ψυχήν. Εἰ γὰρ ὁ ἄνθρωπος δι' [q] αὑτὸν αἱρετὸς, καὶ τὰ μέρη τοῦ ἀνθρώπου δι' αὑτὰ ἂν εἴη αἱρετά[r]. Μέρη δ' ἐστὶν ἀνθρώπου [s] ὁλοσχερέστατα σῶμα

certe ex ipsius Aristotelis scriptis petita esse non posse facile quilibet concedet, in iis vel mediocriter versatus. Verum ex Theophrasti libro de Felicitate maximam partem hausta esse, vix dubito. Consentit enim Stobæus plerumque non in singulis modo locis, sed omni ordine disputationis cum Cicerone de Fin. l. V. Cicero autem se ibi Theophrastum maxime secutum esse, ipse profitetur, c. 5. HEEREN.

h φύσεως] πίστεως V. A. In marg. A. habet, manu f. Hœschelii, lib. edit. φύσεως.

i ὁ δὲ φίλος] εἰδ' ὁ φίλος V. A.

k αἱρετὸν] αἱρετὸς Heeren.

l Ante παρὰ add. ἡ V. A.

m ἐνδέξια et ἐκδεξίαν] εὐδοξία et εὐδοξίαν V. A.

n παρὰ τὸν] τὸν παρὰ τῶν V. A.

o Corrupte legitur ap. Cant. ὥστε ταύτην μὲν τὰ λεγόμενα τῶν ἀγαθῶν, ἐξ ὧνὅτι δεῖ αὐθαίρετα πέφυκεν, ἐπιδεδείχθαι [–εῖχθαι A.] σαφῶς, πῶς οὖν etc. Sic quoque codd. Rescripsi: ὥστ' εἰ ταύτῃ μὲν τὰ λεγόμενα τῶν ἀγαθῶν ἔξω, ὅτι δὴ αὐθαίρετα πέφυκεν, ἐπιδέδεικται σαφῶς, πῶς οὖν etc. *Si bona quæ* τὰ ἔξω *vel* τὰ ἐκτὸς *dicuntur* (hæc enim apud Peripateticos unum bonorum genus constituisse, nemo ignorat,) *per se ipsa expetenda esse ostensum est, quanto magis bona interna?* HEEREN. Vertit Cant. *Cum igitur ex his bona externa per se expetenda esse satis constet, multo magis* etc.

p δεῖ αὐθαίρετα] Non δὴ αὐθαίρετα cum Heerenio sed διαυθαίρετα leg. ut supra v. 16.

q αὑτὸν] ἑαυτὸν A.

r Eadem hæc totidem fere verbis explicantem vide Ciceronem de Fin. V. 13. *Nam cui proposita sit conservatio sui, necesse est, huic partes quoque sui caras esse, carioresque, quo perfectiores sint, et*

καὶ ψυχή. Ὥστε καὶ τὸ σῶμα δι' [t]αὐτὸ [u]ἂν αἱρετὸν εἴη. [x]Πῶς γὰρ [y]τὸ μὲν [z]τοῦ πλησίον σῶμα δι' [a]αὐτὸ αἱρετόν ἐστιν ἡμῖν, τὸ δ' ἡμέτερον οὐκ ἔτι; Ἢ πῶς ὁ μὲν [b]πλησίον ἄνθρωπος δι' αὐτόν ἐστιν [c]αἱρετὸς, οὐχὶ δὲ καὶ [d]ἕκαστος ἡμῶν αὐτῷ δι' αὐτὸν αἱρετός; Ἢ πῶς τοῦτο μὲν, οὐχὶ δὲ καὶ τὰ μέρη τὰ τοῦ σώματος, καὶ αἱ τῶν μερῶν [e]ἀρεταὶ καὶ αἱ τοῦ ὅλου σώματος ἂν εἶεν αἱρεταί; Ὥστε δι' αὐτὰ αἱρετὰ ἡμῖν [f]εἶναι τὴν ὑγίειαν, τὴν ἰσχὺν, τὸ κάλλος, τὴν
[II.258] [g]ποδώκειαν, τὴν [h]εὐεξίαν, τὴν εὐαισθησίαν, καθόλου πάσας ὡς ἔπος [i]εἰπεῖν . . . Καὶ γὰρ [k]ἄλλως οὐδεὶς ἂν εὖ φρονῶν δέξαιτο ἄμορφος καὶ λελωβημένος εἶναι κατὰ [l]τὸ εἶδος, κἂν εἰ [m]μηδεμία μέλλοι [n]δυσχρηστία τὸ παράπαν ἑπακολουθεῖν [o]διὰ τὴν τοιαύτην εἰδέχθειαν. Ὥστε καὶ δίχα τῆς δυσχρηστίας εὔλογον φυγὴν φαίνεσθαι τοῦ αἴσχους. Εἰ δὲ δι' αὐτὸ φευκτόν ἐστι τὸ αἶσχος, καὶ τὸ κάλλος οὐ μόνον διὰ τὴν χρείαν αἱρετὸν, ἀλλὰ καὶ δι' αὐτό· ὅτι γὰρ ἐξ αὐτοῦ προσκλητικόν [p]τι ἔχει τὸ κάλλος, ἐμφανές· πάντας

magis in suo genere laudabiles etc. HEEREN.

s ὁλοσχερέστερα] ὁλοσχερέστατα V. A.

t αὐτὸ] αὐτὸν A.

u ἂν εἴη αἱρετὸν] ἂν αἱρετὸν εἴη V. A.

x Καὶ γὰρ] πῶς γὰρ V. A.

y τὸ] τοῦ A. Cant.

z τοῦ πλησίον] τὸ πλησίον V.

a αὐτὸν] αὐτὸ A.

b πλησίον] ὁ πλησίον A.

c αἱρετὸν] —τὸς A.

d ἕκαστον] ἕκαστος V.

e αἱρεταὶ] ἀρεταὶ Heeren. post Cant. in marg. αἱρετᾶὶ A. hic et infra.

ib. Cicero l. c. *Quibus expositis, facilis est conjectura ea maxime esse expetenda ex nostris, quæ plurimum habent dignitatis; ut optimæ cujusque partis, quæ per se expetatur, virtus expetenda sit maxime.* HEEREN.

f εἶναι] εἶεν V.

g ποδωκίαν] ποδώκειαν V. A.

h εὐξίαν] εὐεξίαν V. A.

i Post εἰπεῖν excidisse videtur ἀρετὰς, ad quod πάσας referendum sit. HEEREN.

k ἄλλως] ἄλλος V. A.

l κατὰ εἶδος] κατὰ τὸ εἶδος V. A.

m μηδεμία] μηδὲ μίαν A.

n εὐχαριστία] δυσχρηστίαν sic V. ἀχρηστία Cant. in marg.

o δι' αὐτὴν] διὰ τὴν V. A.

p τι, quod exciderat, supplevi. Eadem hæc de pulchritudine disputantem cf. Ciceronem l. c. cap.

γοῦν φυσικῶς οἰκειοῦσθαι τοῖς καλοῖς χωρὶς πάσης χρείας, καὶ γὰρ πρὸς τὸ εὖ ποιεῖν αὐτοὺς καὶ εὐεργετεῖν ἑτοίμως ἔχειν, ὅθεν [q]δὴ καὶ δοκεῖν εὐνοίας εἶναι παρασκευαστικόν· ὥστε καὶ κατὰ τοῦτον τὸν λόγον τὸ μὲν κάλλος τῶν δι' αὐτὸ αἱρετῶν ὑπάρχειν· τὸ δὲ αἶσχος, τῶν δι' αὐτὸ φευκτῶν. Τὸν δ' αὐτὸν λόγον καὶ περὶ ὑγιείας εἶναι καὶ νόσου, καὶ ἰσχύος καὶ ἀσθενείας, καὶ ποδωκείας καὶ βραδυτῆτος, καὶ αἰσθήσεως καὶ πηρώσεως. Ὥστ' εἰ καὶ τὰ [r]σωματικὰ τῶν ἀγαθῶν δέδεικται [s]διαυθαίρετα, καὶ τἀναντία τούτων κακὰ δι' αὐτὰ φευκτά, καὶ τὰ τῆς ψυχῆς ἀναγκαῖον μέρη
[II.260] διαυθαίρετα ὑπάρχειν, καὶ τὰς ἀρετὰς αὐτῶν καὶ τῆς ὅλης ψυχῆς. Τὴν γὰρ εἴσοδον ἡ ἀρετὴ λαβοῦσα, καθάπερ ὑπεδείξαμεν, ἀπὸ τῶν σωματικῶν καὶ τῶν ἔξωθεν ἀγαθῶν, καὶ πρὸς [t]ἑαυτὴν ἐπιστρέψασα [u]καὶ θεασαμένη διότι καὶ αὕτη τῶν κατὰ φύσιν πολὺ μᾶλλον τῶν τοῦ σώματος ἀρετῶν ᾠκειώθη πρὸς ἑαυτήν, ὡς πρὸς δι' αὐτὴν αἱρετήν, καὶ μᾶλλον p. 187.
γε πρὸς ἑαυτήν, ἢ πρὸς τὰς τοῦ σώματος ἀρετάς· ὥστε

17. *Et, quoniam hæc deducuntur de corpore, quid est cur non recte pulchritudo etiam ipsa propter se expetenda ducatur?* HEEREN.

q δὴ καὶ] δεῖ καὶ V.

r σώματα κατὰ] σωματικὰ V. A. Cant. in marg.

s καὶ αὐθαίρετα] Leg. διαυθαίρετα non εἶναι αὐθαίρετα cum Heerenio, ut recte mox Cant. ubi Heeren. dedit δὴ αὐθαίρετα.

t ἑαυτὸν] ἑαυτὴν V. A.

u καὶ θεασαμένη] Sensus universi loci non obscurus est, idem enim paucis tradit Stobæus, quod Cicero ll. cc. copiosius exponit, *vim homini insitam, qua naturæ suæ convenientia appetit, primum cerni in pueris in iis quæ ad corporis sanitatem pertinent, postea vero quoque in iis quæ animum spectant; animi vero virtutem longe præstare corporis, etsi utraque per se expetatur;* verba procul dubio corrupta sunt. Legendum suspicor: καὶ θεάσαμένη διότι **αὐτῇ τὰ κατὰ ψυχὴν** πολὺ μᾶλλον τῶν τοῦ σώματος **ἀγαθῶν ᾠκειώθη, οὕτως ᾠκειώθη** πρὸς ἑαυτήν, ὡς δι' αὐτὴν αἱρετὴ, καὶ μᾶλλόν γε πρὸς ἑαυτὴν ἢ πρὸς τὰς τοῦ σώματος ἀρετάς. Confirmant autem hanc emendationem quæ infra sequuntur: Ἐπειδὴ γὰρ πρὸς ἑαυτὴν μάλιστα πάντων ᾠκειῶσθαι ἔφαμεν τὴν ἀρετὴν, ubi id ipsum quod restituimus a se dictum esse ait. In sequentibus deleto πρὸς, male repetito, legendum: ὡς δι' αὐτὴν αἱρετὴ, *utpote per se expetenda.* HEEREN. Sed. v. Madvig. ad Cic. de Fin. V. 12.

παρὰ πολὺ τιμιωτέρας εἶναι [x]τὰς τῆς ψυχῆς ἀρετάς. Οὐ μὴν ἀλλὰ καὶ ἀπὸ τῶν προεφωδευμένων τοῦτ' ἄν τις [y]ἐπι-
[II.262] λογίσαιτο. [z]Εἰ γὰρ ἡ τοῦ σώματος ὑγίεια αἱρετὴ δι' αὐτὴν, καὶ πολὺ μᾶλλον ἡ τῆς ψυχῆς· [a]ὑγίεια δὲ ψυχῆς σωφροσύνη, τῆς σφοδρότητος ἀπολύουσα τῶν παθῶν ἡμᾶς. [b]Καὶ εἰ ἡ ἰσχὺς [c]ἡ σωματικὴ τῶν ἀγαθῶν ἐστὶ, πολὺ μᾶλλον [d]ἡ ψυχικὴ δι' αὐτὴν ἂν εἴη αἱρετὴ καὶ ἀγαθόν. Ψυχῆς δ' ἔστιν ἰσχὺς ἀνδρεία καὶ καρτερία, εὐρώστους τὰς ψυχὰς κατασκευάζουσα· διόπερ ἂν εἴη καὶ ἡ ἀνδρεία δι' [e]αὐτὴν αἱρετὴ καὶ ἡ καρτερία. Κατὰ τὸ ἀνάλογον [f]εἰ τὸ κάλλος τὸ σωματικὸν [g]δι' αὐτὸ αἱρετὸν, καὶ τὸ τῆς ψυχῆς κάλλος εἴη ἂν δι' αὐτὸ αἱρετὸν, κάλλος δὲ ψυχῆς ἐστιν ἡ δικαιοσύνη, τὸ γὰρ μηθὲν ἀδικεῖν [h]καὶ καλοὺς ἡμᾶς ποιεῖ.

8

Ὅτι τὰ τρία γένη τῶν ἀγαθῶν, τὰ περὶ σώματα, τὰ περὶ ψυχὴν, τὰ ἐκτὸς, ἀναλογίαν πρὸς ἀλλήλα ἔχει, καίτοι διαφέροντα.

Τὸν παραπλήσιον δ' εἶναι λόγον καὶ ἐπὶ τῶν ἀρετῶν, διὰ τὸ δοκεῖν τὰ τρία γένη τῶν ἀγαθῶν ἐκ πλείστης διαφορᾶς [a]τῆς ἐν ἀλλήλοις ὅμως ἔχειν τινὰ πρὸς τὸν λόγον

[x] τῆς] τὰς τῆς Heeren.

[y] ἐπιλογήσαιτο] ἐπιλογίσαιτο V. A. ἀπολογίσαιτο ed. Heeren.

[z] Ἡ γὰρ] Εἰ γὰρ V. A.

[a] ὑγεία δὲ ψυχῆς om. A.

[b] Post Καὶ add. εἰ V. A.

ib. Καὶ εἰ ἡ ἰσχὺς ἡ σωματικὴ edidi pro καὶ ἡ ἰσχὺς ἢ σώματι ap. Cant. et in codd. nisi quod hi supplent εἰ. Sic quoque in proximis ἡ ψυχικὴ, quod jam in marg. annotaverat Cant. edidi pro ἡ ψυχῆς καί. HEEREN.

[c] ἢ σώματι] ἡ σωματικὴ Heeren.

[d] ἢ ψυχῇ καὶ A. ἡ ψυχικὴ Heeren. Mox ἀνδρεία A.

[e] αὐτὴν] ἑαυτὴν V. A.

[f] εἰ τὸ] εἰς τὸ V. A.

[g] δι' αὐτὸν] δι' ἑαυτοῦ τὸ αἱρετὸν V. A. δι' αὐτὸ P.

ib. Bis habet Cant. δι' αὐτὸν, pro quo rescripsi δι' αὐτὸ, quod ultimo loco confirmant codd. V. A. qui antea δι' ἑαυτοῦ. HEEREN.

[h] καὶ om. Heeren. Senarius est τὸ μηδὲν ἀδικεῖν καὶ καλοὺς ἡμᾶς ποιεῖ, quem Menandro tribuit Sext. Empir. Pyrh. I. 108.

8.

[a] τοῖς] τῆς V. A.

[b] ἀναλογίαν, ἣν καὶ [c] δὴ πειράσομαι δηλῶσαι σαφῶς. Ὅπερ μὲν οὖν ἐν σώματί φαμεν ὑγείαν, τοῦτ' ἐν τῇ ψυχῇ καλεῖ-
[II.264] σθαι σωφροσύνην, [d] ἐν δὲ τοῖς ἐκτὸς πλοῦτον, [e] περιστέλλει γὰρ τὰ πολλὰ τῶν ἁμαρτημάτων. [f] Κατὰ τοῦτο δὲ, ὅπερ ἐν τῷ σώματι ἰσχὺν, τοῦτ' ἐν τῇ ψυχῇ τὴν [g] ἀνδρείαν, ἐν δὲ τοῖς ἐκτὸς τὴν ἀρχήν· [h] ὅπερ δ' ἐν τῷ σώματι [i] εὐαισθησίαν, τοῦτ' ἐν [j] τῇ ψυχῇ φρόνησιν, ἐν δὲ τοῖς ἐκτὸς εὐτυχίαν· ὅ τι δ' ἐν σώματι κάλλος, τοῦτ' ἐν [k] ψυχῇ δικαιοσύνην, ἐν δὲ τοῖς ἐκτὸς [l] φιλίαν· ὥστε τρία γένη τῶν ἀγαθῶν [m] διαυθαίρετα ὑπάρχειν, τά τε περὶ ψυχὴν, καὶ τὰ περὶ τὸ σῶμα, καὶ τὰ ἐκτός· καὶ [n] μακρῷ αἱρετώτερα τὰ περὶ ψυχὴν [o] τῶν ἄλλων, ἐπειδὴ καὶ ἡγεμονικώτερον καὶ αἱρετώτερον ψυχὴ σώματος. Δῆλον οὖν [p] ὅτι τῶν τοῦ σώματος ἀρετῶν καὶ τῶν ἐκτὸς αἱ τῆς ψυχῆς ὑπάρχουσιν αἱρετώτεραι, ὑπεροχὴν ὁμοίως φερόμεναι· στοχάζονται [q] δὲ καὶ τῶν ἄλλων πρῶτον μὲν ὡς διαυθαιρέτων, ἔπειθ' ὡς χρησίμων πρός τε [r] τὸν πολιτικὸν καὶ τὸν [s] κοινωνικὸν βίον, καὶ [t] δὴ καὶ πρὸς τὸν θεωρητικόν. Παραμετρεῖσθαι γὰρ τὸν βίον ταῖς πολιτικαῖς καὶ ταῖς κοινωνικαῖς πράξεσι καὶ ταῖς θεωρητικαῖς. Οὐ γὰρ φίλαυτον εἶναι τὴν ἀρετὴν [u] κατὰ τὴν αἵρεσιν ταύτην, ἀλλὰ κοινωνικὴν καὶ πολιτικήν. Τούτοις

[b] Post ἀναλογίαν add. ἣν καὶ δὴ πειράσομαι (πειράσωμαι A.) δηλῶσαι σαφῶς. Ὅπερ μὲν ἐν σώματι φαμὲν ὑγείαν, τοῦτ' V. A. τῇ ante ψυχῇ om. A.

[c] δὴ om. Heeren. qui mox addit οὖν.

[d] ἐν δὲ] εἰ δὲ V. A.

[e] περιστέλλειν] -λει V. A.

[f] Καὶ] κατὰ ed. Heeren.

[g] ἀνδρείαν] ἀνδρεῖαν A. qui supra om. τῇ.

[h] Ὅπερ ἐν] ὅπερ δ' ἐν V. A.

[i] εὐαισθησίαν] εὐαισθησία A.

[j] τῇ om. A.

[k] ψυχῇ] τῇ ψυχῇ Heeren.

[l] τὴν φιλίαν] τὴν om. Heeren.

[m] διαυθαίρετα, *per se eligenda*, rescripsi pro δεῖ αὐθαίρετα. HEEREN.

[n] μακροαιρ.] μακρῷ αἱρ. V. A.

[o] Post τῶν add. ἄλλων V. A. P.

[p] ὅτι τῶν] τι τῶν V. A.

[q] δὲ, ut nexus constaret, supplevi. HEEREN.

[r] τὸν πολιτικὸν] τῶν πολιτικῶν V. A. sed A. habet τὸν in marg.

[s] κοινωνικὸν] κοινὸν A.

[t] δὴ πρὸς] δὴ καὶ πρὸς V. A.

[u] καὶ τὴν] κατὰ τὴν V. A. Cant. in marg.

[II.266] δ' [x]ἀκολούθως καὶ τὰς μονὰς τὰς ἐν τῷ ζῆν παραμετρεῖσθαι ταῖς [y]κοινωνικαῖς καὶ πολιτικαῖς καὶ θεωρητικαῖς πράξεσι, καὶ [z]τὰς ἀφόδους [a]ἐκ τῶν ἐναντίων. [b]Ἐπειδὴ γὰρ πρὸς ἑαυτὴν ᾠκειῶσθαι μάλιστα πάντων ἔφαμεν τὴν ἀρετὴν, δῆλον ὡς καὶ πρὸς τὴν τῆς ἀληθείας ἐπιστήμην ἀναγκαίως ᾠκειῶσθαι φυσικῶς αὐτήν· ὥστε καὶ τοῖς σοφοῖς εὔλογον ἐξαγωγὴν ἐκ [c]τοῦ ζῆν θεωρεῖσθαι, καὶ τοῖς φαύλοις εὔλογον ἐν τῷ ζῆν [d]μονήν· τοῖς γὰρ ἐκτελεῖν [e]δυναμένοις τὰς κοινωνικὰς καὶ πολιτικὰς πράξεις καὶ θεωρητικὰς καὶ τῶν σπουδαίων καὶ τῶν φαύλων, εὔλογον ἐν τῷ ζῆν [f]εἶναι μονήν· τοῖς δὲ μὴ δυναμένοις εὔλογον ἐκ τοῦ ζῆν ἀπαλλαγήν. Ἐπεὶ δὴ μεγάλη τῆς ἀρετῆς ἐστὶν ὑπεροχὴ κατά τε τὸ ποιητικὸν, καὶ [g]κατὰ τὸ [h]διαυθαίρετον παρὰ τὰ σωματικὰ καὶ τὰ ἔξωθεν ἀγαθὰ, κατὰ τὸν λόγον, οὐκ εἶναι συμπλήρωμα τὸ τέλος ἐκ τῶν [i]σωματικῶν καὶ ἐκ τῶν ἔξω-

[II.268] θεν ἀγαθῶν, οὐδὲ τὸ τυγχάνειν αὐτῶν, ἀλλὰ μᾶλλον τὸ κατ' ἀρετὴν ζῆν ἐν τοῖς περὶ σῶμα καὶ τοῖς ἔξωθεν ἀγαθοῖς [k]ἢ πᾶσιν ἢ τοῖς πλείστοις καὶ κυριωτάτοις. [l]Ὅθεν ἐνέργειαν εἶναι τὴν εὐδαιμονίαν κατ' ἀρετὴν ἐν πράξεσι προηγουμέναις κατ' εὐχήν· τὰ δὲ περὶ σῶμα καὶ τὰ ἔξωθεν ἀγαθὰ ποιητικὰ λέγεσθαι τῆς εὐδαιμονίας, τῷ [m]συμβάλ-

x ἀκόλουθα] ἀκολούθως V. A. Mox μοναστὰς A.

y Post κοινωνικαῖς add. καὶ πολιτικαῖς καὶ θεωρητικαῖς etc. V. A. P.

z τὰς ἀφόδις] ταῖς ἀφόδοις V. A.

a ἐκ] καὶ A.

b Ἐπεὶ δὲ] ἐπειδὴ V. A.

c τοῦ τὴν] τοῦ ζῆν V. A. P. Cant. in marg.

d μόνον] μόνην A.

e Post δυναμένοις add. τὰς κοινωνικὰς καὶ πολιτικὰς πράξεις καὶ θεωρητικὰς, καὶ τῶν σπουδαίων καὶ τῶν φαύλων εὔλογον ἐν τῷ ζῆν [εἶναι μονήν· τοῖς (τὴν P.) δὲ μὴ δυναμένοις (–μένην P.) εὔλογον ἐκ τοῦ ζῆν om. A.] ἀπαλλαγὴν V. A. P.

f εἶναι—ἐκ τοῦ om. A.

g κατὰ ante τὸ om. A.

h ἀεὶ αὐθαίρετον] Reposui διαυθαίρετον.

i Post σωματικῶν add. καὶ ἐκ τῶν ἔξωθεν ἀγαθῶν, οὐδὲ τὸ τυγχάνειν αὐτῶν· ἀλλὰ μᾶλλον τὸ κατ' ἀρετὴν ζῆν ἐν τοῖς περὶ σῶμα καὶ τοῖς ἔξωθεν etc. V. A. P.

k καὶ πᾶσι καὶ] ἢ πᾶσιν ἢ V. A.

l Ὅθεν] ὅθεν καὶ Heeren.

m συμβάλεσθαι] συμβάλλεσθαι V. A.

λεσθαί τι παρόντα· τοὺς δὲ νομίζοντας αὐτὰ συμπληροῦν τὴν εὐδαιμονίαν ἀγνοεῖν, ὅτι ἡ μὲν εὐδαιμονία βίος ἐστὶν, ὁ δὲ βίος ἐκ πράξεως συμπεπλήρωται. Τῶν δὲ σωματικῶν [n]καὶ τῶν ἐκτὸς ἀγαθῶν οὐδὲν οὔτε [o]πρᾶξιν εἶναι καθ' p. 188.
ἑαυτὸ, οὔθ' ὅλως ἐνέργειαν. Τούτων δὴ τοῦτον [p]τὸν λόγον ἐχόντων ἥ τε εὐεργεσία συστήσεται, καὶ ἡ χάρις, καὶ ἡ εὐχαριστία, καὶ φιλανθρωπία, [q]καὶ φιλοτεκνία, καὶ φιλαδελφία, καὶ πρὸς ταύταις ὅ τε φιλόπατρις, καὶ φιλοπάτωρ, καὶ φιλοικεῖος, καὶ κατὰ τὸ προσῆκον ἥτ' εὐκοινωνησία καὶ ἡ εὔνοια, καὶ ἡ φιλία, καὶ ἡ ἰσότης, καὶ ἡ δικαιοσύνη, καὶ πᾶς ὁ τῶν ἀρετῶν θεῖος χορὸς, οὗ τοὺς [r]κατολιγωρήσαντας ἁμαρτάνειν φανερῶς περί τε τὰς αἱρέσεις τῶν ἀγαθῶν, καὶ τὰς φυγὰς τῶν κακῶν, καὶ περὶ τὴν κτῆσιν καὶ περὶ τὴν χρῆσιν τῶν ἀγαθῶν, ὁμολογουμένως τε διασφάλλεσθαι περὶ μὲν τὴν αἵρεσιν παρὰ τὴν κρίσιν, περὶ δὲ τὴν κτῆσιν παρὰ
[II.270] τὸν τρόπον, περὶ δὲ τὴν χρῆσιν παρὰ τὴν ἀμαθίαν. Παρὰ μὲν οὖν τὴν [s]αἵρεσιν ἁμαρτάνειν, ὅταν τὸ μηδ' ὅλως ὂν ἀγαθὸν αἱρῶνται, ἢ τὸ ἧττον σφοδρότερον [t]ἢ δεῖ. Τοῦτο δὲ περὶ τοὺς πλείστους ὑπάρχειν, τὸ μὲν ἡδὺ [u]τοῦ συμφέροντος, τὸ δὲ συμφέρον τοῦ καλοῦ προκρίνοντας, καὶ τῆς ὁρμῆς ἀμέτρως [x]προεκφοιτῶντας. Παρὰ δὲ τὴν κτῆσιν, ὅταν μήτε ὅθεν, μήθ' ὅπως, μήτ' ἐφ' ὅσον χρὴ περιποιεῖσθαι, ταῦτα προδιαλάβωσι. Παρὰ δὲ τὴν χρῆσιν, ἐπεὶ πᾶσα χρῆσις [y]ἢ πρὸς [z]αὐτὴν ἔχει τὴν ἀναφοράν, ἢ πρὸς ἕτερον, [a]ἐν μὲν

[n] καὶ τῶν] ἢ τῶν V. A.
[o] πρᾶξιν] πρᾶξις A. πράξεις P.
[p] λόγον] τὸν λόγον V. A.
[q] Ante φιλοτεκν. add. καὶ V. P. A.
[r] κατολιγορρῆ] κατολιγωρήσαντας V. A.
[s] χρῆσιν] αἵρεσιν Heerenius post Canterum in marg.
[t] ἤδη] ἤδει V. A.
[u] τοῦ] τὸ A.
[x] προεκφοιτῶντας] προεκφυτῶντας sic V.
[y] καὶ] ἢ V. A. Cant. in marg.
[z] αὐτὸν] αὐτὴν Heeren.
[a] ἐκ μὲν] εἰ μὲν V. A. ἐν μὲν Heeren.

[b]τῇ πρὸς ἑαυτὴν, ὅταν μὴ [c]προσφέρωνται τοῖς πράγμασι συμμέτρως· ἐν δὲ τῇ πρὸς ἕτερον, ὅταν τὸ κατ' ἀξίαν μὴ φυλάττωσι τοῦ πρέποντος. Εἰ δὲ περὶ αὐτὰ ἁμαρτάνουσιν οἱ φαῦλοι, περὶ τὰ ἐναντία πάντως [d]κατορθοῦσιν οἱ σπουδαῖοι, καθηγεμόνα τῶν πράξεων ἔχοντες τὴν ἀρετήν. Πάσαις γοῦν ὡς ἔοικε ταῖς ἀρεταῖς κοινὸν ὑπάρχειν τό τε κρίνειν, καὶ [e]προαιρεῖσθαι, καὶ [f]πράττειν. Οὔτε γὰρ ἄκριτον, οὔτ' ἀπροαίρετον, οὔτ' ἄπρακτον εἶναι τὴν ἀρετὴν, ἀλλὰ τὴν μὲν φρόνησιν ἐξάρχειν, ὥσπερ [g]ἡγεμονικὴν οὖσαν, καὶ τῶν ὑφ' [h]ἑαυτὴν καὶ τῶν ὑπὸ τὰς ἄλλας αἱρετῶν καὶ φευκτῶν, καὶ πρακτῶν καὶ οὐ πρακτῶν, καὶ τῶν μᾶλλον
[II.272] καὶ ἧττον· τῶν δ' ἄλλων ἑκάστην ἀποτέμνεσθαι μόνα τὰ καθ' [i]ἑαυτήν.

9 Περὶ ἀρετῆς.

Ἀρετὴν δ' [a]ὀνομάζεσθαι τὴν ἀρίστην διάθεσιν, ἢ καθ' ἣν ἄριστα διάκειται τὸ ἔχον. Τοῦτο δ' ἐκ τῆς ἐπαγωγῆς δῆλον· σκυτοτόμου γὰρ ἀρετὴν λέγεσθαι καθ' ἣν ἀποτελεῖν ἄριστον ὑπόδημα δύναται, καὶ οἰκοδόμου, καθ' ἣν ἄριστα διάκειται πρὸς οἰκοδόμησιν οἰκίας καλῆς. Ὅτι μὲν [b]οὖν] τὰ ἄριστα [c]διατιθέναι ἐστὶν [d]ἀρετὴ, ὁμολογούμενόν ἐστι. Δύο δ' [e]ὥσπερ ἀρχὰς τῶν ἀρετῶν ὑπάρχειν, τὸν λόγον καὶ τὸ πάθος· ταῦτα δὲ ὅτε μὲν ἀλλήλοις ὁμονοητικῶς συμφωνεῖν, ὅτε δὲ στασιαστικῶς διαφωνεῖν· τὴν δ' ἀντίταξιν αὐτῶν γίγνεσθαι δι' ἡδονὰς καὶ λύπας. Τὴν μὲν

[b] πρὸς ἑαυτὸν] τῇ πρὸς ἑαυτὴν Heeren.
[c] προσφέρονται] –φέρωνται V.
[d] κατορθῶσιν] κατορθοῦσιν V. A.
[e] τὸ αἱρεῖσθαι] προαιρεῖσθαι V. A.
[f] πράττειν] τὸ πράττειν Heeren.
[g] ἡγεμονικὸν] –νικὴν V. A.
[h] Post ἑαυτῶν add. καὶ τῶν V. A. P.
[i] ἑαυτὴν] αὐτὴν V. A.

9.

[a] ὠνομάσθαι] ὠνομάζεσθαι A. qui infra τοῦ pro τοῦτο.
[b] οὖν nexu postulante supplevi. HEEREN.
[c] Pro διατιθέναι rescripsi sensu passivo διατεθῆναι. HEEREN.
[d] ἀρετὴ] –τὴν A.
[e] ὡς ὑπὲρ] ὥσπερ V. A. P.

οὖν τοῦ λόγου νίκην ἀπὸ τοῦ κράτους παρωνύμως ἐγκρατείαν ἐπωνυμίαν ἔχειν, τὴν δὲ τῶν ἀλόγου, διὰ τὸ [f]τῆς ὁρμῆς ἀπειθὲς, ἀκρασίαν· τὴν δ' ἀμφοῖν ἁρμονίαν καὶ συμφωνίαν, ἀρετήν· τοῦ μὲν ἄγοντος ἐφ' ὃ δεῖ, τοῦ δ' ἑπομένου πειθηνίως.

10 Περὶ αἱρετῶν καὶ φευκτῶν.

Αἱρετὸν δὲ λέγεσθαι, τὸ ὁρμὴν ἐφ' [a]ἑαυτὸ κινοῦν, φευκτὸν δὲ, τὸ [b]ἀφ' αὑτοῦ, ὅταν [c]ὁ λόγος σύμψηφος ᾖ.
[II.274] Καθάπερ γὰρ τὸ βουλητὸν κατὰ τὴν βούλησιν [d]ἔχειν τὴν ἐπωνυμίαν ταύτην, οὕτως καὶ τὸ αἱρετὸν κατὰ τὴν αἵρεσιν. Τὸ δὲ αἱρετὸν καὶ ἀγαθὸν ταυτὸν [e]ἐδόκει τοῖς ἀρχαίοις εἶναι. Τὸ γοῦν ἀγαθὸν ὑπογράφοντες, οὕτως ἀφωρίζοντο· ἀγαθόν ἐστιν οὗ [f]πάντ' ἐφίεται. Τῶν δ' ἀγαθῶν ἔλεγον τὰ μὲν δι' ἡμᾶς αἱρετὰ ὑπάρχειν, τὰ δὲ διὰ τοὺς πλησίον· τῶν δὲ δι' ἡμᾶς τὰ μὲν καλὰ, τὰ δ' ἀναγκαῖα· καλὰ μὲν, τάς τε ἀρετὰς, καὶ τὰς ἐνεργείας τὰς ἀπ' αὐτῶν, φρόνησίν τε, καὶ τὸ φρονεῖν, καὶ δικαιοσύνην καὶ τὸ δικαιοπραγεῖν, καὶ [g]κατὰ τὸ ἀνάλογον ἐπὶ τῶν ἄλλων. Ἀναγκαῖα [h]δὲ, τό τε ζῆν, p. 189.
καὶ τὰ πρὸς τοῦτο συντείνοντα, καὶ τὴν τῶν ποιητικῶν ἔχοντα [i]χώραν, οἷον τό τε σῶμα καὶ τὰ τούτου μέρη καὶ [k]τὰς αὐτῶν [l]καλὰς χρήσεις· καὶ τῶν ἐκτὸς λεγομένων, εὐγένειαν, πλοῦτον, δόξαν, εἰρήνην, ἐλευθερίαν, φιλίαν, τούτων γὰρ ἕκαστον [m]συμβάλλεσθαί τι πρὸς τὴν [n]τῆς ἀρετῆς χρῆσιν.

[f] τῆς deest V.

10.

[a] ἑαυτοῦ] ἑαυτὸ Heeren.
[b] ἀφ' αὑτοῦ] ἐφ' ἑαυτοῦ A.
[c] λόγος] ὁ λόγος V. A.
[d] ἔχειν] ἔχει Heeren.
[e] δοκεῖ] ἐδόκει V. A.
[f] πάντες] πάντ' V. A.
[g] κατὰ τὸν] κατὰ τὸ V. A.
[h] τε] δὲ Heeren.
[i] χωρεῖν] χώραν A.
[k] τὰ αὐτῶν] τὰς αὐτῶν V. A.
[l] καὶ τὰς] καὶ τας A. καλὰς Heeren.
[m] συμβαλέσθαι] συμβάλλεσθαι A.
[n] Ante ἀρετῆς add. τῆς V. A.

11 Ἐκ τίνων ἡ εὐδαιμονία.

[a]Τὴν δ' εὐδαιμονίαν ἐκ τῶν καλῶν γίγνεσθαι καὶ
[II.276] προηγουμένων πράξεων· δι' ὃ καὶ δι' ὅλων εἶναι καλήν,
[b]καθάπερ [c]καὶ τὴν ἐν τοῖς αὐλοῖς ἐνέργειαν δι' ὅλων ἔν- 10
τεχνον. Οὐ γὰρ ἐκβιβάζειν τὴν παράληψιν τῶν ὑλικῶν
τῆς εἰλικρινείας τοῦ καλοῦ τὴν εὐδαιμονίαν, ὡς οὐδὲ τὴν τῆς
ἰατρικῆς ἔντεχνον δι' [d]ὅλων ἐνέργειαν τὴν τῶν ὀργάνων χρῆσιν.
[e]Πᾶσαν μὲν γὰρ πρᾶξιν ἐνέργειαν εἶναί τινα ψυχῆς. Ἐπεὶ
δ' ὁ πράττων συγχρῆταί τισι πρὸς τὴν τελειότητα τῆς [f]προ- 15
θέσεως, μέρη ταῦτα οὐ χρὴ νομίζειν τῆς ἐνεργείας, καίτοιγε
ἐπιζητούσης ἑκατέρας τῶν εἰρημένων ἑκάτερον, οὐ μὴν ὡς
μέρος οὐδὲ ποιητικὸν τῆς τέχνης. Τὰ γὰρ ὧν ἄνευ πράτ-
τειν ὁτιοῦν ἀδύνατον, μέρη τῆς ἐνεργείας λέγειν οὐκ ὀρθόν.
Τὸ μὲν γὰρ μέρος ἐπινοεῖσθαι [g]κατὰ τὸ συμπληρωτικὸν 20
εἶναι τοῦ ὅλου, τὰ δ' ὧν οὐκ ἄνευ, κατὰ τὸ ποιητικόν, [h]τῷ
φέρειν καὶ συνεργεῖν εἰς τὸ τέλος.

12 Πόσα μέρη τοῦ ἀγαθοῦ· καὶ περὶ σκοποῦ.

[a]Διαιρεῖσθαι δὲ τἀγαθὸν εἴς τε τὸ καλὸν καὶ εἰς τὸ συμ- 25
φέρον καὶ εἰς τὸ ἡδύ· καὶ τῶν μὲν κατὰ μέρος πράξεων
τούτους εἶναι σκοπούς· τὸ δ' ἐκ πάντων αὐτῶν, εὐδαιμονίαν.
[II.278] Εὐδαιμονίαν δ' εἶναι χρῆσιν ἀρετῆς τελείας ἐν βίῳ τελείῳ
προηγουμένην, [b]ἢ ζωῆς τελείας ἐνέργειαν κατ' ἀρετήν, [c]ἢ
χρῆσιν ἀρετῆς ἐν τοῖς κατὰ φύσιν ἀνεμπόδιστον. Τὸ δ' αὐτὸ
καὶ τέλος ὑπάρχειν. Εἰ δὲ τὸ μὲν εὐδαιμονεῖν τέλος, ἡ δ' 30
εὐδαιμονία λέγεται σκοπὸς, καὶ ὁ μὲν πλοῦτος ἀγαθὲν,

11.

a Τὴν εὐδ.] Τὴν δ' εὐδ. V. A.

b καθάπερ ἡ] καθαπερεὶ Cant. in marg.

c ἢ τὴν] καὶ τὴν V. A.

d ὅλως] ὅλων V. A. P.

e Πᾶσαν] πᾶσα A.

f προσθέσεως] τῆς προθέσεως V. A.

g καὶ τὸ] κατὰ τὸ V. A. P.

h τῷ φέρειν] τὸ φέρειν V.

12.

a Post Διαιρ. add. δὲ V.

b καὶ ζωῆς] ἢ ζωῆς A.

c καὶ χρῆσιν] ἢ χρῆσιν ἀρετῆς ἐν τοῖς κατὰ φύσιν A. P.

τὸ δὲ πλουτεῖν, ὧν χρὴ, [d]τοῖς μὲν οὕτω διορίζουσι τῆς ἀκριβείας τῶν ὀνομάτων χάριν. Ἀκολουθητέον μέντοι τῇ τῶν ἀρχαίων συνηθείᾳ, καὶ λεκτέον τέλος εἶναι οὗ χάριν πάντα πράττομεν, αὐτὸ δὲ οὐδενὸς, ἢ τὸ ἔσχατον τῶν ὀρεκτῶν, ἢ τὸ κατ' ἀρετὴν ζῆν ἐν ἀγαθοῖς τοῖς περὶ σῶμα καὶ τοῖς [c]ἔξωθεν, ἢ πᾶσιν, ἢ τοῖς πλείστοις καὶ κυριωτάτοις. Τοῦτο δὲ μέγιστον ὂν τῶν ἀγαθῶν καὶ [f]τελειότατον, ἐκ τῶν ἄλλων ἁπάντων ὑπηρετεῖσθαι. Τὰ μὲν γὰρ συμβαλλόμενα πρὸς αὐτὸ τῶν ἀγαθῶν ὁμολογουμένως χρὴ λέγειν, τὰ δὲ ἐναντιούμενα, τῶν οὔτ' ἀγαθῶν [g]οὔτε κακῶν, ἀλλὰ τῶν ἀδιαφόρων. Οὐ πᾶσαν δὲ καλὴν πρᾶξιν εὐδαιμονικὴν ὑπάρχειν. Τελείας δ' εἶπον ἀρετῆς χρῆσιν τὴν εὐδαιμονίαν, ὅτι τῶν ἀρετῶν τὰς μὲν ἔλεγον εἶναι τελείας, τὰς δ' ἀτελεῖς· τελείας μὲν, τήν τε δικαιοσύνην καὶ τὴν καλοκαγαθίαν· [II.280] ἀτελεῖς δὲ, τὴν εὐφυΐαν καὶ τὴν προκοπήν· τῷ δὲ [h]τελείῳ τὸ τέλειον ἁρμόττειν. Τέλος οὖν εἶναι τῆς τοιαύτης ἀρετῆς ἐνέργειαν, ἧς οὐθὲν ἄπεστι μέρος. Καὶ τὸ ἐν βίῳ δὲ [hh]τελείῳ προσέθεσαν, ἐνδείξασθαι βουληθέντες, ὅτι περὶ τοὺς ἤδη προήκοντας ἄνδρας [i]ἡ εὐδαιμονία γίγνεται· τὸ γὰρ μειράκιον ἄτελες καὶ ὁ τούτου βίος, δι' ὃ οὐκ ἂν γενέσθαι περὶ τοῦτ' εὐδαιμονίαν, οὐδ' ὅλως ἐν ἀτελεῖ χρόνῳ, ἀλλ' ἐν τῷ τελείῳ. Τέλειον δ' εἶναι τοῦτον, ὅσον ὥρισεν ἡμῖν πλεῖστον ὁ θεὸς, ὥρισε δὲ κατὰ πλάτος, καθάπερ καὶ τὸ τοῦ σώματος μέγεθος. [k]Ὡς οὖν ἕνα στίχον μὴ ἂν συστήσειν ὑπόκρισιν, μηδὲ

[d] τοῖς μὲν οὕτως ὁρίζουσι] τοῖς μὲν οὕτω διορίζουσι V. A.

[c] ἔξω] ἔξωθεν V. A. P.

[f] τελειοτάτων] –τάτον V. A.

[g] Post ἀγαθῶν add. οὔτε κακῶν V. A. P.

[h] Post τελείῳ] τέλειον ἁρμόττει (tunc in marg. eadem manu) τέλος οὖν εἶναι τῆς τοιαύτης αὐτῆς ἀρετῆς ἐνέργειαν, καὶ τῷ ἐν βίῳ δὲ τελείῳ προσέθεσαν etc. V.

[hh] τελείῳ] Repetit A. h. l. τὸ τέλειον ἁρμόττειν. Sed punctis ad extrema positis delenda esse indicat.

[i] Ante εὐδ. add. ἡ V. A.

[k] Ὡς οὐκ ἕνα στίχον συστήσειν] ὡς οὖν ἕνα στίχον μίαν συστήσειν A. Hinc dedi ὡς οὖν ἕνα στίχον μὴ ἂν συστήσειν.

μίαν χειρὸς ἕκτασιν ὄρχησιν, μηδὲ μίαν χελιδόνα ποιήσειν ἔαρ[l], οὕτως μηδὲ [m]βραχὺν χρόνον εὐδαιμονίαν. Τελείαν [n]γὰρ εἶναι δεῖν τὴν εὐδαιμονίαν ἐκ τελείου συνεστῶσαν ἀνδρὸς, καὶ χρόνου, καὶ δαίμονος. Προηγουμένην [o]δὲ τὴν τῆς ἀρετῆς ἐνέργειαν, διὰ τὸ πάντως ἀναγκαῖον ἐν τοῖς κατὰ p. 190.
φύσιν ἀγαθοῖς ὑπάρχειν, ἐπεὶ καὶ ἐν κακοῖς ἀρετῇ χρήσαιτ'
[II.282] ἂν καλῶς ὁ σπουδαῖος, οὐ μήν γε μακάριος [p]ἔσται, καὶ ἐν [q]αἰκίαις ἀποδείξαιτ' ἂν τὸ γενναῖον, οὐ μὴν [r]εὐδαίμων ἔσται. Αἴτιον δὲ, ὅτι ἡ μὲν ἀρετὴ καλῶν μόνον ἐστὶν ἀπεργαστικὴ καθ' ἑαυτὴν, ἡ δ' εὐδαιμονία καὶ καλῶν κἀγαθῶν. Οὐ γὰρ ἐγκαρτερεῖν βούλεται τοῖς δεινοῖς, ἀλλὰ τῶν ἀγαθῶν [s]ἀπολαύειν, [t]πρὸς τὸ καὶ σώζειν τὸ ἐν κοινωνίᾳ δίκαιον, καὶ μήτε ἀποστερεῖν ἑαυτὴν τῶν ἐν τῇ θεωρίᾳ καλῶν, μήτε τῶν κατὰ τὸν βίον ἀναγκαίων. Ἥδιστον γάρ τι καὶ κάλλιστον εἶναι τὴν εὐδαιμονίαν, [u]οὕτω δ' ἐπιτείνεσθαι καθάπερ τέχνην ὀργάνων πλήθει καὶ παρασκευῇ· οὔτε τὴν αὐτὴν εἶναι θεοῦ καὶ ἀνθρώπου, οὔτε γὰρ τὴν ἀρετὴν ἀναπόβλητον ἐπὶ [x]τῶν σπουδαίων τὸ παράπαν, δύνασθαι γὰρ ὑπὸ πλήθους καὶ μεγέθους ἀφαιρεθῆναι κακῶν. Ὅθεν ἐνδοιάσειεν ἄν τις, μήποτε οὐδὲ κυρίως εὐδαιμονιστέον τὸν ἔτι ζῶντα, διὰ τὸ τῆς τύχης ἄδηλον. Τὸ γὰρ τοῦ Σόλωνος [y]εὖ ἔχειν· τέλος [z]ὅρα μακροῦ βίου. [a]Μαρτυρεῖν δὲ τοῦτο καὶ τὸν [b]βίον,

[l] Eodem hoc exemplo in re eadem utitur Aristotel. Eth. I. 7. Ἔτι δ' ἐν βίῳ τελείῳ· μία γὰρ χελιδὼν ἔαρ οὐ ποιεῖ, οὐδὲ μία ἡμέρα· οὕτω δὲ οὐδὲ μακάριον καὶ εὐδαίμονα μία ἡμέρα, οὐδὲ ὀλίγος χρόνος. HEEREN.

[m] βραχὺ] βραχὺν V. A.

[n] Post γὰρ add. εἶναι V. A.

[o] καὶ τὴν] δὲ τὴν V. A.

[p] ἔστω] ἔσται Heeren.

[q] οἰκίαις ὑποδείξαιτ'] αἰκίαις ἀποδείξαιτ' V. A. P.

[r] εὐδαιμόνως] εὐδαίμων ἔσται Heeren.

[s] ἀπολαβεῖν] ἀπολαύειν V. A.

[t] πρὸς τῷ] πρὸς τὸ V.

[u] οὕτω] οὔτε V. A. P.

[x] τῶν] τὸν A.

[y] ὡς εὖ] ὡς deest V. A. P.

[z] ὅρα] ἄρα V. ὅρους A.

[a] Μαρτυρεῖ δὲ τοῦτο] μαρτυρεῖν δὲ τούτῳ V. A.

[b] βίον] Βίαντα Heeren. Sed βίος mihi significare videtur *sermonem vulgarem*. Vid. infra p. 636. s. 17. n. c.

[II.284] [c]εὐδαιμονίζοντα τοὺς ἀνθρώπους [d]ἡνίκ' ἂν θνήσκωσι. Τὸν [e]δ' ἀφαιρεθέντα τὴν εὐδαιμονίαν οὐκ εἶναι κακοδαίμονα, καθάπερ μηδὲ [f]τὸν ὅλως ἔχοντα [g]ταύτην, ἀλλ' ἔσθ' ὅ τι μέσον. Βιοῦν γάρ ποτε καὶ σοφὸν καὶ μὴ σοφὸν τὸν μέσον λεγόμενον βίον, τὸν μήτε εὐδαίμονα μήτε κακοδαίμονα. Περὶ δὲ τοὺς κοιμωμένους οὐκ εἶναι τὴν εὐδαιμονίαν, ἢ οὐκ [h]ἐντελέχειάν γε. Τὴν [i]μὲν γὰρ ἐνέργειαν τῆς ψυχῆς περὶ τὴν ἐγρήγορσιν εἶναι, [k]ταύτῃ δὲ δεῖ προστίθεσθαι τὸ [l]κατὰ φύσιν, διὰ τὸ μὴ πᾶσαν τὴν ἐγρήγορσιν τῶν σπουδαίων [m]τελείας εἶναι χρῆσιν ἀρετῆς, ἀλλὰ τὴν κατὰ φύσιν. [n]Ταύτην δ' εἶναι τὴν τοῦ μὴ μαινομένου, μηδ' ἐξεστηκότος, ἐπεὶ τήν γε μανίαν καὶ τὴν ἔκστασιν καὶ τὸν ὕπνον ἐξιστάνειν αὐτὸν ταύτης τῆς χρήσεως, τάχα δὲ καὶ τῆς τοῦ λόγου, καὶ ποιεῖν θηρίον. Οἷς γὰρ λογικόν ἐστι τὸ ζῆν, τούτοις καὶ τὸ εὐδαιμονεῖν ὑπάρχειν· οὐκ αἰεὶ δὲ οὐδὲ τούτοις, ἀλλὰ τοῦτο [o]εἰ προηγούμενον ἔχοιεν τὸ ζῆν. Ὡς δὲ τὴν εὐδαιμονίαν λέγεσθαι χρῆσιν ἀρετῆς, οὕτως καὶ τὴν κακοδαιμονίαν [p]χρῆσιν κακίας· οὐ μὴν ὡς τὴν κακίαν
[II.286] αὐτάρκη πρὸς κακοδαιμονίαν, οὕτως καὶ τὴν ἀρετὴν πρὸς εὐδαιμονίαν. Ὡς δὲ τὸν σπουδαῖον τἀγαθὰ ἔχειν, καὶ αὐτῷ συμφέρειν καὶ τοῖς ἄλλοις. Φευκτὸν δὲ τὸν βίον γίγνεσθαι τοῖς μὲν ἀγαθοῖς ἐν ταῖς ἄγαν [q]ἀτυχίαις, τοῖς δὲ

[c] εὐδαιμονἰζοντας] –ζοντα A. V.
[d] ἤν καν] ἡνίκ' ἄν V. A. P.
[e] δὲ post τὸν supplevi ut nexus constaret. Apud Cant. enim male hæc junguntur præcedentibus. HEEREN.
[f] τὸν] τῶν A.
[g] Post ταύτην add. ἀλλ' ἔσθ' ὅτε μέσον, βιοῦν γάρ ποτε καὶ σοφὸν καὶ μὴ σοφὸν τὸν μέσον λεγόμενον etc. V. A. P. Post ταύτην excidisse videtur εὐδαίμονα.
[h] ἐντελέχειαν] ἐντελεχίαν V. A.
[i] γὰρ] μὲν A. μὲν γὰρ Heeren.
[k] τοῦ τῇδε προστίθεσθαι] ταύτῃ δὲ δεῖ προστίθεσθαι Heeren.
[l] κατὰ φύσιν] κατάφασιν V.
[m] τελείας] τελείᾱς A.
[n] Ταύτην] ταύτῃ V. ταύτῃν A.
[o] εἰ, quod sensus flagitat, addidi. HEEREN.
[p] λέγεσθαι χρῆσιν κ.] λέγεσθαι deest V. A. P. ante χρῆσιν.
[q] εὐτυχίαις] ἀτυχίαις V. A. Cant. in marg.

κακοῖς καὶ ἐν ταῖς ἄγαν εὐτυχίαις. Πλεῖον γὰρ ἁμαρτά- 40
νειν· δι' ὃ [r]καὶ μηδὲ κυρίως [s]εὐτυχεῖς [t]εἶναι τοὺς φαύλους.

13 Ποσαχῶς λέγεται τὸ ἀγαθόν.

Ἐπειδὴ [a]δ' [b]εὐδαιμονία τὸ μέγιστον ἀγαθὸν, διαιρετέον ποσαχῶς λέγεται τὸ ἀγαθόν. Τριχῶς δή φασι λέγεσθαι, 45
τό τε γὰρ πᾶσι τοῖς οὖσι σωτηρίας αἴτιον, καὶ τὸ κατηγορούμενον παντὸς ἀγαθοῦ, καὶ τὸ διαυθαίρετον· ὧν τὸ μὲν [c]δεῖν θεὸν εἶναι [d]τὸ πρῶτον, τὸ δὲ γένος τῶν ἀγαθῶν, τὸ δὲ τέλος, [e]ἐφ' ὃ πάντα ἀναφέρομεν, ὅπερ ἐστὶν εὐδαιμονία. Καὶ τὸ διαυθαίρετον δὲ τριχῶς λέγεσθαι, ἢ οὗ χάριν τινὰ 50
πράττομεν ὡς ἐσχάτου· ἢ οὗ χάριν πάντα· ἢ τρίτον ὃ μέρος γίγνεται τούτων. Τῶν δὲ διαυθαιρέτων τὰ μὲν εἶναι τελικὰ, τὰ δὲ ποιητικά. Τελικὰ μὲν, τὰς κατ' ἀρετὴν προηγουμένας πράξεις· ποιητικὰ δὲ, τὰ ὑλικὰ τῶν [f]αἱρετῶν. Τῶν δ' ἀγαθῶν τὰ μὲν εἶναι τίμια, τὰ δὲ ἐπαινετὰ, τὰ δὲ δυνά- 55
μεις, τὰ δὲ ὠφέλιμα. Τίμια μὲν, οἷον θεὸν, ἄρχοντα,
[II.288] πατέρα· ἐπαινετὰ δὲ, οἷον δικαιοσύνην, φρόνησιν· δυνάμεις δὲ, οἷον πλοῦτον, ἀρχὴν, ἐξουσίαν· ὠφέλιμα δὲ, τὰ [g]ποιητικὰ τούτων καὶ φυλακτικὰ, οἷον ὑγίειαν καὶ εὐεξίαν. [h]Ἔτι τῶν αἱρετῶν καὶ ἀγαθῶν τὰ μὲν καθ' ἑαυτὰ εἶναι αἱρετὰ, [i]τὰ δὲ δι' ἑτέρων. Τὰ μὲν γὰρ τίμια, καὶ ἐπαι- p. 191.
νετὰ, καὶ τὰς [k]δυνάμεις [l]καθ' αὑτά· (καὶ γὰρ τὰς δυνάμεις ὑπάρχειν τῶν καθ' αὑτὰ ἀγαθῶν, οἷον πλοῦτον καὶ

r καὶ om. A.
s εὐτυχεῖς] εὐτυχεῖν V. εὐτυχεῖν A.
t Post εἶναι male hic intrusum erat καὶ, quod delevi. HEEREN.

13.

a μὲν] δὲ A.
b εὐδαιμονίαν] -μονία V. A.
c δεῖ] δεῖν V.
d τὸν πρῶτον] Sic A. Cant. τὸ πρῶτον Heeren. tanquam ex A. V.
e ἐφ' ὃ] ἐφ' ᾧ A.
f αἱρετῶν] ἀρετῶν V.
g Post ποιητικὰ add. τούτων καὶ φυλακτικὰ, οἷον etc. V. A. P.
h Ὅτι] ἔτι V. A. Cant. in marg.
i Post τὰ add. δὲ V. A.
k Post δυνάμεις add. καθ' αὑτά· καὶ γὰρ τὰς δυνάμεις ὑπάρχειν etc. V. P.
l καθ' αὑτὰ—δυνάμεις om. A.

ἀρχὰς, οἷς ἄν [m]χρήσαιτο καὶ ἃς ζητήσειεν [n]ὁ ἀγαθὸς ἀνήρ· καὶ οἷς δύναται εὖ χρῆσθαι, ἀγαθὰ, καὶ καθ' ἑαυτὰ ἀγαθὰ πεφυκέναι, ὥσπερ ὑγιεινὰ, ἃ καὶ ζητήσειεν ἄν ὁ ἰατρὸς, καὶ δύναιτο χρῆσθαι·) τὰ δὲ ὠφέλιμα δι' ἑτέρων· τῷ γὰρ ποιεῖν ἕτερα, καὶ σώζειν, [o]τῶν αἱρετῶν ὑπάρχειν. [p]Ἄλλη διαίρεσις, τῶν καθ' αὑτὰ ἀγαθῶν τὰ μὲν εἶναι [p]τέλη, τὰ δ' οὐ τέλη· οἷον δικαιοσύνην μὲν, καὶ ἀρετὴν, καὶ ὑγείαν, τέλη, καὶ ἁπλῶς, ὅσα ἐκ τῶν καθ' ἕκαστα γενόμενων καὶ [q]κεφαλαιούμενα [r]ὑπάρχει, ὥσπερ τὴν ὑγείαν, οὐ μὴν τό τε [s]ὑγιαῖνον, οὐδὲ τὴν θεραπείαν τοῦ κάμνοντος. Εὐφυΐαν δὲ, καὶ ἀναμνήσεις, καὶ μαθήσεις, οὐ τέλη.

[II.290] [v]Ἄλλη διαίρεσις, τῶν τελέων τὰ μὲν παντὶ ἀγαθὰ εἶναι, τὰ δ' οὐ παντί. Τὴν [t]μὲν ἀρετὴν καὶ φρόνησιν παντὶ ἀγαθὰ, ὅτῳ γὰρ ἂν παραγένηται ὠφελεῖν· πλοῦτον δὲ καὶ ἀρχὰς καὶ δυνάμεις οὐ παντί. Πῶς οὖν ἀγαθά; Καθ' ὅσον ἀφώρισται τὸ εἶναι ἀγαθὰ τῇ τοῦ ἀγαθοῦ ἀνδρὸς χρήσει. [u]Φαίνεσθαι δὲ ταῦτα καὶ ζητεῖν, καὶ χρωμένοις ὠφελεῖν. Οἷς δὲ τὸν ἀγαθὸν εὖ χρῆσθαι, τούτοις [x]τὸν κακὸν κακῶς· [y]ὥσπερ οἷς ἂν εὖ τὸν μουσικὸν, τούτοις τὸν ἄμουσον κακῶς. Ἅμα δὲ κακῶς χρώμενον βλάπτεσθαι, καθάπερ ἵππον ἀγαθὸν ὄντα τὸν μὲν ἱππικὸν ὠφελεῖν, βλάπτειν δὲ τὸν ἄφιππον οὐ μετρίως.

[m] χρήσαιτο] χρήσειεν Heeren.

[n] καὶ ἀγαθὸς] ὁ ἀγαθὸς V. A.

[o] τῶν αἱρετῶν sensu jubente rescripsi pro τῶν ἀρετῶν. HEEREN.

[p] Post τέλη add. τὰ δὲ οὐ τέλη V. A. P.

[q] κεφαλαιώμενα] κεφαλαιούμενα sic V.

[r] ὑπάρχειν] ὑπάρχει Heeren.

[s] ὑγιαῖνον] ὑγιεῖειαῖνον A.

[t] μὲν] μὲν γὰρ Heeren.

[u] In verbis φαίνεσθαι δὲ ταῦτα καὶ ζητεῖν corruptela latet. Sensus, si quid video, esse debet; *apparere bona hæc et quærenda esse, et bono usu utentibus prodesse.* Num forte legendum: φαίνεσθαι δὲ ὡς δεῖ ταῦτα καὶ ζητεῖν, καὶ εὖ χρωμένοις ὠφελεῖν? Vel: φαίνεσθαι γὰρ μετὰ τὸ ζητεῖν καὶ εὖ χρωμένοις ὠφελεῖν, *apparere si ea quæsiveris recte utentibus ea prodesse?* De divisione ipsa cf. Aristot. Magn. Moral. I. 2. HEEREN.

[x] τὸν bis τὸ V. A.

[y] ὥσπερ om. A.

[z]Ἔτι τῶν ἀγαθῶν τὰ μὲν εἶναι περὶ ψυχὴν, τὰ δὲ περὶ σῶμα, τὰ δ' ἐκτός. Περὶ ψυχὴν μὲν, οἷον εὐφυΐαν τε καὶ τέχνην, καὶ ἀρετὴν, καὶ σοφίαν, καὶ φρόνησιν, καὶ ἡδονήν· περὶ σῶμα δὲ, ὑγείαν, καὶ εὐαισθησίαν, καὶ κάλλος, καὶ ἰσχὺν, καὶ ἀρτιότητα, καὶ πάντα τὰ μόρια σὺν ταῖς δυνάμεσι καὶ ἐνεργείαις· ἐκτὸς δὲ, πλοῦτον, καὶ δόξαν, καὶ εὐγένειαν, καὶ δυναστείαν, καὶ φίλους, καὶ συγγενεῖς, καὶ πατρίδα. Τῶν δὲ περὶ ψυχὴν ἀγαθῶν τὰ μὲν ἀεὶ φύσει
[II.292] παρεῖναι, καθάπερ [a]γὰρ ὀξύτητα, καὶ μνήμην, τό τε ὅλον εὐφυΐαν· τὰ δ' ἐξῆς ἐπιμελείας περιγίγνεσθαι, ὡς τάς τε προπαιδεύσεις καὶ διαίτας [b]ἐλευθερίους· τὰ δ' ἐκ τελειότητος ὑπάρχειν, οἷον φρόνησιν, δικαιοσύνην, τελευταῖον δὲ σοφίαν.

Ἔτι δὲ τῶν ἀγαθῶν τὰ μὲν [c]εἶναι καὶ [d]κτήσασθαι καὶ ἀποβαλεῖν, ὡς πλοῦτον· τὰ δὲ κτήσασθαι μὲν, ἀποβαλεῖν δ' οὐ, ὡς εὐτυχίαν, ἀθανασίαν· τὰ δὲ ἀποβαλεῖν μὲν, κτήσασθαι δ' οὐ, ὡς αἴσθησιν, ὡς τὸ ζῆν· τὰ δ' οὔτε κτήσασθαι οὔτ' ἀποβαλεῖν, ὡς εὐγένειαν.

Ἔτι τῶν ἀγαθῶν τὰ μὲν εἶναι διαυθαίρετα μόνον, ὡς ἡδονὴν καὶ [e]ἀοχλησίαν· τὰ δὲ ποιητικὰ μόνον, ὡς πλοῦτον· τὰ δὲ ποιητικὰ καὶ διαυθαίρετα, ὡς ἀρετὴν, φίλους, ὑγείαν. Καὶ ἄλλως δὲ πολλαχῶς διαιρεῖσθαι τἀγαθὰ, διὰ τὸ μὴ ἓν [f]εἶναι γένος αὐτῶν, ἀλλὰ κατὰ τὰς [g]δέκα λέγεσθαι κατηγορίας· ἐν ὁμωνυμίᾳ γὰρ ἐκφέρεσθαι τἀγαθὸν, τά τε

[z] Explicat novam hanc divisionem et primariam Aristotel. l. c. cap. 3. HEEREN.

[a] γὰρ] γε Heeren.

[b] ἐλευθέρους] –θερίους A.

[c] εἶναι] ἡμᾶς Heeren.

[d] κτήσασθαι] κτήσασθαι μὲν A.

[e] ἀοχλησίαν, *statum quietum*, re ipsa jubente edidi pro ὀχλησίαν, quod cum Cant. habent codd. HEEREN. *Molestiarum vacuitas* Cant. versio.

[f] εἶναι γένος] γένος εἶναι V.

[g] δὲ καλεῖσθαι] δέκα λέγεσθαι V. A. P.

τοιαῦτα πάντα ὄνομα κοινὸν ἔχειν μόνον, τὸν δὲ κατὰ τ' ὄνομα λόγον [h]ἕτερον.

14 Περὶ τῆς ἠθικῆς ἀρετῆς, ὅτι μεσότητες.

Τούτων [a]δὲ δὴ διωρισμένων, ἐπελθεῖν ἀκριβέστερον ἀναγ- 50
[II.294] καῖον τὰ περὶ τῆς ἠθικῆς ἀρετῆς λεγόμενα. Ταύτην γὰρ ὑπολαμβάνουσι περὶ τὸ ἄλογον μέρος γίγνεσθαι τῆς ψυχῆς, ἐπειδὴ διμερῆ πρὸς τὴν παροῦσαν θεωρίαν ὑπέθεντο τὴν ψυχήν, τὸ μὲν [b]λογικὸν ἔχουσαν, τὸ δ' ἄλογον. Καὶ περὶ μὲν τὸ λογικὸν τὴν καλοκαγαθίαν γίγνεσθαι, καὶ τὴν φρόνησιν, καὶ τὴν ἀγχίνοιαν, καὶ σοφίαν, καὶ εὐμάθειαν, καὶ 55
μνήμην, καὶ τὰς [c]ὁμοίας· περὶ δὲ τὸ ἄλογον, σωφροσύνην, καὶ δικαιοσύνην, καὶ ἀνδρείαν, καὶ τὰς ἄλλας τὰς ἠθικὰς καλουμένας ἀρετάς. Ταύτας δή [d]φασιν ὑπ' ἐνδείας καὶ ὑπερβολῆς φθείρεσθαι. Πρὸς δὲ τὴν ἔνδειξιν τούτου, [e]τοῖς ἐκ τῶν αἰσθήσεων μαρτυρίοις χρῶνται, βουλόμενοι τῶν ἀφα- p. 192.
νῶν τὴν ἐκ τῶν φανερῶν παρέχεσθαι πίστιν. [f]Αὐτίκα γὰρ ὑπὸ τῶν γυμνασίων, πλειόνων τε γενομένων ἢ ἐλαττόνων, φθείρεσθαι τὴν ἰσχύν· καὶ ἐπὶ τῶν ποτῶν καὶ σιτίων ὡσαύτως· πολλῶν γὰρ προσφερομένων ἢ ἐλαττόνων φθείρεσθαι τὴν ὑγείαν, συμμέτρως δὲ τῶν εἰρημένων ὄντων, σώζεσθαι τήν [g]τε ἰσχὺν καὶ τὴν ὑγείαν· παραπλησίως οὖν ἔχειν καὶ 5

[h] ἕτερον codd. V. A. E. pro δεύτερον, quod quoque ferri posset. Sensus enim est: *bona quidem communi nomine contineri, attamen de singulis aliam esse disquisitionem.* Verum vel sic hæreo in κατὰ τ' ὄνομα. Num forte legendum μετὰ τ' ὄνομα, *post nomen?* HEEREN.

14.

[a] δὴ] δὲ δὴ V. A.

[b] Post λογικὸν add. ἔχουσαν, τὸ δ' ἄλογον, καὶ περὶ μὲν τὸ λογικὸν, τὴν καλοκαγαθίαν γίγνεσθαι καὶ τὴν φρόνησιν etc. V. A. P. Aut ἔχουσαν delendum, aut λόγον pro λογικὸν reponendum.

[c] ὁμοίως] ὁμοίας V. A.

[d] φησὶ] φασὶν A. Cant. in marg.

[e] τοῖς—μαρτυρίοις] τῆς—μαρτυρίας V.

[f] Ἀντὶ etc.] Et add. αὐτίκα γὰρ ὑπὸ τῶν γυμνασίων πλειόνων τε γινομένων καὶ ἐλαττόνων, φθείρεσθαι τὴν ἰσχύν· καὶ ἐπὶ τῶν ποτῶν καὶ σιτίων ὡσαύτως etc. V. A. P.

[g] τε deest V.

ἐπὶ τῆς σωφροσύνης, καὶ ἀνδρείας, καὶ τῶν ἄλλων ἀρετῶν.
[II.296] [h]Τὸν μὲν γὰρ τοιοῦτον ὄντα τὴν φύσιν, ὥστε μηδὲ τὸν κεραυνὸν φοβεῖσθαι, μαινόμενον, ἀλλ' οὐκ ἀνδρεῖον εἶναι· τὸν δ' ἔμπαλιν [i]πάντα φοβούμενον, ὥστε καὶ τὴν σκιὰν, ἀγεννῆ καὶ [k]δεῖλον· ἀνδρεῖον δ' [l]ὁμολογουμένως, [m]τὸν μήτε πάντα μήτε μηδὲν φοβούμενον. Ταῦτ' ἄρα καὶ αὔξειν καὶ φθείρειν τὴν ἀρετὴν, ὥστε τοὺς μὲν μετρίους φόβους αὔξειν τὴν ἀνδρείαν, τοὺς δὲ μείζονας ἢ ἐλάττονας φθείρειν. Ὁμοίως δὲ καὶ ἐπὶ τῶν ἄλλων ἀρετῶν, τὰς μὲν οὔσας κατὰ [n]ταύτας ὑπερβολὰς καὶ ἐλλείψεις, φθείρειν αὐτάς· τὰς δὲ μετριότητας αὔξειν. Οὐ μόνον δὲ τούτοις ἀφορίζεσθαι τὴν ἀρετὴν, ἀλλὰ καὶ ἡδονῇ καὶ λύπῃ. Διὰ γὰρ τὴν ἡδονὴν τὰ φαῦλα πράττειν ἡμᾶς, διὰ δὲ τὴν λύπην ἀπέχεσθαι τῶν καλῶν· οὐκ εἶναι δὲ λαβεῖν οὔτ' ἀρετὴν οὔτε κακίαν ἄνευ λύπης καὶ ἡδονῆς. Τὴν οὖν ἀρετὴν περὶ ἡδονὰς καὶ λύπας ὑπάρχειν. Πρὸς δὲ τὸ σαφῶς δηλῶσαι τὰ περὶ τούτων, ἀναγκαῖον ἡγοῦντο τὰ περὶ ψυχὴν γιγνόμενα [o]προσλαβεῖν τῷ λόγῳ· ταῦτα δή φασιν ὑπάρχειν ἐν ταῖς ψυχαῖς τῶν ἀνθρώπων, πάθη, δυνάμεις, ἕξεις[p]. Πάθη δ' εἶναι ὀργὴν, φόβον, μῖσος, πόθον, ζῆλον, ἔλεον, τὰ παραπλήσια τούτοις, οἷς καὶ παρακολουθεῖν ἡδονὴν καὶ λύπην· δυνάμεις [q]δὲ, καθ' ἃς
[II.298] παθητικοὶ τούτων εἶναι λεγόμεθα, οἷον καθ' ἃς [r]ὀργιζόμεθα, φοβούμεθα, ζηλοῦμεν, τῶν [s]τοιούτων ὁτιοῦν πεπόνθαμεν· ἕξεις δὲ, καθ' ἃς πρὸς ταῦτά πως ἔχομεν, καὶ ἀφ' ὧν ἡ τούτων

h Τὸ μὲν] τὸν μὲν V.
i πάντα] πᾶν τὸ A.
k δεῖλον] δηλὸν A.
l ὁμολογοῦμεν ὡς] ὁμολογουμένως Cant. in marg.
m τὸν] τὸ A.
n πάντας] ταύτας V. A. Supra οὖσαι A.
o προλαβεῖν] προσλαβεῖν V. A. P.
p Disputat de his Aristot. Eth. II. 4. Τὰ ἐν τῇ ψυχῇ γιγνόμενα τρία ἐστὶ, πάθη, δυνάμεις, ἕξεις etc. ubi virtutem in ἕξει consistere diserte ostendit. HEEREN.
q δὲ, quod, nexus posulat, supplevi. HEEREN.
r Post ὀργιζόμεθα add. φοβούμεθα V. A. P.
s ποιούντων] τοιούτων Cant. in marg.

ἐνέργεια εὖ ἢ κακῶς ἀποτελεῖται. Δι' ὃ, εἰ μὲν [t]οὕτως τις [v]ὀργίζοιτο ῥᾳδίως, ὥστε ἐπὶ [u]παντὶ, καὶ πάντως, τὴν ἕξιν ἂν ἔχων φανείη τὴν τῆς ὀργιλότητος· εἰ δὲ οὕτως, ὥστε [x]μηθὲν, μήτε ἐφ' ὁτῳοῦν, [y]τὴν τῆς ῥαθυμίας· ἀμφοτέρας δ' εἶναι ψεκτὰς, ἐπαινουμένην δὲ ἕξιν ὑπάρχειν τὴν πραότητα, καθ' ἣν [z]ὅτε δεῖ, καὶ ὡς δεῖ, καὶ ᾧ δεῖ, ὀργιζόμεθα. Διόπερ ἕξεις εἶναι τὰς ἀρετὰς, ἀφ' ὧν τὰς ἐν τοῖς πάθεσιν ἐνεργείας ἐπαινεῖσθαι συμβέβηκεν. Ἐπεὶ οὖν ἡ ἀρετὴ τῶν πρακτικῶν, πᾶσαν δὲ πρᾶξιν ἐν συνεχείᾳ θεωρεῖσθαι συμβέβηκε[a], παντὸς δὲ συνεχοῦς ὥσπερ ἐν τοῖς μεγέθεσιν εἶναί τινα ὑπερβολὴν καὶ ἔλλειψιν καὶ μεσότητα, καὶ ταῦτα [b]ἢ πρὸς ἄλληλα ὑπάρχειν ἢ πρὸς ἡμᾶς, ἐν πᾶσι [c]δὲ τὸ μέσον τὸ πρὸς ἡμᾶς βέλτιστον, τοῦτο γάρ ἐστιν ὡς ἡ [d]ἐπιστήμη κελεύει καὶ ὁ λόγος· (τὸ γὰρ μέσον οὐ τὸν τοῦ ποσοῦ τόπον
[II.300] ὁρίζειν[e], ἀλλὰ τὸν ποιοῦ, δι' ὃ καὶ τέλειον εἶναι [f]τῷ οὕτω καὶ ἄκρως ἔχειν. Τὰ δ' ἐναντία πως καὶ [g]ἀλλήλοις ἀντικεῖσθαι καὶ τῷ μέσῳ· ἐναντία δ' εἶναι τήν τ' ἔλλειψιν καὶ τὴν ὑπερβολὴν, τὸ δὲ μέσον πρὸς ἑκάτερον ἔχειν, ὅπερ τὸ ἴσον πρὸς τὸ ἄνισον πέπονθε, τοῦ μὲν ἐλάττονος πλεῖον ὄν, τοῦ δὲ

[t] οὕτω] οὕτως V. A.
[v] ὀργίζοιτο] ὁρίζοιτο A. V.
[u] πάντα] παντὶ V. A.
θ
[x] μηθὲν] μηδὲν A.
[y] τὴν τῆς] τῆς τῆς A.
[z] Post ὅτε δεῖ add. καὶ ὡς δεῖ V. A. P.

[a] Clara hæc erunt ex iis quæ disputat Aristot. Ethic. II. 5. Ἐν παντὶ δὲ συνεχεῖ καὶ διαιρέτῳ ἔστι λαβεῖν τὸ μὲν πλεῖον, τὸ δ' ἔλαττον, τὸ δ' ἴσον, καὶ ταῦτα ἢ κατ' αὐτὸ τὸ πρᾶγμα, ἢ καθ' ἡμᾶς etc. Nempe id quod medium seu τὸ ἴσον est in re ipsa, ideo non id est quod convenit naturæ nostræ, adeoque non τὸ ἴσον πρὸς ἡμᾶς; in hac vero disputatione tantum de hoc sermo esse potest, non de illo. HEEREN.

[b] καὶ πρὸς] ἢ πρὸς V. A. Cant. in marg.

[c] δὲ] γε Heeren.

[d] ἐπιστήμη] ἐπιστήμη τε Heeren.

[e] Nempe πρὸς ἡμᾶς. Pro τόπον num melius forte legas τρόπον, *modum?* HEEREN.

[f] τῷ, *eo quod*, rescripsi pro τοῦ. HEEREN.

[g] ἀλλήλοις] ἄλλοις A.

πλείονος ἔλαττον.) Τὸ οὖν πρὸς ἡμᾶς μέσον [h]ἄριστον, οἷόν φησιν ὁ Θεόφραστος [i]ἐν ταῖς ἐντυχίαις, [k]ὁδὶ μὲν πολλὰ διελθὼν καὶ μακρῶς ἀσχολησάμενος, [l]ὁδὶ δ' ὀλίγα μὲν οὐδὲ τἀναγκαῖα, οὗτος δὲ αὐτὰ ἃ ἔδει, μὴ τὸν καιρὸν ἔλαβεν. Αὕτη μεσότης πρὸς ἡμᾶς, αὕτη γὰρ ὑφ' ἡμῶν ὥρισται τῷ λόγῳ. Δι' ὃ ἔστιν ἡ ἀρετὴ ἕξις προαιρετικὴ, ἐν
[II.302] μεσότητι οὖσα τῇ πρὸς ἡμᾶς, ὡρισμένη λόγῳ, [m]καὶ ὡς ἂν ὁ φρόνιμος ὁρίσειεν· εἶτα [n]παραθέμενος τινὰς συζυγίας, ἀκολούθως τῷ ὑφηγητῇ, σκοπεῖν ἔπειτα καθ' ἕκαστα ἐπάγων, ἐπειράθη τὸν τρόπον τοῦτον· ἐλήφθησαν δὲ παραδειγμάτων χάριν αἵδε[o]· σωφροσύνη, ἀκολασία, ἀναισθησία· πραότης, ὀργιλότης, ἀναλγησία· ἀνδρεία, θρασύτης, δειλία· [p]δικαιο-

h ἀόριστον] ἄριστον V. A.

i ἐν ταῖς ἐντυχίαις] ἐν τοῖς περὶ Εὐτυχίας Heeren.

k ὁδὶ] ὁδὲ A.

l Post ὁδὶ add. δ' ὀλίγα, καὶ (μὲν P.) οὐδὲ τ' ἀναγκαῖα οὗτος (οὗτοι P.) δὲ αὐτὰ ἃ ἔδει μὴ τὸν καιρὸν (s. m. μέσον P.) ἔλαβεν· αὕτη μεσότης πρὸς ἡμᾶς etc. V. A. P.

m δ' ὅσ' ἄν] δὲ ὅταν V. δὲ ὡς A. καὶ ὡς Aristot. Eth. N. II. 6.

n Participium παραθέμενος nihil habet ad quod commode referri possit; nec εἶτα quomodo nexum cum præcedentibus faciat, appareret. De Aristotelis tamen discipulo sermonem esse patet, cum statim subjungat, ἀκολούθως τῷ ὑφηγητῇ, *secutus magistrum*, quare de Theophrasto adhuc hæc intelligenda esse dubium esse vix potest. Sed ordinem sermonis turbatum esse, nemo non videt. Suspicari posses omnino verba αὕτη μεσότης usque ad ὁρίσειεν male in contextum intrusa esse, quibus ejectis constabit nexus, si legas οὐδὲ τὸν καιρὸν λαβών· εἶτα παραθέμενος etc. Saltem si ea retineas, pro parenthesi habenda sunt. Quidquid præferas, quæ sequuntur εἶτα etc. ad Theophrastum referenda esse, clarum erit. Is magistrum, Aristotelem nempe, secutus, dicitur ad μεσότητα hanc virtutum declarandam συζυγίας quasdam posuisse, quæ scilicet singulæ tria continerent membra, mediam nempe virtutem, ab utraque autem parte vitium, vel ex abundantia vel ex defectu habitus, virtutem constituentis, ortum. Recte autem hæc ex Aristotele adumbrata dicuntur, qui ipse schema hoc plenius jam proposuit Magn. Mor. II. cap. 3. HEEREN.

o Tria in hoc schemate singula membra continere patet, quorum primum est virtus, secundum et tertium duo extrema, quibus virtutis natura in vitia sibi opposita mutatur. HEEREN.

p Post δικαιοσύνη lacuna est; desunt enim duo extrema. Aristoteles nempe justitiam in eo differre docet a reliquis virtuti-

σύνη . . . . . ἐλευθεριότης, [q]ἀσωτία, ἀνελευθερία· μεγαλο- p. 193.
ψυχία, μικροψυχία, χαυνότης· [r]μεγαλοπρέπεια, μικρο-
πρέπεια, σαλακωνία. Τούτων [s]δὴ τῶν ἕξεων αἱ μὲν τῷ
ὑπερβάλλειν ἢ ἐλλείπειν περὶ πάθη [t]φαῦλαί εἰσιν, αἱ [u]δὲ
σπουδαῖαι, [x]τῷ [y]μεσότητες εἶναι δηλονότι. Σώφρονά τε
[II.304] γὰρ εἶναι, οὔτε τὸν καθάπαξ ἀνεπιθύμητον, οὔτε τὸν ἐπιθυ-
μητικόν· (τὸν μὲν γὰρ λίθου δίκην μηδὲ τῶν κατὰ φύσιν
ὀρέγεσθαι, τὸν δὲ τῷ ὑπερβάλλειν ταῖς ἐπιθυμίαις ἀκόλα-
στον εἶναι· τὸν δὲ μέσον τούτων ᾧ δεῖ, καὶ ὁπότε, καὶ ὁπόσον
ἐπιθυμοῦντα, καὶ τῷ λόγῳ κατὰ τὸ προσῆκον ὁρίζοντα καθ-
άπερ κανόνι, σώφρονα λέγεσθαί τε καὶ κατὰ φύσιν εἶναι·)
πρᾷόν τε, οὔτε τὸν ἐπὶ παντὶ [z]ὀργιζόμενον, κἂν μικρότατον
ᾖ, ἀλλὰ τὸν τὴν μέσην ἔχοντα ἕξιν· ἀνδρεῖόν [a]τε, οὔτε τὸν
μηδὲν φοβούμενον, κἂν ᾖ θεὸς ὁ ἐπιὼν, οὔτε τὸν πάντα, καὶ
τὸ δὴ λεγόμενον τὴν σκιάν· δίκαιον [b]δὲ, [c]οὔτε τὸν τὸ
πλεῖον ἑαυτῷ νέμοντα, οὔτε τὸν τὸ ἔλαττον, ἀλλὰ τὸν τὸ
ἴσον· τὸ δ' ἴσον τὸ κατὰ τὸ ἀνάλογον, οὐ κατ' [d]ἀριθμόν·
[ἐλευθερίον] τε, οὔτε τὸν [e]προετικὸν ὅπως ἔτυχεν, οὔτε τὸν
[f]. . . . . ἀπροαίρετον· μεγαλόψυχόν τε, οὔτε τὸν μεγάλων

bus, ut etsi τὸ δίκαιον, *justum*, medium sit inter duo extrema, nempe τὸ κέρδος *lucrum*, et τὴν ζημίαν, *damnum*, tamen justitia ipsa non sit medietas ut reliquæ virtutes, sed tantum quatenus medium observet, cum ab utraque parte ei opposita sit injustitia. Eth. V. 9. Ἡ δὲ δικαιοσύνη μεσότης ἐστὶν οὐ τὸν αὐτὸν τρόπον ταῖς πρότερον ἀρεταῖς, ἀλλ' ὅτι μέσον ἐστὶν, ἡ δὲ ἀδικία τῶν ἄκρων. Quare nostro loco quoque *justitia* male intrusa videtur, cum membra sibi opposita non habeat. HEEREN.

q ἀσωτία] ἀσωτίαν A.

r Post μεγαλοπρέπεια add. μικροπρέπεια A. P.

s δὲ] δὴ A.

t φαῦλαι] φαῦλα A.

u δαι] δὲ V. A. P.

x τὸ] τῷ V. A.

y μεσότητες] μεσότητος A.

z ὀργιζόμενον] ἀρτιζόμενον A.

a τε] δὲ Heeren.

b δὲ] τε Heeren.

c οὔτε τὸ] οὔτε τὸν τὸ V. A.

d Habet Cant. ἀριθμόν τε etc. Sed res ipsa docet post ἀριθμὸν excidisse Ἐλευθέριον, quod supplendum esse clarum est ex schemate τῶν συζυγιῶν supra exhibito. HEEREN.

e προετικὸν] προαιρετικὸν V. A.

f Iterum clarum est nonnulla hic excidisse, cum ἀπροαίρετον non

πάντων ἀξιοῦντα ἑαυτὸν, οὔτε τὸν [g] μηθενὸς ὅμως, ἀλλὰ τὸν τὸ δέον [h] ἀφ' ἑκάστου λαμβάνοντα, καὶ εἰς τὸ [i] κατ' ἀξίαν· μεγαλοπρεπῆ τε, οὔτε τὸν πάντοτε καὶ ἔνθα μὴ δεῖ λαμπρὸν, οὔτε τὸν μηδαμοῦ, ἀλλὰ τὸν κατὰ καιρὸν ἁρμόττοντα
[II.306] εἰς ἕκαστον. Τοιοῦτο μὲν τὸ τῶν ἠθικῶν ἀρετῶν εἶδος παθητικὸν, καὶ κατὰ μεσότητα θεωρούμενον, ὃ δὴ καὶ τὴν ἀνταπακολουθίαν ἔχει, πλὴν οὐχ ὁμοίως, ἀλλ' ἡ μὲν φρόνησις [j] ταῖς ἠθικαῖς κατὰ τὸ ἴδιον, αὗται δ' [k] ἐκείνη κατὰ [l] συμβεβηκός. [m] Ὅτι μὲν γὰρ δίκαιός ἐστι καὶ φρόνιμος, [n] ὁ γὰρ τοιόσδε αὐτὸν λόγος εἰδοποιεῖ, οὐ μὴν [o] ὅτι φρόνιμος [p] καὶ δίκαιος κατὰ τὸ ἴδιον, ἀλλ' ὅτι τῶν καλῶν κἀγαθῶν κοινῶς πρακτικὸς, φαύλου δ' οὐδενός.

15 Περὶ παθῶν [a] ψυχῆς.

Τῶν δὲ παθῶν καὶ ὁρμῶν τὰ μὲν εἶναι ἀστεῖα, τὰ δὲ φαῦλα, τὰ δὲ μέσα. Ἀστεῖα μὲν, φιλίαν, χάριν, νέμεσιν, αἰδῶ, θάρσος, ἔλεον· φαῦλα δὲ, φθόνον, ἐπιχαιρεκακίαν, ὕβριν· μέσα δὲ, λύπην, φόβον, ὀργὴν, ἡδονὴν, ἐπιθυμίαν. Τούτων δὲ τὰ μὲν αἱρετέον καθάπαξ, τὰ δὲ ὁριστέον. Πᾶν δὲ πάθος [b] περὶ ἡδονὴν [c] συνίστασθαι καὶ λύπην, δι' ὃ καὶ περὶ ταύτας τὰς ἠθικὰς ἀρετὰς ὑπάρχειν. Φιλαργυρίαν δὲ,

respondeat alteri. In codd. quidem V. A. legitur οὔτε τὸν προαιρετικὸν ἀλλὰ τὸν ἀπροαίρετον, sed facile patet ex correctione insulsi librarii hæc orta esse, cum ne sensum quidem præbeant. Supplendum forte et legendum: ἐλευθέριόν τε, οὔτε τὸν προετικὸν ὅπως ἔτυχεν, οὔτε τὸν μηθὲν δαπανῶντα, ἀλλὰ τὸν μηδὲν ἀπροαίρετον, *nihil inconsulto*. De natura τῆς ἐλευθεριότητος et vitiorum oppositorum abunde agit Aristot. Ethic. IV. 1. 2. Præterea ad nostrum locum cf. Magn. Mor. I. 24. HEEREN.

g μηθενὸς] μηδὲν V.

h ἀφ' ἑκάστου] ἐξ ἑκάστου V. ἐφ' ἑκ. A.

i κατ' ἀξίαν] κατὰ βίαν A.

j καθηκαῖς] ἠθικαῖς V. A. P.

k ἐκείνη] ἐκείνῃ A.

l συμβεβηκὸν] συμβεβηκὸς V. P.

m Ὅτι] ὅ τε Heeren.

n ὁ] ὅτι Heeren.

o ὅτι] ὅ τε Heeren. qui addidit ὁ ante λόγος. Mox κοινὸς A. Cant.

p καὶ δίκαιος etc.] Et add. καὶ δίκαιος (δίκαιον V.) κατὰ τὸ ἴδιον V. A.

15.

a καὶ ψυχῶν A.

b περὶ] περί τε Heeren.

c συνίσταται] συνίστασθαι V. A.

[II.308] καὶ φιληδονίαν, καὶ ἐρωτομανίαν, καὶ τὰ τοιαῦτα, ἕξεις εἶναι ἀλλοίας παρὰ τὰς κακίας. Ἔρωτα δ' εἶναι τὸν μὲν φιλίας, τὸν δὲ συνουσίας, τὸν δὲ ἀμφοῖν· δι' ὃ καὶ τὸν μὲν σπουδαῖον, τὸν δὲ φαῦλον, τὸν δὲ μέσον.

16 Περὶ φιλίας.

Τῆς φιλίας δ' εἶναι διαφορὰς τέσσαρας, ἑταιρικὴν, συγγενικὴν, ξενικὴν, ἐρωτικήν· εἰ δὲ καὶ τὴν εὐεργετικὴν καὶ θαυμαστικὴν συγκαταριθμητέον, λόγου δεῖ. [a] Ἀρχὴν δὲ τῆς μὲν ἑταιρικῆς εἶναι τὴν συνήθειαν, τῆς δὲ συγγενικῆς, τὴν φύσιν, τῆς δὲ ξενικῆς, τὴν χρείαν, τῆς δὲ ἐρωτικῆς, τὸ πάθος, τῆς δὲ εὐεργετικῆς, τὴν χάριν, τῆς δὲ θαυμαστικῆς, τὴν δύναμιν. [b] Πασῶν δὲ συλλήβδην εἶναι [c] τέλη τρία, τὸ καλὸν, τὸ συμφέρον, τὸ ἡδύ. Πάντα γὰρ τὸν [d] ὁπωσοῦν [e] πρὸς φιλίαν ἰόντα, διά τι τούτων ἢ διὰ [f] πάντα τὴν φιλίαν αἱρεῖσθαι. Πρώτην μὲν οὖν, ὡς προέφην, εἶναι τὴν πρὸς [g] ἑαυτὸν φιλίαν, δευτέραν δὲ, τὴν πρὸς τοὺς γειναμένους· ἐφεξῆς δὲ, τὰς πρὸς τοὺς ἄλλους [h] οἰκείους καὶ ὀθνείους· δι' ὃ καὶ ἐν μὲν τῇ πρὸς ἑαυτὸν εὐλαβεῖσθαι δεῖ τὴν ὑπερβολὴν, ἐν [i] δὲ ταῖς πρὸς τοὺς ἄλλους, τὴν ἔλλειψιν. Τὸ μὲν γὰρ φιλαυτίας, τὸ δὲ φειδωλίας ἔχει διαβολήν.

17 Περὶ χάριτος.

Χάριν δὲ λέγεσθαι τριχῶς, τὴν μὲν [a] ὑπουργίαν ὠφελί- p. 194.
[II.310] μου αὐτοῦ ἐκείνου ἕνεκα, τὴν δ' ἄμειψιν [b] ὠφελίμου, τὴν δὲ μνήμην ὑπουργίας τοιαύτης. [c] Διὰ τοῦτο δὲ καὶ τάσδε μόνας

16.

[a] Ἀρχὴν δὲ] ἀρχὴν μὲν A.
[b] Post πασῶν add. δὲ V. A.
[c] τέλη] γένη A.
[d] ὁπωσοῦν] ὁποσοῦν A.
[e] πρὸς] εἰς A.
[f] πάντα] πάντων V. παν A.
[g] ἑαυτὸν] ἑαυτὴν A.
[h] οἰκείους κ. ὀθνείους] ὀθνείους κ. οἰκείους V. A.
[i] δὲ τῇ] δὲ ταῖς V. A.

17.

[a] ὑπουργείαν ὠφέλιμον] ὑπουργίαν ὠφελίμου V. A.
[b] ὠφέλιμον] ὠφελίμου V. Verba αὐτοῦ—ὠφελίμου om. A.
[c] Διὰ τοῦδε καὶ τάσδε μόνας τρεῖς ὁ βίος] Dedi τοῦτο δὲ pro τοῦδε. Redde, *Quapropter in vulgari hominum sermone tres Gratiæ tantum celebrantur.* Quam sensum vocis βίος breviter declaravit Valc-

τρεῖς ὁ βίος [d]κατηυφήμησε. Λέγεσθαι [e]δὲ χάριν καὶ τὴν ἐν ὄψει ἢ ἐν λόγοις, καθ' ἣν [f]τὸν μὲν εὔχαριν ὀνομάζεσθαι, τὸν δ' ἐπίχαριν. Βίον δ' αἱρήσεσθαι τὸν σπουδαῖον τὸν μετ' ἀρετῆς, [g]εἴτ' ἐφ' ἡγεμονίας ποτὲ γένοιτο, τῶν καιρῶν αὐτὸν προαγαγόντων, εἴτ' [h]ἐπὶ βασιλεῖ δέοι συμβιοῦν, εἴτε καὶ [i]νομοθετεῖν, ἢ ἄλλως πολιτεύεσθαι. Τούτων δὲ μὴ τυγχάνοντα, πρὸς τὸ δημοτικὸν τραπήσεσθαι σχῆμα [j]διαγωγῆς, ἢ τὸ θεωρητικὸν, ἢ μέσον παιδευτικόν. Προαιρήσεσθαι μὲν γὰρ καὶ πράττειν καὶ θεωρεῖν τὰ καλά. Κωλυόμενον δὲ περὶ ἄμφω γίγνεσθαι διὰ καιροὺς, θατέρῳ [k]χρῆσθαι, [l]προτιμῶντα μὲν τὸν θεωρητικὸν βίον, διὰ [m]δὲ
[II.312] [n]τὸ κοινωνικὸν ἐπὶ τὰς πολιτικὰς ὁρμῶντα [o]πράξεις. Δι' ὃ καὶ γαμήσειν, καὶ [p]παιδοποιήσεσθαι, καὶ πολιτεύσεσθαι, καὶ ἐρασθήσεσθαι τὸν σώφρονα ἔρωτα, καὶ [q]μεθυσθήσεσθαι κατὰ συμπεριφοράς, κἂν εἰ μὴ προηγουμένως, καὶ [r]καθόλου τὴν ἀρετὴν ἀσκοῦντα καὶ μένειν ἐν τῷ βίῳ, καὶ πάλιν εἰ δέοι ποτὲ δι' ἀνάγκας ἀπαλλαγήσεσθαι, ταφῆς [s]προνοήσαντα, κατὰ νόμον καὶ τὸ πάτριον ἔθος, καὶ τῶν ἄλλων, ὅσα τοῖς κατοιχομένοις ἐπιτελεῖν ὅσιον. Βίων δὲ [t]τριττὰς ἰδέας εἶναι, πρακτικὸν, θεωρητικὸν, σύνθετον ἐξ ἀμφοῖν. [u]Τὸν μὲν γὰρ ἀπολαυστικὸν ἥττονα ἢ κατ' ἄνθρωπον εἶναι, προκρίνεσθαι δὲ τῶν ἄλλων τὸν θεωρητικόν. Πολιτεύεσθαί

kenær. ad Ammon. p. 11. n. 57. Perperam omnino edidit Heeren. διὰ τοῦδε χάριτάς τε μόνας ὁ Βίας κ.

d κατεφήμησε] κατ' εὐφήμισε V. A.

e γὰρ deest V. δὲ A.

f μὲν τὸν] τὸν μὲν V. A.

g εἴτ' ἐφ'] ἢ ἐφ' A.

h ἐπεὶ, *siquidem*, rescripsi pro ἐπί. HEEREN.

i νομοθετεῖν] μονοθετεῖν A.

j διαγωγῆς] δι' ἀγωγῆς V.

k χρῆσθαι] χρήσεσθαι Heeren.

l προτιμῶντα] –μῶντας V. A.

m δὲ om. A.

n τὸν] τὸ Heeren.

o πράξεις] τάξεως A.

p παιδοποιήσεσθαι] παιδοποιήσασθαι A.

q μεμυθ.] μεθυσθήσεσθαι V. A.

r καθόλου] καθόλου V. A.

s προνοήσαντας] –σαντα κατὰ νόμον καὶ τὸ etc. V. A.

t περιττὰς] τριττὰς V. A. Cant. in marg.

u Τὸν μὲν] τὸ μὲν A.

τε τὸν σπουδαῖον προηγουμένως, μὴ κατὰ περίστασιν· τὸν γὰρ πρακτικὸν βίον τὸν αὐτὸν εἶναι τῷ πολιτικῷ. Βίον δὲ κράτιστον μὲν [x]τὸν κατ' ἀρετήν, ἐν τοῖς κατὰ φύσιν· [II.314] δεύτερον δὲ, [y]τὸν κατὰ τὴν μέσην ἕξιν, τὰ πλεῖστα καὶ κυριώτατα τῶν κατὰ φύσιν ἔχοντα· τούτους [z]μὲν οὖν αἱρετοὺς, φευκτέον δὲ τὸν [a]κατὰ κακίαν. Διαφέρειν δὲ τὸν εὐδαίμονα βίον τοῦ καλοῦ, καθ' ὅσον ὁ μὲν ἐν τοῖς κατὰ φύσιν εἶναι βούλεται διαπαντὸς, ὁ δὲ καὶ ἐν τοῖς παρὰ φύσιν· καὶ πρὸς ὃν μὲν [b]οὐκ αὐτάρκης ἡ ἀρετὴ, πρὸς [c]ὃν δὲ αὐτάρκης. Μέσον [d]δέ τινα βίον εἶναι τὸν κατὰ τὴν μέσην ἕξιν, ἐν ᾧ καὶ τὰ καθήκοντα ἀποδίδοσθαι· τὰ μὲν γὰρ κατορθώματα ἐν τῷ κατ' ἀρετὴν εἶναι βίῳ, τὰ δ' ἁμαρτήματα ἐν τῷ κατὰ [e]κακίαν, τὰ δὲ καθήκοντα ἐν τῷ μέσῳ καλουμένῳ βίῳ.

Τεθεωρημένων δὲ τούτων, καὶ ταῦτα διαλάβωμεν· εἶναι μὲν γὰρ τὴν ἠθικὴν ἀρετὴν κοινῶς ἕξιν προαιρετικὴν τῶν μέσων ἡδονῶν τε καὶ λυπῶν, στοχαστικὴν τοῦ καλοῦ [f]ἢ καλὸν, τὴν δὲ κακίαν ὑπεναντίαν εἶναι [g]αὐτῇ· κοινὴν [h]δὲ

[x] τὸν εὖ] εὖ deest V. A.
[y] τὸν] τῶν V.
[z] Post μὲν add. οὖν V. A. P.
[a] τῶν κατακίαν] τὸν κατὰ κακίαν V. A. P.
[b] οὐκ αὐτάρκης] οὐκ αὐτάρκην V.
[c] ὃν δὲ] ὃ V. A.
[d] τι τινὰ] τι om. A.
[e] κίαν] κακίαν V. A.
[f] ἦ καλὸν, *quatenus honestum*, edidi pro ἢ καλόν. Verterat jam sic Canterus. HEEREN.
[g] ταύτην κοινὴν δὴ] ταύτης (αὐτῇ A.) κοινὸν δὲ V. A.
ib. αὐτῇ codd. V. A. E. pro ταύτην ap. Cant. HEEREN.
[h] δὲ cod. E. bene pro δή. Sed in sequentibus hæreo, eaque non corrupta modo, sed mutilata puto. Sed ut certum de omni h. l. judicium ferre possis, hæc ante omnia tenenda sunt. Ponit Aristoteles Eth. VI. c. 1—4. omnino duplex genus virtutum, quæ in duplici animæ parte, ratione vel prædita vel ea destituta, sedem habeant; in hac virtutes morales (ἠθικαὶ), in illa rationales, (διανοητικαί.) Pars autem animæ rationalis iterum comprehendit τὸ ἐπιστημονικὸν, quod certe scimus, i. e. quod aliter esse nequit, et τὸ λογιστικὸν sive τὸ δοξαστικὸν, de quo valet opinio, cum vel sic vel aliter esse possit. Ad prius quinque pertinent species, nempe ars, (τέχνη) scientia (ἐπιστήμη), prudentia (φρόνησις), sapientia (σοφία), mens (νοῦς). His

[II.316] δοξαστικῆς καὶ ἠθικῆς ἕξιν θεωρητικὴν, καὶ προαιρετικὴν, καὶ πρακτικὴν τῶν ἐν ταῖς πράξεσι καλῶν· τὴν δὲ κοινὴν [i] καὶ τοῦ ἐπιστημονικοῦ κοινὴν ἀκρότητα λογικῆς κατασκευῆς εἶναι θεωρητικὴν καὶ [k] πρακτικήν· σοφίαν δὲ, καὶ [l] ἐπιστήμην [m] τῶν πρώτων αἰτιῶν· φρόνησιν δὲ, ἕξιν βουλευτικὴν καὶ πρακτικὴν ἀγαθῶν καὶ καλῶν [n] ἢ καλά· ἀνδρείαν δὲ, ἕξιν ἐν [o] θαρρήσει καὶ φόβοις τοῖς μέσοις ἄμεμπτον· σωφροσύνην δὲ, ἕξιν ἐν αἱρέσει καὶ φυγῇ [p] ἀμέμπτους ποιοῦσαν, [q] δι' αὐτὸ τὸ καλόν· πραότητα δὲ, ἕξιν μέσην

præmissis loco nostro quodammodo lux accendi poterit. Convenire enim dicit virtutem ethicam et δοξαστικὴν in eo, ut habitum requirant et contemplantem, et eligentem, et agentem eorum quæ honesta sunt. Et hæc quidem satis clara videntur; sed sequentia nemo facile expediet. Corruptelam jam latere certum est in proximis verbis, τὴν δὲ κοινὴν ἐκ (codd. V. A. καὶ) τοῦ ἐπιστημονικοῦ, quæ sensu carent. Præterea quæ mox sequuntur σοφίαν δὲ etc. non cohærent cum præcedentibus; pergit enim subito scriptor in explicandis singulis virtutibus, quarum enumeratio et initio caret, et simul manca est. Nam ex quinque virtutibus διανοητικαῖς duo tantum explicantur, σοφία et φρόνησις, reliquæ tres desiderantur. Has vero excipiunt virtutes ethicæ, quarum ordinem ex Aristotele petitum esse mox videbimus. Verba itaque τὴν δὲ κοινὴν—πρακτικὴν non corrupta modo, sed et mutilata esse, et reliquas tres species virtutis διανοητικῆς, nempe τέχνην ἐπιστήμην et νοῦν, supplendas esse jure suspicaberis. Quare judicent alii, num pro τὴν δὲ κοινὴν καὶ τοῦ ἐπιστημονικοῦ κοινὴν ἀκρότητα etc. forte legendum sit: τὴν δὲ τέχνην, καὶ ἐπιστήμην καὶ νοῦν κοινὴν ἀκρότητα etc. *artem et scientiam et mentem hoc commune habere, ut tum in theoria tum in praxi sine intellectus perfectione esse nequeant.* Quomodo enim κοινὴν pro τέχνην exhibere potuerit librarius, cum κοινὴν et modo præcesserit, et statim iterum sequatur, satis apparet. Emendationem modo propositam expressi in versione. Verum in re incerta, nec ipsa emendatione satis clara, nihil in contextu immutare ausus sum; probabiliora vero si sint qui proponant, meas conjecturas reponi facile patiar. HEEREN.

[i] ἐκ τοῦ] καὶ τοῦ V. A.

[k] Post πρακτικὴν in A. ἃ τῶν ἐν ταῖς πράξεσι καλῶν cum παρέλκει in marg.

[l] ἐπιστήμην] καὶ ἐπιστήμην A.

[m] τῶν πρώτων] κατὰ πρώτων V.

[n] ἢ καλὰ, *quatenus honesta*, iterum edidi pro ἢ καλὰ ap. Cant. HEEREN.

[o] θάρσει] θαρρήσει V. A.

[p] ἀμέμπτως] ἀμέμπτους V. A.

[q] διὰ τὸ] δι' αὐτὸ V. A.

[II.318] ὀργιλότητος καὶ ἀναλγησίας· ἐλευθεριότητα δὲ, μεσότητα
[r]ἀσωτίας καὶ ἀνελευθερίας· μεγαλοψυχίαν δὲ, μεσότητα χαυνότητος καὶ μικροψυχίας· [s]μεγαλοπρέπειαν [t]δὲ, ... μεσότητα φθονερίας καὶ ἐπιχαιρεκακίας· [u]σεμνότητα δὲ, μεσότητα αὐθαδείας καὶ ἀρεσκείας· αἰδῶ δὲ, μεσότητα ἀναισχυντίας καὶ καταπλήξεως· εὐτραπελίαν p. 195.
δὲ, (μεσότητα) βωμολοχίας καὶ ἀγροικίας· φιλίαν δὲ, μεσότητα [x]καλοκαγαθίας καὶ ἔχθρας· ἀλήθειαν δὲ, μεσότητα εἰρωνείας καὶ ἀλαζονείας· δικαιοσύνην δὲ, μεσότητα ὑπεροχῆς καὶ ἐλλείψεως, καὶ πολλοῦ καὶ ὀλίγου. Πολλῶν δὲ καὶ ἄλλων οὐσῶν ἀρετῶν, τῶν μὲν καθ' αὑτὰς, τῶν δὲ ἐν εἴδεσι τῶν εἰρημένων, (οἷον ὑπὸ μὲν τὴν δικαιοσύνην εὐσεβείας, [y]ὁσιότητος, χρηστότητος, εὐκοινωνησίας, εὐσυναλλαξίας· ὑπὸ δὲ τὴν σωφροσύνην, εὐκοσμίας, εὐταξίας, αὐταρκείας,) [z]ἐπιδραμεῖν οὐκ ἄτοπον καὶ τοὺς τούτων [a]ὅρους. Εὐσέβειαν μὲν οὖν εἶναι ἕξιν θεῶν καὶ δαιμόνων θεραπευτικὴν, μεταξὺ
[II.320] οὖσαν [b]ἀθεότητος καὶ δεισιδαιμονίας· ὁσιότητα δὲ, ἕξιν δικαίων τῶν πρὸς τοὺς θεοὺς καὶ [c]κατοιχομένους τηρητικὴν, μεταξὺ ἀνοσιότητος οὖσαν καὶ ἀνωνύμου τινός· χρηστότητα δὲ, ἕξιν ἑκουσίως εὐποιητικὴν ἀνθρώπων, αὐτῶν [d]οἰκείων

[r] ἀσωτείας] –τίας V. A.

[s] Post μεγαλοπρέπειαν aliquid excidisse clarum est. Facile tamen locus sic suppletur ex Aristotel. Mag. Eth. I. cap. 27. μεγαλοπρέπειαν δὲ μεσότητα ἀλαζονείας καὶ μικροπρεπείας, *medium inter ostentationem et indecoram parsimoniam.* Νέμεσιν δὲ μεσότητα φθονερίας καὶ ἐπιχαιρεκακίας, *justam vero indignationem medium inter invidentiam et malevolentiam.* Est nempe νέμεσις, ut pergit Aristoteles, περὶ ἀγαθὰ ἃ τυγχάνει ὑπάρχοντα ἀναξίῳ ὄντι λύπη τις, *indignatio ob bona quæ indigno evenerunt.* HEEREN.

[t] δὲ ante μεσ. deest V. A.

[u] Verba σεμνότητα — ἀρεσκείας desunt V. A.

[x] Pro καλοκαγαθίας ap. Arist. l. c. c. 32. legitur κολακείας, *medium inter assentationem et inimicitiam,* quod nostro quoque loco reponendum puto. HEEREN.

[y] Post ὁσιότητος add. χρηστότητος V. A. P.

[z] ἐπιδραμεῖν] ἐπιδρομὴν V.

[a] ὅρους] τόπους A.

[b] ἀθεότητος] θεότητος A.

[c] κατοιχομένων] κατοιχομένους Heeren. *erga deos et mortuos* Canter.

[d] οἰκείων] ἐκείνων Cant. in marg.

χάριν, μεταξὺ πονηρίας οὖσαν καὶ ἀνωνύμου· εὐκοινωνησίαν δὲ, ἕξιν ἀμέμπτους [e]ὅθεν [f]κοινωνία παρεχομένην, μεταξὺ [g]ἀκοινωνησίας οὖσαν καὶ ἀνωνύμου· εὐσυναλλαξίαν δὲ, ἕξιν εὐλαβητικὴν τῆς ἐν τοῖς συμβαλλομένοις ἀδικίας, μεταξὺ [h]ἀσυναλλαξίας οὖσαν καὶ ἀνωνύμου, ([i]τὴν δὲ ἀνώνυμον κατὰ τὸ ἀκροδίκαιον εἶναί πως·) [j]εὐκοσμίαν δὲ, ἕξιν περί τε κινήσεις καὶ σχέσεις τηρητικὴν τοῦ πρέποντος, μεταξὺ οὖσαν ἀκοσμίας καὶ ἀνωνύμου· εὐταξίαν δὲ, ἕξιν στοχαστικὴν τοῦ περὶ τάξιν καλοῦ, μεταξὺ ἀταξίας οὖσαν καὶ ἀνωνύμου· αὐτάρκειαν δὲ, ἕξιν ἀρκουμένην τοῖς τυχοῦσι μετὰ ἐλευθεριότητος, μεταξὺ [k]πτωχείας οὖσαν καὶ πολυτελείας· [II.322] εὐψυχίαν δὲ, ἕξιν ἀήττητον ἐν δεινῶν ὑπομοναῖς, μεταξὺ ἀψυχίας καὶ [l]ἀρειμανιότητος· [m]φιλοπονίαν δὲ, ἕξιν [n]ἀνένδοτον πόνοις, ἐξεργαστικὴν τοῦ καλοῦ, μεταξὺ μαλακίας τε καὶ [o]ματαιοπονίας. Τὴν δ' ἐκ πασῶν τῶν ἠθικῶν ἀρετὴν συνεστηκυῖαν λέγεσθαι μὲν καλοκαγαθίαν, τελείαν δὲ ἀρετὴν εἶναι, τά τε ἀγαθὰ [p]ὠφέλιμα καὶ καλὰ ποιοῦσαν, τά τε καλὰ δι' αὐτὰ αἱρουμένην.

Διωρισμένων δ' ἱκανῶς τῶν περὶ τὰς ἀρετὰς, καὶ σχεδὸν τῶν πλείστων [q]ἀνειλημμένων [r]κεφαλαίων τοῦ ἠθικοῦ τόπου, ἀναγκαῖον ἐφεξῆς καὶ περὶ τοῦ οἰκονομικοῦ τε καὶ

[e] ὅθεν κοινωνία] Suspicabar ἐν κοινωνίᾳ. Sed ferri quoque potest ὅθεν κοινωνία, *ubi communicandum est cum aliis.* HEEREN.

[f] κοινωνία] κοινωνίαν V.

[g] ἀκοινωνησίαν] –σίας A.

[h] συναλλαξίας] ἀσυναλλαξίας V. A.

[i] τὸν δὲ ἀνώνυμον] τὴν δὲ ἀνώνυμον V. A.

[j] Post εὐκοσμίαν add. δὲ, ἕξιν περί τε κινήσεις καὶ σχέσεις τηρητικὴν τοῦ πρέποντος, μεταξὺ οὖσαν ἀκοσμίας καὶ ἀνωνύμου. Εὐταξίαν δὲ ἕξιν στοχαστικὴν etc. V. A.

[k] πτωχείας] πτωχίας V. A.

[l] ἀριμανιότητος] Dedi ἀρειμανιότητος.

[m] Post φιλοπονίαν add. δὲ V. A.

[n] ἀνένδοτον] ἀνεύδοτον A.

[o] μεταιοπονίας] ματαιοπονίας V. A.

[p] ὠφέλιμα] ὠφέλημα A.

ib. ὠφέλιμα καὶ καλὰ] καὶ καλὰ καὶ ὠφέλιμα ed. Heeren.

[q] ἀνειλημμένων] ἀνειλημένων A.

[r] κεφαλαίων] κεφαλαίου V.

πολιτικοῦ διελθεῖν, ἐπειδὴ φύσει πολιτικὸν ζῶον [s]ἄνθρωπος. Πολιτεία δὲ πρώτη, σύνοδος ἀνδρὸς καὶ γυναικὸς [t]κατὰ νόμον ἐπὶ τέκνων γενέσει καὶ βίου κοινωνία. Τοῦτο δὲ προσονομάζεται μὲν οἶκος, ἀρχὴ δὲ πόλεώς ἐστι, περὶ οὗ δὴ καὶ λεκτέον. Μικρὰ γάρ τις ἔοικεν εἶναι πόλις ὁ οἶκος, εἴγε κατ' εὐχὴν αὐξομένου τοῦ γάμου, καὶ τῶν παίδων ἐπιδιδόντων, καὶ συνδυαζομένων ἀλλήλοις, ἕτερος οἶκος [u]ὑφίσταται, καὶ τρίτος οὕτω καὶ τέταρτος, ἐκ δὲ τούτων κώμη καὶ πόλις. Πλειόνων γὰρ γενομένων κωμῶν, πόλις
[II.324] [x]ἀπετελέσθη. [y]Δι' ὃ καὶ τὰ σπέρματα καθάπερ τῆς [z]γενέσεως τῇ πόλει παρέσχεν ὁ οἶκος, οὕτω καὶ τῆς πολιτείας. Καὶ γὰρ βασιλείας ὑπογραφὴν εἶναι περὶ τὸν οἶκον, καὶ [a]ἀριστοκρατίας, καὶ δημοκρατίας. Γονέων μὲν γὰρ πρὸς [b]τέκνα κοινωνίας [c]τὸ σχῆμα [d]βασιλικόν· [e]ἀνδρῶν δὲ πρὸς γυναῖκας, [f]ἀριστοκρατικόν· παίδων δὲ πρὸς ἀλλήλους, δημοκρατικόν. Συνέρχεται γὰρ [g]τῷ θήλει τὸ ἄρρεν κατὰ πόθον τεκνώσεως, καὶ τῆς τοῦ γένους διαμονῆς· ἐφίεσθαι γὰρ ἑκάτερον γεννήσεως. Συνελθόντων δὲ, καὶ συνεργὸν τῆς κοινωνίας προσλαμβανομένων, εἴτε φύσει δοῦλον, (ἰσχυρὸν p. 196.
μὲν τῷ σώματι πρὸς ὑπηρεσίαν, νωθῆ δὲ καὶ καθ' ἑαυτὸν ἀδύνατον διαζῆν, ᾧ τὸ ἄρχεσθαι συμφέρει,) εἴτε καὶ νόμῳ δοῦλον, ἐκ τῆς ἐπὶ τὸ αὐτὸ συνόδου, καὶ τῆς πάντων πρὸς ἓν συμφέρον προμηθείας, οἶκον συνίστασθαι. Τούτου δὲ τὴν ἀρχὴν κατὰ φύσιν ἔχειν τὸν ἄνδρα. Τὸ γὰρ βουλευτικὸν

[s] ἄνθρωπος] ὁ ἄνθρωπος A.
[t] κατὰ νόμου] κατὰ νόμον A.
[u] ἀφίσταται] ὑφίσταται V. A.
[x] ἀπετελέστη] –λέσθη A.
[y] Διὸ] Διόπερ ed. Heeren.
[z] γνώσεως] γενέσεως V. A. Cant. in marg.
[a] ἀριστοκρατίας] ἀριστοκρατείας V.
[b] τὰ ante τέκνα deest V. A.
[c] τι σχῆμα] τὸ σχῆμα V.
[d] βασιλικὸν] βασιλικῶν A.
[e] δὲ supplent codd. V. A. E. HEEREN.
[f] Post ἀριστοκρατικὸν add. παίδων δὲ (τε A.) πρὸς ἀλλήλους V. δημοκρατικὸν A. P.
[g] τῷ θήλυ] τῷ θήλει V. τὸ θήλει A.

ἐν γυναικὶ μὲν χεῖρον, ἐν παισὶ δ' οὐδέπω, περὶ δούλους οὐδ' ὅλως· τὴν δ' [h]οἰκονομικὴν φρόνησιν, διοικητικὴν οὖσαν αὐτοῦ τε καὶ [i]τῶν κατ' οἶκον, οἰκείαν ἀνδρὸς ὑπάρχειν. Ταύτης δέ, τὸ μὲν εἶναι πατρικὸν, τὸ δὲ γαμικὸν, τὸ δὲ δεσποτικὸν, τὸ δὲ χρηματιστικόν. Δεῖν γὰρ, ὥσπερ στρατιᾷ
[II.326] μὲν παρασκευῆς, πόλει δὲ προσόδων, τέχνῃ δ' ὀργάνων, οὕτω καὶ οἴκῳ τῶν ἀναγκαίων. Διττὰ δὲ ταῦτα, πρός τε τὸ [k]κοινότερον ζῆν, καὶ πρὸς τὸ εὖ. Τούτων γὰρ πρῶτον ἔχειν δεῖ πρόνοιαν τὸν οἰκονομικὸν, [l]ἢ τὰς προσόδους αὔξοντα διὰ πορισμῶν ἐλευθερίων, ἢ τὰ δαπανήματα συστέλλοντα· μέγιστον [m]γὰρ τοῦτο τὸ κεφάλαιον τῆς οἰκονομικῆς. Δι' ὃ καὶ πολλῶν ἔμπειρον [n]εἶναι [o]τὸν οἰκονομικὸν, γεωργίας, [p]προβατείας, μεταλλείας, ἵνα τοὺς [q]λυσιτελεστάτους ἅμα καὶ δικαιοτάτους [r]καρποὺς διαγινώσκῃ. Τῆς δὲ [s]χρηματιστικῆς τὴν μὲν εἶναι κρείττω, τὴν δὲ χείρω. Κρείττω μὲν, τὴν φύσει γιγνομένην, [u]χείρω δὲ, τὴν διὰ [x]καπηλικῆς· . . . [y]ἀπόχρη.

Περὶ δὲ πολιτικῆς, ταῦτ' ἂν εἴη κεφάλαια· πρῶτον μὲν, ὅτι συνέστησαν αἱ πόλεις τῇ μὲν διὰ τὸ φύσει κοινωνικὸν εἶναι τὸν ἄνθρωπον, τῇ δὲ διὰ τὸ συμφέρον. Εἶτα [z]ὅτι ἡ τελειοτάτη κοινωνία πόλις ἐστὶ, καὶ ὅτι πολίτης ἐστὶν,

h οἰκονομικ$^{ον}_{ην}$ A. qui om. φρόνησιν διοικητικὴν.
i τῶν] τὸν A.
k κοινότερον] κοινώτερον A.
l καὶ τὰς] ἢ τὰς V. A.
m δὴ τοῦτο] γὰρ τοῦτο V. A. P.
n Post εἶναι vel supplendum vel saltem subintelligendum δεῖ. HEEREN.
o τῶν] τὸν A.
p προβατίας] –βατείας V. A.
q Post λυσιτελεστάτους add. καρπούς V. A. P.
r καρποὺς, *fructus*, quod deest ap. Cant. bene supplent codd. V. A. HEEREN.
s χρηματιστικῆς] χρηματικῆς V.
u χείρω] χείρων A.
x κεπηλικοῖς. Ἀποχρὴ] καπηλικῆς. Ἀποχρὴ V. A.
y ἀπόχρη] *Sufficit.* Canterus in versione, *Atque hæc quidem de re familiari dixisse sufficiat.*
z ὅτε] ὅτι V. A.

[II.328] [a]ᾧ μέτεστι πολιτικῆς ἀρχῆς. Πόλις δὲ [b]τὸ ἐκ τῶν τοιούτων πλῆθος ἱκανὸν πρὸς αὐτάρκειαν ζωῆς. Τοῦ δὲ πλήθους [c]ὅρον εἶναι τοιοῦτον, ὥστε [d]μήτε τὴν πόλιν ἀσυμπαθῆ, μήτ' εὐκαταφρόνητον ὑπάρχειν, [e]παρεσκευάσθαι δὲ καὶ τὰ πρὸς τὴν [f]ζωὴν ἀνενδεῶς, καὶ τὰ πρὸς τοὺς ἔξωθεν ἐπιόντας ἱκανῶς. Εἶναι γὰρ τῆς φρονήσεως τὸ μὲν οἰκονομικὸν, τὸ δὲ νομοθετικὸν, τὸ δὲ πολιτικὸν, τὸ δὲ στρατηγικόν. Οἰκονομικὸν μὲν, ὡς εἶπον, τὸ διοικητικὸν αὐτοῦ τε καὶ τῶν περὶ οἶκον, [g]νομοθετικὸν δὲ, . . . τὸ περὶ τὴν θεωρίαν καὶ διοίκησιν τῶν στρατοπέδῳ συμφερόντων. Ἄρχειν δ' ἀναγκαῖον τῶν πόλεων ἢ ἕνα, ἢ ὀλίγους, ἢ πάντας. Τούτων δὲ ἕκαστον ὀρθῶς ἢ φαύλως ἔχειν. Ὀρθῶς μὲν, ὅταν οἱ ἄρχοντες τοῦ κοινῇ συμφέροντος στοχάζωνται· φαύλως δὲ, ὅταν τοῦ ἰδίου. Τὸ δὲ φαῦλον παράβασιν εἶναι τοῦ ὀρθοῦ. [h]Βασιλείαν μὲν οὖν καὶ ἀριστοκρατίαν καὶ δημοκρατίαν [i]ἐφίεσθαι τοῦ ὀρθοῦ· τυραννίδα δὲ καὶ ὀλιγαρχίαν καὶ ὀχλο-
[II.330] κρατίαν τοῦ φαύλου. Γίγνεσθαι δέ τινα καὶ μικτὴν ἐκ τῶν ὀρθῶν πολιτειῶν ἀρχήν. Μεταβάλλειν δὲ τὰς πολιτείας πολλάκις πρὸς τὸ ἄμεινον καὶ τὸ χεῖρον. Καθόλου δ' ἀρίστην εἶναι πολιτείαν τὴν κατ' ἀρετὴν [k]διακεκοσμημένην, χειρίστην δὲ, τὴν κατὰ κακίαν. Ἄρχειν δὲ καὶ βουλεύειν καὶ δικάζειν, ἐν μὲν ταῖς δημοκρατίαις ἐκ πάν-

[a] ᾧ μέτεστι rescripsi pro ὧν μέτεστι. HEEREN.

[b] τὸ ἐκ] καὶ ἐκ A.

[c] Post ὅρον add. εἶναι A.

[d] Post ὥστε add. μήτε V. A.

[e] παρασκευάσθαι] παρεσκ. A.

[f] Ante ζωὴν add. τὴν V. A.

[g] Etsi nec ap. Cant. nec in codd. ullum appareat lacunæ indicium, certum tamen est post νομοθετικὸν nonnulla hic excidisse. Patet enim desiderari descriptionem τοῦ νομοθετικοῦ et τοῦ πολιτικοῦ, quæ autem sequuntur esse descriptionem τοῦ στρατηγικοῦ, quod recte circa theoriam et administrationem rerum ad castra bellica pertinentium versari dicitur.— στρατοπέδῳ rescripsi pro στρατοπέδων ap. Cant. [et A.] HEEREN.

[h] Verba Βασιλείαν — ὀρθοῦ om. A.

[i] ἀφίεσθαι] ἐφίεσθαι V.

[k] διακεκοσμημένην] κεκοσμημένην A.

των, ἢ αἱρέσει ἢ κλήρῳ· ἐν δὲ ταῖς ὀλιγαρχίαις ἐκ τῶν εὐπόρων· ἐν δὲ ταῖς ἀριστοκρατίαις ἐκ τῶν ἀρίστων. Στάσεις δ' ἐν ταῖς πόλεσι γίγνεσθαι τὰς μὲν κατὰ λόγον, τὰς δὲ κατὰ πάθος. Κατὰ λόγον μέν, ὅταν οἱ ἴσοι ὄντες [l]ἄνισα ἔχειν [m]ἀναγκάζωνται· κατὰ πάθος δὲ, διὰ τιμὴν, ἢ φιλαρχίαν, ἢ [n]κέρδος, ἢ εὐπορίαν. Καταλύεσθαι δὲ τὰς πολιτείας διὰ δύο αἰτίας, ἢ βίᾳ, ἢ ἀπάτῃ. Μονιμωτέρους δὲ γίγνεσθαι τοῦ κοινῇ συμφέροντος ἐπιμελουμένας. Δικαστήρια δὲ, καὶ βουλευτήρια, καὶ ἐκκλησίας, καὶ ἀρχὰς, διωρίσθαι ταῖς πολιτείαις [o]οἰκείως. [p]Κοινοτάτας δ' ἀρ- p. 197.
χὰς εἶναι ἱερωσύνην θεῶν, στρατηγίαν, ναυαρχίαν, [q]ἀγορα-
[II.332] νομίαν, γυμνασιαρχίαν, γυναικονομίαν, παιδονομίαν, ἀστυνομίαν, ταμιείαν, νομοφυλακίαν, [r]πρακτορείαν. Τούτων δ' εἶναι τὰς μὲν κατὰ [s]πόλεις, τὰς δὲ κατὰ πόλεμον, τὰς δὲ περὶ τοὺς λιμένας καὶ τὰς ἐμπορίας. Πολιτικοῦ δ' ἀνδρὸς ἔργον εἶναι καὶ τὸ διορθῶσαι πολιτείαν, [t]ὃ πολὺ χαλεπώτερον φαίνεται τοῦ [u]κτίσαι· καὶ τὸ διανεῖμαι τοῦ πλῆθους τῶν ἀνθρώπων τὸ μὲν πρὸς τἀναγκαῖα, τὸ δὲ πρὸς τὰ σπουδαῖα. Δημιουργοὺς μὲν γὰρ, καὶ [v]θέτας, καὶ γεωργοὺς, καὶ ἐμπόρους, πρὸς τὸ ἀναγκαῖον, ὑπηρέτας γὰρ εἶναι τοῖς πολιτικοῖς τούτους· τὸ δὲ μάχιμον πᾶν, καὶ βουλευτικὸν, κυριώτερον εἶναι, διὰ τὸ [x]ἀρετῆς ἐπιμελεῖσθαι, καὶ περὶ τὰ καλὰ σπουδάζειν. Τούτων δὲ [y]τὸ μὲν πρεσβύτερον προ-

[l] ἴσα] ἄνισα cum Cant. in marg. ed. Heeren.

[m] ἀναγκάζονται] ἀναγκάζωνται V. A.

[n] κέρδος ἢ φιλαρχίαν] κέρδος ἢ φυγαρχίαν A. V. ἢ φιλαρχίαν om. Heeren. qui in φυγαρχίαν aliud quid latere suspicatur, veluti φιλαργυρίαν.

[o] οἰκείαις] οἰκείως V. A.

[p] Κοινοτάτας] κοινωτάτας V.

[q] ἀγορονομίαν] ἀγοράνομίαν A. ἀγρονομίαν ed. Heeren.

[r] πρακτορείαν] πρακτορίαν A.

[s] Post πόλεις add. τὰς δὲ κατὰ πόλεμον V. A.

[t] ὃ] ἢ A.

[u] κτῆσαι] κτίσαι A. V. P.

[v] θέτας] An θῆτας?

[x] καὶ ante ἀρετῆς deest V. A.

[y] τὸ μὲν—τὸ δὲ rescripsi sensu jubente pro τὸν μὲν—τὸν δὲ. HEER.

βουλεύειν, τὸ δὲ γεραρώτερον θεραπεύειν τὸ θεῖον, τὸ δὲ νέον ἅπαν προπολεμεῖν. Ταύτην δ' [z]ἀρχαίαν εἶναι πάνυ τὴν διάταξιν, Αἰγυπτίων πρώτων καταστησαμένων, πολιτικῶν δὲ καὶ τῶν ἄλλων οὐχ ἧττον· καὶ τὸ, τὰ ἱερὰ τῶν θεῶν ἐν τοῖς ἐπιφανεστάτοις ἱδρύσθαι τόποις· καὶ τὸ, τῆς τῶν ἰδιωτῶν χώρας τὸ μὲν ἕτερον πρὸς ταῖς ἐσχατιαῖς διατετάχθαι,
[II.334] τὸ δ' ἕτερον πρὸς τῇ πόλει, ἵνα δύο κλήρων [a]ἑκάστῳ νεμηθέντων, ἀμφότερα τὰ μέρη τῆς χώρας εὐσύνοπτα ὑπάρχῃ. Χρήσιμον δὲ, καὶ τὸ νομοθετεῖν συσσίτια ποιεῖσθαι, καὶ τὸ περὶ τῆς κοινῆς παιδείας τῶν τέκνων σπουδάζειν· καὶ τὸ, πρὸς τὴν ῥώμην τῶν σωμάτων καὶ τελειότητα δεῖν μήτε νεωτέρων ἄγαν μήτε πρεσβυτέρων τοὺς γάμους ποιεῖσθαι, ἀτελῆ γὰρ γίγνεσθαι κατ' ἀμφοτέρας [b]τὰς ἡλικίας καὶ τελείως ἀσθενῆ τὰ ἔκγονα. Καὶ τὸ νομοθετεῖν δὲ, [c]μηδὲν ἐκτρέφειν πεπηρωμένον, μηδ' ἐκτιθέναι τέλειον, μηδ' ἐξαμβλοῦν, συμφορώτατον δήπου. Καὶ τῶν μὲν πολιτικῶν τὰ κεφάλαια ταῦτα.

Κεφ. ζ'.

ΠΕΡΙ ΤΩΝ ΕΦ' ΗΜΙΝ.

1 Φιλήμονος [154.]

Ὅσα διὰ τοὺς πράττοντας αὐτοὺς γίγνεται,
οὐδενὶ πρόσεστιν οὐδὲ [a]κοινωνεῖ [b]τύχη.

2 Εὐριπίδου Πελιάσιν [fr. 3.]

[II.336] Οὐκ ἔστι τὰ [τῶν] θεῶν ἄδικ'· ἐν ἀνθρώποισι δὲ
[a]κακοῖς νοσοῦντα σύγχυσιν πολλὴν ἔχει.

z ἀρχαίων πάνυ] ἀρχαίαν εἶναι πάνυ V. A.

a ἐν ἑκάστῳ] Patet ἐν esse delendum. HEEREN.

b τὰς] τὰ A.

c μηδὲν] μηθὲν V. A.

1.

a κοινωνεῖν] κοινωνεῖ V. A. Grotius.

b ψύχη] τύχη Grotius.

2.

a κακοῖς deest V.

3 Μενάνδρου [fr. 592.]

Εἰ πάντες ἐβοηθοῦμεν ἀλλήλοις ἀεὶ,
οὐδεὶς ἂν ὢν ἄνθρωπος ἐδεήθη [a]τύχης.

4 Εὐριπίδου Πειρίθῳ [fr. 6.]

Ὁ πρῶτος εἰπὼν, οὐκ ἀγυμνάστῳ φρενὶ
ἔρριψεν, ὅστις τόνδ' ἐκαίνισεν λόγον,
ὡς τοῖσιν εὖ φρονοῦσι συμμαχεῖ [a]τύχη.

5 Μενάνδρου [fr. 561.]

Ἀδύνατον ὡς ἐστίν τι σῶμα τῆς [a]τύχης·
ὁ μὴ φέρων δὲ κατὰ φύσιν τὰ πράγματα
τύχην προσηγόρευσε τὸν ἑαυτοῦ τρόπον.

6 Φιλήμονος Παγκρατιάστῃ [50.]

[II.338] [a]Καὐτόν τι πράττειν, οὐ μόνον τὰς ἐλπίδας
[b]ἐπὶ τῇ [c]τύχῃ χρὴ, παιδίον, πάντως ἔχειν,
[d]ὧν βούλεταί τις· ἀλλὰ καὶ [e]τῷ τῇ τύχῃ
συλλαμβάνεσθαι ῥᾷον ἡ τύχη ποιεῖ,
[f]ἐὰν μεθ' ἑτέρου τοῦτο, μὴ μόνη, ποιῇ.

7 Μενάνδρου [a]Ῥαπιζομένῃ [415.]

Ἀτύχημα κἀδίκημα διαφορὰν ἔχει·
[b]τὸ μὲν διὰ τύχην γίγνεται, τὸ δ' αἱρέσει.

8 Εὐριπίδου Ὀρέστῃ [251.]

[II.340] Σὺ νῦν διάφερε τῶν κακῶν, ἔξεστι γὰρ,
καὶ μὴ [a]μόνον λέγ', ἀλλὰ καὶ φρόνει τάδε.

3.
a Τύχης] ψυχῆς V. A.

4.
a Τύχῃ] ψυχὴ V. A. P.

5.
a τύχης] ψυχῆς A.

6.
a Καὶ τὸν] καὐτὸν Grotius.
b ἐπὶ τύχῃ] ἐπὶ τῇ τύχῃ A.
c τύχῃ] τύχῃ χρὴ Grotius.
d ὧν] ὃ A.
e τὸ τῇ τύχῃ] τῷ τῇ ψυχῇ V. A.
f καὶ ἐὰν] καὶ deest V. A.

7.
a Ῥαπιζομένῃ] ῥαπιζομένῳ A.
b τὸ μὲν γὰρ διὰ τύχην] τὸ μὲν διὰ τύχην γὰρ γίνεται A. V.

8.
a μόνον φρονεῖ] μόνον λέγε V. A.

9 Μενάνδρου Ῥαπιζομένη [414.]

Ὁ μὴ δεχόμενος τῶν θεῶν τὸ [a]σύμφορον
αὐτῷ διδόντων ἕνεκα τοῦ ζῆν, [b]βούλεται
τοῖοσδ' ἀτυχεῖν, ἐὰν δὲ μὴ θεὸς διδῷ,
τοῦ μὴ διδόντος, οὐ τρόπου δ', ἁμαρτία.

10 Αἰσχύλου.

[a]Κοινὸν τύχη, γνώμη δὲ τῶν κεκτημένων.

11 [Euripidis.] p. 198.

Τὰ πλεῖστα θνητοῖς τῶν κακῶν αὐθαίρετα.

12 Τοῦ αὐτοῦ [[a]Ραδαμάνθ. fr. 1.]

[II.342] Ἔρωτες ἡμῖν εἰσὶ [b]παντοῖοι βίου·
ὁ μὲν γὰρ εὐγένειαν [c]ἱμείρει λαβεῖν,
[d]τῷ δ' οὐχὶ [e]τοῦτο φροντὶς, ἀλλὰ χρημάτων
πολλῶν κεκλῆσθαι βούλεται πατὴρ [f]δόμοις·
ἄλλῳ δ' ἀρέσκει μηδὲν ὑγιὲς ἐκ φρενῶν
[g]λέγοντι πείθειν τοὺς πέλας τόλμῃ κακῇ·
οἱ δ' αἰσχρὰ κέρδη πρόσθε τοῦ καλοῦ βροτῶν
ζητοῦσιν· [h]οὕτω βίοτος [i]ἀνθρώπων πλάνη.
[k]Ἐγὼ δὲ τούτων οὐδενὸς χρήζω τυχεῖν,
δόξαν [l]δὲ βουλοίμην ἂν εὐκλείας ἔχειν.

9.

[a] σύμφορον] σύμφερον Heeren.

[b] οὐ βούλεται, τὸ δ' ἀτυχεῖν ἢ τὸ μὴ θεὸς δίδωσιν, οὐ τρόπου δ' ἐσθ' ἁμάρτημα] Sic Cant. et fere A. V. in quibus ἁμαρτία. Grotius: Τοιοῦτος ἀτυχεῖν. Ἢν δὲ μὴ θεὸς διδῷ, Τοῦ μὴ διδόντος ἐσθ' ἁμάρτημ' οὐ τρόπου. Heerenius: βούλεται Τοῖοσδ' ἀτυχεῖν, ἐὰν δὲ μὴ θεὸς διδῷ Τοῦ μὴ διδόντος γ' οὐ τρόπου δ' ἁμάρτημα. Meinekius: βούλεται Οὗτος ἀτυχεῖν, ἐὰν δὲ μὴ θεὸς διδῷ, Τοῦ μὴ διδόντος οὐ τρόπου 'σθ' ἁμαρτία.

10.

[a] καινὸν] κοινὸν A.

12.

[a] Ῥαδαμάνθ.] Repetitur hoc fragmentum in Floril. LXIV. 24.

[b] παντοῖοι] πᾶν οἱ V. πᾶσι A.

[c] ἱμείρεται] ἱμείρει Flor.

[d] τὸ δ'] τῷ δ' V. A.

[e] τοῦτο] τούτου Flor.

[f] δ' ὅμως] δόμοις Flor.

[g] λέγοντα] λέγοντι Flor.

[h] οὕτω om. A. ubi βιωτὸς.

[i] ἀνθρώποις] ἀνθρώπων Flor.

[k] Desunt duo vss. seqq. Flor. δὲ post ἐγὼ addidit Grotius.

[l] δ' ἐβουλόμην] δὲ βουλοίμην V. A.

13 Ὁμήρου Ὀδυσσείας [λ'. 109.]

Εἰ μέν [a] κ' ἀσινέας ἐάας, νόστου τε μέδηαι,
καί κεν ἔτ' εἰς Ἰθάκην κακά περ [b] πάσχοντες ἵκοισθε·
εἰ δέ κε σίνηαι, τότε τοι τεκμαίρομ' ὄλεθρον.

14 Ὁμήρου Ἰλιάδος [ί. 410.]

[II.344] Μήτηρ γάρ τέ με φησὶ θεὰ, Θέτις ἀργυρόπεζα,
διχθαδίας κῆρας φέρεμεν θανάτοιο τέλοσδε.
Εἰ μέν κ' αὖθι μένων Τρώων πόλιν ἀμφιμάχωμαι
ὤλετο μέν μοι νόστος, ἀτὰρ κλέος ἄφθιτον ἔσται.
Εἰ δέ [a] κεν οἶκαδ' [b] ἵκωμαι φίλην ἐς πατρίδα γαῖαν,
ὤλετό μοι κλέος ἐσθλὸν, ἐπὶ δηρὸν δέ μοι αἰὼν
ἔσσεται, οὐδέ κέ μ' ὦκα τέλος θανάτοιο κιχείη.

15 Δημοσθένους ἐν τῷ ὑπὲρ τοῦ στεφάνου [p. 297.]

Ὁ μὲν γὰρ ἦν ἀνδρῶν [a] ἀγαθῶν ἔργον ἅπασι πέπρακται·
[b] τῇ τύχῃ δὲ, ἣν ὁ δαίμων ἕνειμεν ἑκάστῳ, ταύτῃ κέχρηνται.

16 Δημοκρίτου.

[a] Ἄνθρωποι τύχης εἴδωλον ἐπλάσαντο, πρόφασιν ἰδίης
[II.346] [b] ἀβουλίης. Βαιὰ γὰρ φρονήσει τύχη μάχεται, τὰ δὲ
πλεῖστα ἐν βίῳ [c] εὐσύνετος ὀξυδερκεῖν [d] κατιθύνει.

17 Ἀναξιμένους.

Τὸ γὰρ δυσλόγιστον τοῦ βίου τοῖς ἀνθρώποις τύχην

13.

a κ' ἀσινέας ἐάας] κεασι νέας V. κεάσι νέας A.

b πάσχοντες] πάσχον A.

14.

a κεν] μὲν V. A.

b ἵκωμαι] ἵκωμεν V. ἵκοιμι Grotius.

15.

a ἀγαθῶν] ἀγαθὸν A.

b ἡ τύχη δὲ ἣν ὁ δαίμων ἔνει μὲν ἑκάστῳ, ταύτῃ κέχρηται] τῇ τύχῃ δὲ ἣν ὁ δαίμων ἔνοιμεν ἑκάστῳ ταύτῃ κέχρηνται V. A.

16.

a Ἀνθρώπου τύχης] Ἄνθρωποι V. A.

b ἀβουλίης. Βαιᾷ] ἀβουλίας. βαιᾷ A. βαιὰ Heeren.

c εὐξύνετος] εὐσύνετος A. ὀξυδερκεῖν una voce V. A.

d κατευθύνει] κατιθύνει V. A.

προσαγορεύειν εἰώθαμεν. Εἰ γὰρ ταῖς γνώμαις πάντα [a]κατορθοῦμεν, [b]ὄνομα τῆς [c]τύχης οὐκ ἂν [d]ἦν.

18 Ἐπανδρίδου.

Φρόνιμος ὁ δι' ἑαυτὸν εὖ πρήσσων, ὁ δὲ διὰ τὴν τύχην, μακάριος.

19 Τοῦ αὐτοῦ.

Φρόνησις εὐτυχίην ὡς τὰ πολλὰ χαρίζεται, τύχη δὲ φρόνησιν οὐ ποιεῖ.

20 Θουκυδίδου δημηγορίας Ἀθηναίων [α'. 75.]

Πᾶσι δὲ ἀνεπίφθονον τὰ ξυμφέροντα τῶν μεγίστων πέρι κινδύνων εὖ τίθεσθαι.

21 Διογένους.

[II.348] Διογένης ἔφη νομίζειν ὁρᾶν τὴν [a]Τύχην ἐνορῶσαν αὐτῷ καὶ λέγουσαν,

[b]Τοῦτον δ' οὐ δύναμαι [c]βαλέειν κύνα λυσσητῆρα.

22 Ἐκ τοῦ Ἐπικτήτου Ἐγχειριδίου [c. 9.]

Νόσος σώματός ἐστιν ἐμπόδιον, προαιρέσεως δὲ οὐκ [a]ἔστιν, ἐὰν μὴ αὐτὴ θελήσῃ. Χώλωσις σκέλους ἐστὶν ἐμπόδιον, [[b]προαιρέσεως δὲ οὔ. Καὶ τοῦτο ἐφ' ἑκάστου τῶν ἐμπιπτόντων ἐπίλεγε· εὑρήσεις γὰρ αὐτὸ ἄλλου τινὸς ἐμπόδιον,] [c]σὸν δὲ οὔ.

17.

[a] κατώρθομαι] κατορθοῦμεν V. A.
[b] ὀνόματα τύχης] ὀνόματα ψυχῆς A.
[c] τύχης] ψυχῆς V. A.
[d] εἴη] ἦν V. A.

21.

[a] ψυχὴν] τύχην Heeren. qui mox αὐτὸν pro αὐτῷ.
[b] Τοῦτον] Il. θ'. 299.
[c] βαλέειν deest V. A.

22.

[a] Post ἐστὶν add. et l. ἐὰν μὴ αὐτὴ θελήσῃ· χώλωσις σκέλους ἐστιν ἐμπόδιον· σῶν δ' οὐ μή· ζήτει τὰ γινόμενα γίγνεσθαι ὡς θέλεις, ἀλλὰ θέλε etc. V. A.
[b] προαιρέσεως—ἐμπόδιον inseruit Heeren. ex Epict.
[c] σῶν] Dedi σόν. Heeren. ex Epict. σοῦ.

23 Τοῦ αὐτοῦ. [c. 8.]

Μὴ ζήτει τὰ γιγνόμενα γίγνεσθαι ὡς [a]θέλεις, ἀλλὰ θέλε ὡς τὰ γιγνόμενα γίγνεται, καὶ [b]εὐροήσεις.

24 [a]Κρίτωνος Πυθαγορίου ἐκ τοῦ Περὶ Φρονήσεως.

[II.350] Ὁ γὰρ θεὸς οὕτως [b]ἐτεχνάσατο τὸν ἄνθρωπον, [c]δηλούμενος αὐτὸν μήτ' ἀδυνάτως ἔχειν [d]ποττὰν τῶν καλῶν ὁρμὰν, μήτε μὰν πάλιν ἀπροαιρέτως. Ἀρχὰν γὰρ αὐτῷ ἐνεφύτευσε τοιαύταν, ἅ τις καὶ τὸ δυνατὸν ἅμα περιέχει καὶ τὸ προαιρετὸν, ἵνα τᾶς μὲν δυνάμιος καὶ κατοχᾶς τῶν ἀγαθῶν αὐτὸς αἴτιος ᾖ, [e]τᾶς δ' ἐπὶ [f]ταῦτα παρορμάσιος, [g]καὶ κατ' ὀρθὸν λόγον [h]ὀπαδήσιος, ὁ θεός. Καὶ διὰ τοῦτο [i]ἀναθρώσκοντα αὐτὸν ἐποίησεν [j]εἰς τὸν οὐρανὸν, [k]καὶ αὐτὸν [l]νοατικὸν, καὶ ὄψιν αὐτῷ [m]ἐνέφυσε τοιαύταν, τὸν προσαγορευόμενον νόον, [n]ᾧ τὸν θεὸν ὄψεται. Οὔτε γὰρ ἄνευ θεῶν τὸ ἄριστον καὶ τὸ κάλλιστον ἦν εὑρεῖν, οὔτ' ἄνευ νόω ἰδεῖν τὸν

23.

Codd. V. A. E. in marg. τοῦ αὐτοῦ. Legitur apud Epictet. c. 8. τὸ, quod ante τὸ inserit Cant., recte delent codd. V. A. E. Ultima paulo plenius in Epict. ἀλλὰ θέλε γίγνεσθαι τὰ γινόμενα ὡς γίνεται, καὶ εὐροήσεις, ut adeo γίγνεσθαι post θέλε excidisse videatur.—εὐροήσεις, *felix eris, successum habebis,* (solita Stoicis metaphora,) edidi pro εὑρήσεις ap. Cant. HEEREN.

a θέλῃς] θέλεις Epict.

b εὑρήσεις] εὐροήσεις Heeren. ex Epict.

24.

a Κρίτωνος] Χαρίτωνος A.

b τεχνάσατο] ἐτεχνάσατο V. A.

c δηλούμενος pro δηλούμενον servarunt codd. V. A. HEEREN. In A. certe δηλούμενον.

d ποτε ἂν] ποτ' ἂν A. Dedi ποττὰν.

e τᾶς] τὰς V.

f ταῦτα, ut ad ἀγαθὰ referatur, edidi pro ταύτας. HEEREN.

g κατ' ὀρθὸν] καὶ κατ' ὀρθὸν V. A.

h ὀπαδήσιος] ὀπαδόσιος A.

i ἀναθρώσκοντα] An l. ἀναθροῦντα. Vid. Platon. Crat. 399 C.

j εἰς] ἐς A.

k In verbis καὶ αὐτὸν νοατικὸν procul dubio corruptela latet; non enim modo languet αὐτὸν, sed νοατικὸν quoque vix ferendum videtur, cum hanc humanæ naturæ, ob mentem ipsi inditam, præstantiam, statim postea celebret. Sed in codd. nihil præsidii, nisi quod V. A. νοατὸν offerunt pro νοατικὸν, quo nihil proficimus. Quid tamen legendum sit, aliis indagandum relinquimus. HEEREN.

l νοατικὸν] νοατὸν A. An l. αὐτονόατον?

m ἐνέφυσε] ἐνεφύσησε V.

n ὅταν] ᾧ τὸν V. A. qui ὄψεται pro ὄψηται.

[o]θεὸν αὐτὸν, ἐπειδὴ πᾶν τὸ θνατὸν φύσιν ἔχει μετ' ἀφροσύνας
[II.352] συγγενέος ῥιζοῦσθαι· καὶ [p]ταύτην οὐχ ὁ θεός ἐστιν ὁ δωρούμενος, [q]ἀλλ' ἃ τᾶς γενέσιος [r]οὐσία καὶ τᾶς αὐτῶν ψυχᾶς ἁ προαίρεσις.

25 Ἐκ τοῦ Πλουτάρχου εἰ ἡ τῶν μελλόντων πρόγνωσις ὠφέλιμος. [Fr. XV. p. 548 = 824.]

Ὁ δὲ Νέστωρ οὐκ ἀβέλτερος, ὕπνου φθονῶν τοῖς τὰς ναῦς φυλάσσουσι, καὶ διακελευόμενος,[a]

Οὕτω νῦν φίλα τέκνα φυλάσσετε, μηδέ τιν' ὕπνος p. 199.
[b]αἱρείτω, μὴ χάρμα γενώμεθα δυσμενέεσσιν;

Οὐ γενησόμεθα, φησί τις, οὐδ' ἂν καθεύδωμεν, εἰ πεπρωμένον ἐστὶ μὴ ἁλῶναι [c]τὸν [d]ναύσταθμον; [e]Τίς οὐκ ἂν εἴποι πρὸς τοὺς ταῦτα ληροῦντας, ὅτι καθείμαρται μὲν ἴσως ἅπαντα ταῦτα, [f]συγκαθείμαρται δὲ ἑκάστῳ τὸ διὰ τούτων καὶ τὸ ἐν τούτοις, καὶ οὕτω, καὶ τὸ μὴ ἄλλως συντελεῖσθαι δίχα τούτων; Οὐ γάρ ἐστι φυλακὴ καθευδόντων, οὐδὲ νίκη φευγόντων, οὐδὲ θερίσαι μὴ σπειράντων τὴν ἀγαθὴν γῆν καὶ καθαρὰν, οὐδὲ γεννῆσαι μὴ [g]συγγενόμενον γυναικὶ ἡλικίαν [h]ἐχούσῃ καὶ σώματος φύσιν γόνιμον, οὐδὲ [i]ἄγρας τυχεῖν ἐν ἀθήροις χωρίοις.

26 [a]Αἰσχίνου.

[II.354] Ἀνθρώπῳ δέ [b]τε οὐκ [c]ἄπορον καλὸν κἀγαθὸν εἶναι.

o Post θεὸν add. αὐτὸν V. A. P.
p ταῦτα] ταύτην A.
q ἀλλ' ἁ, nempe οὐσία, rescripsi pro ἀλλὰ. HEEREN.
r οὐσία] οὐσίας V. A.

25.

a Sunt versus Hom. Il. κ'. 192.
b αἱρέτω] αἱροῖτο V. A.
c τὸ] τὸν V. A. Supra καθεύδομεν A.
d δύσταθμον] ναύσταθμον Cant. in marg.
e Τίς] τις οὖν Heeren.
f καθείμαρται] –μαρτε sic et altera linea V.
g συγγενόμενον] συγγενομένων Heeren.
h ἔχουσι] ἐχούση V. A.
i ἀργᾶς] ἄγρας A.

26.

a Αἰσχίνου] αἰσχύνους A.
b τε] τὸ A.
c ἄπορον] ἄπειρον A.

27 Ἐκ τοῦ Ἐπικτήτου Ἐγχειριδίου [c. 17.]

Μέμνησο ὅτι ὑποκριτὴς εἶ δράματος, οἷον [a]ἂν θέλῃ ὁ διδάσκαλος· ἂν βραχύ, [b]βραχέος· ἂν μακρόν, μακροῦ· ἂν πτωχὸν ὑποκρίνασθαί [c]σε θέλῃ, τοῦτον ἵνα καλῶς ὑποκρίνῃ· ἂν χωλόν, ἂν ἄρχοντα, ἂν ἰδιώτην. [d]Σὸν γάρ ἐστι τὸ δοθὲν πρόσωπον ὑποκρίνασθαι καλῶς, ἐκλέξασθαι δὲ τὸ πρόσωπον, ἄλλου.

28 [a]Ἐπικούρου.

Βραχεῖα σοφῷ τύχη παρεμπίπτει, τὰ [b]δὲ μέγιστα καὶ κυριώτατα λογισμὸς [c]διώκηκε κατὰ τὸν βίον καὶ συνεχῆ χρόνον.

29 Σωκράτους.

[II.356] Σωκράτης ἔφη μεγίστην μὲν ἀρχὴν εἶναι τὴν βασιλείαν, ἀρίστην δὲ τὸ ἑαυτοῦ ἄρχειν.

30 [a]Ῥούφου ἐκ τῶν Ἐπικτήτου περὶ Φιλίας.

[b]Τῶν ὄντων τὰ μὲν ἐφ' ἡμῖν ἔθετο ὁ θεὸς, τὰ δ' οὐκ

27.

[a] ἐὰν θέλῃ] ἐὰν θελήσῃ A. ἂν θέλῃ Heeren.

[b] βραχέος] βραδέος A.

[c] θέλῃ] σε θέλῃ Heeren. cum Epict. σε om. A.

[d] Σὸν] σὴν A.

28.

[a] Ἐπικούρου] Est hæc ex κυρίαις δόξαις philosophi; inter quas eam servavit Diog. X. 144. ubi paulo plenius sic legitur: Βραχεῖα σοφῷ τύχη παρεμπίπτει, τὰ δὲ μέγιστα καὶ κυριώτατα ὁ λογισμὸς διώκηκε, (διώκει ed. Bas.) καὶ κατὰ τὸν συνεχῆ χρόνον τοῦ βίου (τοῦ βίου om. Bas.) διοικεῖ, καὶ διοικήσει. Emendanda ex his ultima verba, quæ ap. Cant. sic exstant: λογισμὸς διώκηκε καὶ τὸν βίον ἡ (κατὰ τὸν βιὸν καὶ A.) συνεχῆ χρόνον, nullo sensu. Cod. V. διώκει κατὰ τὸν βίον καὶ συνεχῆ χρόνον. Attamen vel sic verba καὶ συνεχῆ χρόνον languent cum κατὰ τὸν βίον modo præcesserit. Rescripsi itaque: κατὰ τὸν τοῦ βίου συνεχῆ χρόνον, *per omne vitæ tempus*. Latine eam expressit Cic. de Fin. I. 19. ita tamen ut ultima iterum paulo aliter legisse videatur: *Optime vero Epicurus, quod exiguam, dicit, fortunam intervenire sapienti; maximasque ab eo et gravissimas res consilio ipsius et ratione administrari; neque majorem voluptatem ex infinito tempore ætatis percipi posse, quam ex hoc percipiatur, quod videamus esse finitum.* HEEREN.

[b] δὲ] μηδὲ V. A.

[c] διώκηκε καὶ τὸν βίον ἡ σ.] διώκηκε κατὰ τὸν βίον καὶ συνεχῆ χρόνον V. A.

30.

[a] Ῥούφου] Apud Schweighæuser. fr. CLIX.

[b] Τῶν ὄντα] τῶν ὄντων τὰ μὲν etc. V. A.

[c]ἐφ' ἡμῖν. Ἐφ' ἡμῖν μὲν τὸ κάλλιστον καὶ σπουδαιότατον, ᾧ δὴ καὶ αὐτὸς εὐδαίμων ἐστὶ, [d]τὴν χρῆσιν τῶν φαντασιῶν. Τοῦτο γὰρ ὀρθῶς γιγνόμενον [e]ἐλευθερία ἐστὶ, [f]εὔροια, εὐθυμία, [g]εὐστάθεια, τοῦτο δὲ καὶ δίκη ἐστὶ, καὶ νόμος, καὶ σωφροσύνη, καὶ ξύμπασα ἀρετή. Τὰ δ' ἄλλα πάντα οὐκ ἐφ' ἡμῖν ἐποιήσατο. Οὐκοῦν καὶ ἡμᾶς συμψήφους χρὴ τῷ θεῷ γενέσθαι, καὶ ταύτῃ διελόντας τὰ πράγματα, τῶν μὲν ἐφ' [h]ἡμῖν πάντα τρόπον ἀντιποιεῖσθαι, τὰ δὲ μὴ ἐφ' ἡμῖν ἐπιτρέψαι τῷ κόσμῳ, καὶ εἴτε τῶν παίδων δέοιτο, εἴτε
[II.358] τῆς πατρίδος, εἴτε τοῦ σώματος, εἴτε ὁτιοῦν, [i]ἀσμένους παραχωρεῖν.

31 Ἑρμοῦ.

Ἔστι τοίνυν οὐσία, καὶ λόγος, καὶ νόημα, καὶ [a]διάνοια. Φέρεται δ' ἐπὶ τὴν διάνοιαν καὶ [b]δόξα καὶ αἴσθησις. Ἴεται δ' ὁ λόγος ἐπὶ τὴν οὐσίαν, τὸ δὲ νόημα δι' αὐτοῦ ἴεται. Ἐπιπλέκεται δὲ τὸ νόημα τῇ διανοίᾳ, ἐλθόντα δὲ δι' ἀλλήλων μία ἰδέα ἐγένοντο, αὕτη δέ ἐστιν ἡ τῆς ψυχῆς. Φέρεται δ' ἐπὶ τὴν αὐτῆς διάνοιαν δόξα καὶ αἴσθησις· ταῦτα δὲ ἐπὶ τοῦ αὐτοῦ οὐ μένει, ἔνθεν καὶ ὑπερβάλλει καὶ ἐκλείπει, καὶ [c]ἑαυτῷ διαφέρεται· χεῖρον μὲν γίγνεται, ὅταν ἀπο-

[c] Supplevi alterum ἐφ' ἡμῖν. quod negligentia librarii excidisse videtur in codd. HEEREN.

[d] Est scilicet ἡ χρῆσις τῶν φαντασιῶν ex Stoicorum systemate *notionum nostrarum de rebus externis veroque eorum pretio, ratio;* unde omnis fere vitæ philosophia pendet. HEEREN.

[e] ἐλευθερία ἐστὶ εὔροι] ἐλευθερίαν ἐστὶν εὑρεῖν A.

[f] εὔροι] εὔροια V.

[g] εὐστάθεια] εὐσταθία V.

[h] Post ἡμῖν add. πάντα τρόπον ἀντιποιεῖσθαι, τὰ δὲ μὴ ἐφ' ἡμῖν ἐπιτρέψαι τῷ κόσμῳ V. P. Pro πάντα τρόπον habet ἐπιτρόπον (sic) A.

[i] ἀσμένους] ἀσμένως V. A.

31.

[a] Post διάνοια add. φέρεται δὲ ἐπὶ τὴν οὐσίαν V. A. Sed ad priora in marg. A. annotat: ἴσως παρέλκει.

[b] δόξα καὶ αἴσθησις] δόξαν καὶ αἴσθησιν A.

[c] ἑαυτὸ] ἑαυτῷ V. A.

σπασθῇ [d]τῆς διανοίας, ὅταν δὲ ἀκολουθῇ καὶ πείθηται, κοινωνεῖ τῷ [e]νοηματικῷ λόγῳ [f]διὰ τῶν μαθημάτων. Τὸ δὲ αἱρεῖσθαι ἔχομεν, τὸ γὰρ αἱρεῖσθαι τὸ κρεῖττον ἐφ' ἡμῖν ἐστὶν, ὁμοίως δὲ καὶ τὸ χεῖρον [g]ἀκουσίως· ἐχομένη γὰρ αἵρεσις τῶν κακῶν πλησιάζει τῇ σωματικῇ φύσει, διὰ τοῦτο τῷ ἑλομένῳ εἱμαρμένη δυναστεύει. Ἐπεὶ τοίνυν ἡ ἐν ἡμῖν σω-
[II.360] ματικὴ οὐσία αὐτεξούσιός ἐστιν ὁ περινοηματικὸς λόγος, αὕτη δ' ἀεὶ κατὰ ταυτὰ καὶ ὡσαύτως ἔχει, διὰ τοῦτο εἱμαρμένη τούτου οὐχ ἅπτεται, παραθεῖσα δὲ τὸν πρῶτον ἀπὸ τοῦ πρώτου θεοῦ, διανοητικὸν λόγον [h]προΐησι, καὶ ὅλον τὸν λόγον ὃν συνέταξε φύσις τοῖς γιγνομένοις· τούτοις ψυχὴ κοινωνήσασα κοινωνεῖται ταῖς τούτων εἱμαρμέναις, ἀμέτοχος οὖσα τῆς τῶν εἱμαρμένων φύσεως.

32 Ἐκ τοῦ Πλουτάρχου περὶ Φιλίας. [Fr. XVII. p. 550=827.]

Ὅθεν οὐ [a]δεῖ παντάπασι ταπεινοῦν τὴν φύσιν ὡς μηδὲν ἰσχυρὸν, μηδὲ [b]μόνιμον, μηδὲ ὑπὲρ τὴν [c]τύχην ἔχουσαν, ἀλλὰ τοὐναντίον, εἰδότας ὅτι μικρόν ἐστι μέρος τοῦ ἀνθρώπου σαθρόν τε καὶ [d]ἐπίκαιρον [e]ὃ δέχεται τὴν [f]τύχην, [g]τῆς δὲ βελτίονος μερίδος [h]αὐτοὶ κρατοῦμεν, ἐν ᾗ τὰ μέγιστα τῶν ἀγαθῶν ἱδρυνθέντα, δόξαι τε [i]χρησταὶ, καὶ μαθήματα, [k]καὶ

[d] Verba τῆς διαν.—ἀκολουθῇ desunt V.

[e] νοητικῷ] νοηματικῷ V. A.

[f] δι' αὐτῶν] διὰ τῶν V. A.

[g] Siquidem ipse scriptor non ignoraverit quid vellet, pro ἀκουσίως legendum duco ἑκουσίως, *sponte*; id enim ipsum est quod docet, esse homini liberum arbitrium. HEEREN.

[h] πρόησι] προΐησι V. A.

32.

[a] δὴ] δεῖ V. A.

[b] νόμιμον] μόνιμον ed. Heeren. et sic conj. Wyttenbach.

[c] ψυχὴν] τύχην V. A.

[d] ἐπίκαιροι] ἐπίκηρον conj. Wyttenbach.

[e] ᾗ δέχεται τὴν τύχην, *quod fortunæ expositum est*, rescripsi pro ᾧ δέχεται, quod græcum non est. HEEREN.

[f] ψυχὴν] τύχην V. A.

[g] τῆς δὲ] τῆς μὲν V. A.

[h] αὐτοὶ recte codd. V. A. E. pro αὐτό. HEEREN.

[i] χρησταὶ] χρῆσθαι V. A.

[k] Legitur ap. Cant. καὶ λόγοι, τελευτῶντες εἰς ἀρετὴν, ἀναφαίρετον ἔχουσι τὴν οὐσίαν ἀδιάφορον etc. Post

[II.362] λόγοι τελευτῶντες εἰς ἀρετὴν, ἀναφαίρετον ἔχουσι τὴν [m]οὐσίαν καὶ [n]ἀδιάφθορον, ἀνεκπλήκτους πρὸς τὸ μέλλον p. 200.
εἶναι, καὶ [o]θαρραλέους, καὶ πρὸς τὴν τύχην [p]λέγοντας ἃ [q]Σωκράτης, δοκῶν πρὸς τοὺς κατηγόρους λέγειν, πρὸς τοὺς δικαστὰς ἔλεγεν, ὡς [r]ἀποκτεῖναι μὲν [s]Ἄνυτος καὶ Μέλητος δύνανται, βλάψαι δὲ οὐ δύνανται. Καὶ γὰρ ἡ τύχη δύναται νόσῳ [t]περιβαλεῖν, ἀφελέσθαι χρήματα, [u]διαβαλεῖν πρὸς δῆμον ἢ τύραννον· κακὸν δὲ, καὶ δειλὸν, καὶ ταπεινόφρονα, καὶ ἀγεννῆ, καὶ φθονερὸν οὐ δύναται ποιῆσαι τὸν ἀγαθὸν καὶ ἀνδρώδη καὶ μεγαλόψυχον, οὐδὲ παρελέσθαι τὴν διάθεσιν τῶν καλῶν.

33 Πλάτωνος [Meno. p. 99.]

Τὰ ἀπὸ τύχης γιγνόμενα, οὐκ ἀνθρωπίνῃ ἡγεμονίᾳ γίγνεται, ὧν δ' ἄνθρωπος ἡγεμών ἐστιν, ἐπὶ τὸν ὀρθὸν δύο ταῦτα ἡγεῖται, δόξα ἀληθὴς καὶ ἐπιστήμη.

34 [Ib. p. 97.]

Αἱ δόξαι αἱ ἀληθεῖς, ὅσον μὲν ἂν χρόνον παραμένωσι, [II.364] καλὸν τὸ χρῆμα, καὶ πάντα ἀγαθὰ ἀπεργάζονται· πολὺν δὲ χρόνον οὐκ [a]ἐθέλουσι παραμένειν, ἀλλὰ δραπετεύουσιν ἐκ τῆς ψυχῆς τοῦ ἀνθρώπου· ὥστε οὐ πολλοῦ ἀξίαι εἰσὶν, ἕως ἄν τις αὐτὰς δήσῃ αἰτίας λογισμῷ. Ἐπειδὰν δὲ [b]δεθῶσι,

λόγος excidit οἱ, ob præcedentem terminationem omissum, quod supplevi ut sermonis nexum restituerem. Ante ἀδιάφορον codd. V. A. bene supplent καὶ, sed quid hic ἀδιάφορον? Nemo dubitabit rescribendum esse ἀδιάφθορον, *nunquam pereuntem*, quod restitui. Mox καὶ θαρραλέους bene codd. V. A. E. pro καὶ καθαρραλέους. HEEREN.

m Post οὐσίαν add. καὶ V. A. Tum διάφορον A. pro ἀδιάφορον.

n ἀδιάφορον] ἀδιάφθορον Heeren. et Wyttenbach.

o καθαρραλέους] θαρραλέους V. A. P.

p λέγοντας] λέγοντες ὡς Heeren. λέγοντας ἃ Wyttenbach.

q Σωκράτη] Σωκράτης V. A.

r ἀποτείναι] ἀποκτεῖναι V. A.

s ἢ Μέλιτος] καὶ Μέλητος V. A.

t περιλαβεῖν] περιβαλεῖν V. A.

u διαβάλλειν] διαβαλεῖν V. A.

34.

a ἐθέλουσι] ἐθέλωσι A.

b δεθῶσι rescripsi ex Plat. pro δοθῶσι. HEEREN. δεθῶσι clare A.

πρῶτον μὲν ἐπιστῆμαι γίγνονται, ἔπειτα μόνιμοι. Καὶ διὰ ταῦτα δὴ [c]τιμιώτερον ἐπιστήμη ὀρθῆς δόξης ἐστὶ, καὶ διαφέρει δεσμῷ.

Τοῦ αὐτοῦ [Πολιτ. ϛ'. p. 506.]

35 Τί δέ; οὐκ ἤσθησαι τὰς ἄνευ ἐπιστήμης δόξας ὡς ἅπασαι αἰσχραὶ, ὧν αἱ βέλτισται τυφλαί; Ἢ δοκοῦσί τι [a]τυφλῶν διαφέρειν ὁδὸν ὀρθῶς πορευομένων, οἱ ἄνευ νοῦ ἀληθές τι δοξάζοντες;

Τοῦ αὐτοῦ [Πολιτ. ζ'. p. 534.]

36 Ὡς, ἂν μὴ ἔχῃ διορίσασθαι τῷ λόγῳ ἀπὸ τῶν ἄλλων ἁπάντων ἀφελὼν τὴν τοῦ ἀγαθοῦ ἰδέαν καὶ ὥσπερ ἐν μάχῃ [II.366] διὰ πάντων ἐλέγχων διεξιὼν, μὴ κατὰ δόξαν ἀλλὰ κατ' οὐσίαν [a]προθυμούμενος ἐλέγχειν, ἐν πᾶσι τούτοις ἀπτῶτι τῷ λόγῳ διαπορεύηται, οὔτε αὐτὸ [b]τὸ ἀγαθόν φησιν εἰδέναι τὸν οὕτως ἔχοντα, οὔτ' ἄλλο ἀγαθὸν οὐδέν, ἀλλ' [c]εἴ πη αὐτοῦ εἰδώλου τινὸς [d]ἐφάπτεται, δόξῃ οὐκ ἐπιστήμῃ ἐφάπτεσθαι, [e]καὶ τὸν νῦν βίον ὀνειροπολοῦντα καὶ ὑπνώττοντα, πρὶν ἐνθάδε [f]ἐξέγρεσθαι, εἰς ᾅδου πρότερον ἀφικόμενον τελέως ἐπικαταδαρθεῖν.

37 [[a]Τοῦ αὐτοῦ. Πολιτικῷ p. 309.]

Τὴν τῶν καλῶν καὶ δικαίων πέρι [b]καὶ ἀγαθῶν καὶ τῶν τούτοις ἐναντίων ὄντων οὖσαν ἀληθῆ δόξαν μετὰ βεβαιώσεως ὁπόταν ἐν ψυχαῖς ἐγγίγνηται, θείαν φύσιν ἐν δαιμονίῳ γίγνεσθαι γένει.

c Pro τιμιωτέρα ap. Plat. τιμιώτερον, ubi mox quoque post δεσμῷ adduntur adhuc verba ἐπιστήμη ὀρθῆς δόξης. HEEREN. τιμιώτερον A.

35.

a τυφλῷ] τυφλῶν A. τῶν τυφλῶν ed. Heeren.

36.

a προθυμούμενος] προθυμούμενον A.

b τὸ ἀγαθόν φησιν] φησὶ τὸ ἀγαθὸν A.

c ἐπεὶ αὐτοῦ εἴδωλον] εἴ πη αὐτοῦ εἰδώλου A.

d ἐφάπτεται—ἐπιστήμῃ om. A.

e καὶ τοίνυν] τοῦ αὐτοῦ. Καὶ τὸν νῦν A.

f ἐξαγρεύεσθαι] ἐξαγρεῦσθαι A. Redeat ἐξέγρεσθαι ex Platone.

37.

a Τοῦ αὐτοῦ. Lemma addidi.

b καὶ om. A. Cant. In fine ἐγγίγνηταί φησι ἐν δαιμονίῳ γίγνεσθαι. Dedi cum A.

38 [Τοῦ αὐτοῦ. Πολιτ. ά. p. 340 E.]

[a]Ἐπιλιπούσης γὰρ ἐπιστήμης, ὁ ἁμαρτάνων ἁμαρτάνει, ἐν ᾧ [b]ἐστι δημιουργός.

39 [a]Πορφυρίου περὶ τοῦ ἐφ' ἡμῖν.

Ἐν ταῖς πρώην ἡμῖν γεγονυίαις, Χρυσαόριε, πρὸς ἀλλήλους διαλέξεσι [b]τὸν περὶ τῆς αἱρέσεως [c]τῶν βίων ἀνακινήσαντες λόγον, [d]ταῖς ἔξω ψυχαῖς ἀπονείμας ὁ Πλάτων, κινδυνεύει τὸ ἐφ' ἡμῖν καὶ ὅλως τὸ αὐτεξούσιον λεγόμενον ἀναιρεῖν, εἴγε ἐκ τῶν προβεβιωμένων κατὰ τὴν προτέραν περίοδον καὶ ὧν ἠγάπησαν ἢ ἐμίσησαν, [e]ἢ ἐφ' ὧν ἤσθησαν ἢ ἐλυπήθησαν, [f]ἠθοποιημέναι [g]ἐπὶ τὴν αἵρεσιν ἔρχονται. Ταῦτα [h]μὲν ἐδόκει [i]ἐᾶν, ὡς εἰς ἀπολογίαν δυνάμενα παρασχεῖν τινὰς πιθανότητας· [k]ἃ δὲ μετὰ τὸ ἐλέσθαι, καὶ μέλλειν τοὺς κατὰ μέρος ἀνθρώπους ἀποφαίνειν διὰ τῆς αὐτῶν εἰς τὰ σώματα εἰσκρίσεως παθεῖν αὐτὰς ἔφη, χαλεπὰ ἡμῖν ἐφαίνετο, [l]ποτὲ μὲν λέγων, ὅτι πρῶτος αἱ-

[II.368]

37.

[a] Ἐπιλιπούσης] Ante h. art. inserui Τοῦ αὐτοῦ. Mox ἁμαρτάνων om. A.

[b] ἐστι] οὐκ ἔστι Plat.

38.

[a] Πορφυρίου] Vid. Holsten. de Vita et Scriptis Porphyrii c. 8.

[b] τῶν περὶ] τὸν περὶ A.

[c] τὸν βίον] τῶν βίων A. V.

[d] ἐν ταῖς] ἐν delevit Heeren.

[e] ἔφ' ὧν] ἢ ἐφ' ὧν V.

[f] ἠθοπεποιημένοι] -μέναι V. A.

[g] ἐπὶ] ὑπὸ V.

[h] μὲν] μὲν οὖν Heeren.

[i] ἐᾷ] ἐᾶν V. A. Cant. in marg.

[k] In iis quæ sequuntur ante oculos habuit Porphyrius inprimis mythum a Platone de Rep. l. X. Op. T. II. p. 616. etc. de animarum fatis et ante migrationem in corpora, et post solutionem ab iis, enarratum. HEEREN.

[l] Legitur ap. Cant. τότε μὲν λέγοντα ὁ πρῶτος αἱρείσθω βίος ᾧ συνέσται ἐξ ἀνάγκης, τότε δὲ etc. Pro τότε—τότε codd. V. A. πότε—πότε. [τοτὲ—ποτὲ A.] Præterea λέγοντα nihil habet a quo pendeat, ac legendum procul dubio λέγων vel λέγων ὅτι, nempe ὁ Πλάτων. Sed ne sic quidem locum integrum puto. Ante oculos habuit Porphyrius verba Platonis l. c. p. 617. ubi prophetam apud inferos sic alloquentem facit animas: ψυχαὶ ἐφήμεροι, οὐχ ὑμᾶς δαίμων λήξεται, ἀλλ' ὑμεῖς δαίμονα αἱρήσεσθε. Πρῶτος δ' ὁ λαχὼν πρῶτος αἱρείσθω βίον, ᾧ συνέσται ἐξ ἀνάγκης. Quare nostrum quoque locum plenius sic legendum esse existimo: ποτὲ μὲν λέγων ὅτι ὁ πρῶτος λαχὼν πρῶτος αἱρείσθω βίον ᾧ συνέσται ἐξ ἀνάγκης,

ρείσθω βίον ᾧ συνέσται ἐξ ἀνάγκης, ποτὲ δὲ, ὅτι [m]ὃν εἰλήχαμεν δαίμονα ἀναπόδραστός τις ἡμῖν φρουρός. Τὴν γὰρ
[II.370] [n]Λάχεσιν, ἥτις [o]Ἀνάγκης ἐστὶ θυγάτηρ, τῷ λαχόντι καὶ [p]ἑλομένῳ τινὰ βίον συμπέμπειν φύλακά τε τοῦ βίου καὶ ἐκ παντὸς ἀποπληρωτὴν τοῦ [q]αἱρεθέντος· ὁ δὲ παραλαβὼν αὐτὸν, καὶ [r]πρὸς Κλωθὼ ὑπὸ τὴν ἐκείνης χεῖρα καὶ τὴν ἐπιστροφὴν τοῦ [s]ἀτράκτου ἀγαγὼν, καὶ μετὰ ταῦτα πρὸς τὴν [v]Ἄτροπον, τὴν τὰ [t]ἐπικλωθέντα ποιοῦσαν ἀμετάτροπα, ἐντεῦθεν ἤδη [u]ἀμεταστρεπτὶ ἄγει ὑπὸ τὸν τῆς Ἀνάγκης θρόνον, καὶ δι' ἐκείνου διεξελθεῖν ποιήσας ἅμα τοῖς ἄλλοις, ἀπάγει εἰς τὸ τῆς Λήθης πεδίον, παρὰ τὸν Ἀμέλητα ποταμὸν, ἀφ' οὗ μέτρον μὲν ἀναγκαῖον εἶναι πιεῖν, τοὺς δὲ πιόντας πάντων ἐκλανθάνεσθαι. Οὕτω δὲ τούτων ἐπικεκλωσμένων καὶ κατηναγκασμένων καὶ ἐπικεκυρωμένων ὑπὸ Μοιρῶν τε καὶ Λήθης καὶ Ἀνάγκης, [x]ἑπομένου καὶ παραφυλάττοντος τὴν εἱμαρμένην τοῦ δαίμονος, τίνος ἂν [y]εἴημεν κύριοι, ἢ πῶς ἔτι ἡ ἀρετὴ ἀδέσποτος, ἣν τιμῶν καὶ ἀτιμάζων πλέον [z]καὶ ἔλαττον [a]αὐτῆς ἕκαστος ἕξει; p. 201.

Ἐπεὶ τοίνυν τὰ τοῦ Πλάτωνος εἰς τὰς χεῖρας λαβὼν μακρὰν ἡμᾶς ἀπεσφάλθαι [b]τῆς τοῦ φιλοσόφου γνώμης
[II.372] κατεῖδον, ἐθαύμασα μὲν τοὺς ἀπορήσαντας. [c]Βίους γὰρ

ποτὲ δὲ etc. Verba ὅτι ὁ πρῶτος λαχὼν quare post λέγων facile excidere potuerint, in aprico est. HEEREN.

m ὃν εἰλήχαμεν] ὃν εἵλκ. V.

n Leguntur hæc ap. Plat. l. c. p. 620. Λάχεσιν δὲ ἑκάστῳ ὃν εἵλετο δαίμονα, τοῦτον φύλακα ξυμπέμπειν τοῦ βίου, καὶ ἀποπληρωτὴν τῶν αἱρεθέντων. Sequentia totidem fere verbis leguntur ap. Platonem. HEEREN.

o Ἀνάγκης] τῆς Ἀνάγκης Heeren.

p ἑλομένῳ] ἐχομένῳ V. A.

q αἱρεθέντος βίου] βίου om. A.

r πρὸς κλωθὼ] προσκλωθὴν A.

s ἀτράκτου] ἀπρακτου sic V.

t ἐπικλωθέντα] –κλωσθέντα V.

u ἀμετάτρεπτι ἄγει ὑπὸ τὸν τῆς ἀνάγκης θρόνον, καὶ etc. V.

x Post ἑπομένου add. καὶ V. A.

y εἴη μὲν] εἴημεν V.

z αὐτῆς καὶ ἔλαττον] καὶ ἔλαττον αὐτῆς V. A.

a Pro αὐτῆς num δόξης, *gloriæ?* HEEREN.

b καὶ τοῦ] τῆς τοῦ V. A, P.

c Βίους αὐτοὺς, *vitas proprie sic dictas*, nempe rationes vitæ. HEEREN.

αὐτοὺς μόνον λέγειν ἡγησάμενοι, καὶ καθάπερ οἱ τὰ περὶ βίων πραγματευσάμενοι μέμνηνται γεωργικοῦ τινὸς βίου, καὶ πάλιν πολιτικοῦ, καὶ ἄλλου στρατιωτικοῦ, οὕτω καὶ τὸν Πλάτωνα, πολλῶν καὶ διαφόρων ἐν ἀνθρώποις θεωρουμένων βίων, καὶ τούτων τῆς αἱρέσεως ἐφ' ἡμῖν ἐν [d]πολλοῖς οὔσης καὶ πάλιν τῆς ἐξ αὐτῶν μεταθέσεως, εἰκότως θαυμάζουσι πῶς ὁ [e]τούτων ἑλόμενός τινα κατηνάγκασται ἐκ παντὸς τοῦτον ἀποπλῆσαι μόνον. Οἱ μὲν γὰρ ἀπὸ τῆς [f]Στοᾶς βίον λέγεσθαι ὑπολαμβάνουσι καθ' ἕν τι σημαινόμενον [g]λογικῆς ζωῆς, διέξοδον [h]αὐτῷ ἀποδιδόντες ἐξ ἐνεργειῶν καὶ σχέσεων καὶ ποιήσεων καὶ παθημάτων συνεστῶσαν, ὁ δὲ Πλάτων καὶ τὰς τῶν ἀλόγων ζωὰς λέγει βίους. Βίος γὰρ [i]κατ' αὐτὸν καὶ ἡ τοῦ κύκνου ζωή, καὶ πάλιν ἄλλος βίος ὁ λέοντος, καθ' ὃ λέων, καὶ ἄλλος ὁ ἀηδόνος· βίος δὲ καὶ ὁ [k]ἀνθρώπειος, καὶ τούτου ὁ μέν [l]τις γυναικεῖος, ὁ δὲ ἀνδρεῖος· [m]λέγει γὰρ εἶναι παντοδαπὰ τῶν βίων τὰ παραδείγματα. [n]Ἓν [n]μὲν οὖν [o]τοιοῦτον παρ' αὐτῷ σημαινόμενον βίου, ἕτερον δὲ, ὃ παρίστησι συμβεβηκός τι τούτων καὶ
[II.374] δεύτερόν τινα χαρακτῆρα ἐπὶ προηγουμένῳ τῷ ῥηθέντι βίῳ. Προηγούμενος μὲν γὰρ βίος κυνὶ ὁ κατὰ τὴν κυνὸς ζωήν· ἐπισυμβαίνει δὲ τῷ τοιούτῳ βίῳ [p]ἢ τῶν θηρευτικῶν κυνῶν, ἢ τῶν ἰχνευτικῶν, ἢ τῶν περὶ τράπεζαν, ἢ τῶν οἰκοφυλάκων, καὶ δεύτερος ἂν [q]εἴη καὶ οὗτος βίος. Ἀλλὰ [r]τοῖς μὲν

[d] πολλῆς] πολλοῖς V. A.
[e] τούτων] τῶνδε A.
[f] στοᾶς] στωᾶς A. Cant.
[g] λογικῆς] λογιστικῆς V.
[h] αὐτῷ, *ipsi*, vitæ scilicet, rescripsi pro αὐτόν. HEEREN.
[i] κατ' αὐτὸν, *secundum ipsum*, nempe Platonem, edidi pro κατὰ ταυτόν. HEEREN.
[k] ἀνθρώπινος] ὁ ἀνθρώπειος A. V.
[l] τις] τι V. A.
[m] Plat. l. c. p. 618. Μετὰ δὲ τοῦτο αὖθις τὰ τῶν βίων παραδείγματα εἰς τὸ πρόσθεν σφῶν θεῖναι ἐπὶ τὴν γῆν, πολὺ πλείω τῶν παρόντων. HEEREN.
[n] Post μὲν add. οὖν V. A.
[o] τοιοῦτον] τοιοῦτο Heeren.
[p] καὶ τῶν] ἢ τῶν V. A. P.
[q] Post εἴη add. καὶ A.
[r] Post τοῖς add. μὲν V. A.

ἀλόγοις, ἀφηρημένοις τοῦ αὐτεξουσίου, ἢ διὰ φύσεως ὁ χαρακτὴρ οὗτος ἐπισυνίσταται, ἢ διὰ κατατάξεως τοῦ κτησαμένου· ἐπὶ δὲ τῶν ἀνθρώπων [s]τὸ μὲν ἢ ἐκ προγόνων γενέσθαι ἀγαθῶν, ἢ κάλλους τυχεῖν σωματικοῦ, διὰ φύσεως ἐπορίσθη ἢ τύχης, [t]πλὴν ὅτι τούτων οὐδὲν ἦν ἐφ' ἡμῖν δῆλον. Τὰς δέ γε τῶν τεχνῶν ἀναλήψεις, καὶ τὰς τῶν ἐπιτηδευμάτων ἐπιστημῶν τε, [u]καὶ τὰς τῶν πολιτικῶν βίων, ἀρχῶν τε διώξεις, καὶ ὅσα τοιαῦτα ἐκ τοῦ ἐφ' ἡμῖν ἠρτῆσθαι συμβέβηκεν, εἰ καί τινα δυσεπίτευκτα, τῷ καὶ τῆς ἔξωθεν [x]προσδεῖσθαι συλλήψεως, [y]δι' οὗ εἰς τὸ τυχεῖν [z]δύσκολα, καὶ ἀποθέσθαι οὐ ῥᾴδια, ὥσπερ ἀρχὰς καὶ τυραννίδας καὶ δημαγωγίας. Πάντα μὲν οὖν τὰ τοιαῦτα ἠρτῆσθαι συμβέβηκε τῆς προαιρέσεως, ἡ δὲ τεῦξις αὐτῶν οὐ πάντως ἐφ' ἡμῖν, ἀφ' οὗ δ' ἄν τινος τύχωμεν, τῇ τάξει αὐτοῦ ἕπεσθαι ἀνάγκη. Δέδοται μέντοι ἐπὶ πάντων σχεδὸν τῶν ἐχόντων μεσότητα, καὶ μὴ ἤδη εἰς κακίαν ἀνηγμένων, τὸ χρήσασθαι
[II.376] τοῖς βίοις, [a]ὅν τις μέτεισιν, ἢ κακῶς ἢ καλῶς. Καὶ γὰρ ἐπὶ τυραννίδας τινὲς προαχθέντες ἤπιοι καὶ πρᾷοι γεγόνασι, καὶ βασιλείαις πονηρῶς ἐχρήσαντο. Τούτων [b]οὕτως ἐχόντων, [c]ἡ μὲν αἵρεσις τῶν βίων ταῖς ἔξω ψυχαῖς [d]προηγουμένων τῶν πρώτων ἐστὶ, καὶ ἐπὶ τὸν αἱρεθέντα ἥ τε Ἀνάγκη τὸ ἀπαραίτητον ἐκύρωσεν, [e]ὅ τε δαίμων [f]ἐπηκολούθησεν, ὡς ἂν δὴ τοῦ βίου προστάτης ὢν καὶ ἐπόπτης ἕκαστος ἑκάστου,

[s] Post τὸ μὲν add. ἢ V. A.

[t] πολλὴν] πλὴν V. A.

[u] καὶ τῶν] καὶ τὰς τῶν Heeren.

[x] προδεῖσθαι] προσδεῖσθαι V.

[y] δὲ] δι' V. A.

[z] δύσκολον] δύσκολος V. A.

ib. δύσκολα, ut sequenti ῥᾴδια respondeat, rescripsi pro δύσκολον. HEEREN.

[a] Habet Cant. nullo sensu οὗτοις μέτεισιν, pro quo codd. V. A. E. οὗ τις μέτεισιν, quod nec ipsum intelligo. Legendum duco ὅν τις μέτεισιν, *vitam quam quis persequitur*. HEEREN. Mox ἤπτιοι A.

[b] οὕτως deest V. A.

[c] ἡμῖν] ἡ μὲν Cant. in marg.

[d] προηγουμένως] –μένων A.

[e] ὅτε] ὅ τι A.

[f] ἐπηκολούθησεν] ἐπικολ. nescio an V.

συναναγκάσων ἐμμένειν τὰς ψυχὰς τῷ αἱρεθέντι, καὶ μὴ [g]προβλέπειν, αἵ τε Μοῖραι τὸν τοιοῦτον [h]ἐπένησαν ἑκάστῳ βίον, τά τε γιγνόμενα, διὰ παντὸς [i]μαρτυρεῖ τοῦ χρόνου. Οὔτε γὰρ ἀνὴρ, κἂν σφόδρα δι' ἀσέλγειαν [j]μαλακίζηται, καὶ πάντ' αὐτῷ ἡ προαίρεσις [k]μεταschηματίζῃ τὰ ἔξωθεν [l]εἰς τὰ τῆς θηλείας συνήθη, γυνή ποτ' ἂν γένοιτο, οὔτε γυνὴ τὰ ἀνδρῶν ἐγχειροῦσα δρᾶν, ἀνήρ ποτ' ἂν γένοιτο. Ζῶσι μὲν οὖν τοῦτον τὸν βίον αἱ ψυχαὶ μετ' ἀνάγκης, διὰ λήθης αὐτὸν διεξάγουσαι, καὶ ὅτι [m]ἐπ' αὐταῖς ἡ αἵρεσις αὐτοῦ [II.378] ποτὲ γέγονε παντελῶς ἐπιλελησμέναι. [n]Ἄρχεται δὲ ἐπ' ἀνθρώπου μάλιστα ἀνείμενον [o]ἐλεύθερόν τὸ ἐθελούσιον πρὸς μὲν τὰ τῆς ψυχῆς, ὡς καθ' ἑαυτὴν, καὶ μὴ ἐν σώματι δεδεμένην καὶ [p]πεπεδημένην, πρὸς δὲ τὰ τοῦ ζώου καὶ [q]συναμφοτέρου πρὸς [r]αὐτεξούσια ἔργα λελυμένου. Σὺν γὰρ τούτῳ διεξάγει τὸν [s]ἀνθρώπινον βίον ἕκαστος [t]ἡμῶν, p. 202. σὺν τῷ ἔχειν πρὸς τὰ τοῦ [q]συναμφοτέρου αὐτεξούσια ἔργα τὴν ὁρμὴν προσήκουσαν.

40 Ἐν ταυτῷ.

Διοικεῖται γὰρ τὸ [a]ζῶον ἕκαστον κατὰ τὴν τῇδε προσήκουσαν αὐτῷ διάζησιν. Ἔχει δὲ ὁ βίος ὁ τοῦ ἀνθρώπου τὸ κατάλληλον τῷ ἀνθρώπῳ [b]αὐτεξούσιον [c]ἐφ' ἑαυτῷ. Δι' ὃ 5

[g] προβλέπειν] προλείπειν conj. Heeren.

[h] ἐπαίνεσαν] ἐπήνεσαν Heeren. tanquam ex ἐπινέω. Debuerat ἐπένησαν. Heeren. add. ὃν post τοιοῦτον.

[i] μαρτυρεῖ] καρτερεῖν Heeren.

[j] μαλακίζηται] Sic Heeren. –κίζεται ut vulg. A.

[k] μεταschηματίζῃ] –ματίζει A.

[l] Supplevi εἰς, res ipsa enim docet illud excidisse. HEEREN.

[m] ἐπ' αὐταῖς, *in ipsis*, edidi pro ἐπὶ ταύταις. HEEREN.

[n] Ἄρχεται] ἔρχεται V. A.

[o] ἐλεύθερον] ἐλεύθερόν τε Heeren.

[p] Ante πεπεδ. add. καὶ A.

[q] συναμφότερα] –φοτέρου V. A.

[r] αὐτεξούσια ἔργα λελυμένον] πρὸς ἀ. ἔ. λελυμένου Heeren.

[s] ἀνθρώπινον] –πειον V. –πιον A.

[t] ἡμῶν] ἡμῖν V.

39.

[a] Post ζῶον add. ἕκαστον V. A. P.

[b] Post αὐτεξούσιον add. ἐφ' ἑαυτῷ V. A. P.

κἂν ἄγηται ὑπὸ προθυμιῶν φυσικῶν πρός τινα τῶν ἐνταῦθα ἐν αἱρέσει πιπτόντων βίων, ἀλλ' ἐπ' αὐτῷ ἔχει τὸ μὴ ἐμπεσεῖν, κἂν πάντως ἐμπέσῃ. Ὡς γὰρ τῇ πιθανῇ φαντασίᾳ
[II.380] [d]συγκατατιθέμεθα διὰ τὸ πιθανόν, ἀλλ' ἐφ' ἡμῖν καὶ τὸ μὴ συγκατατίθεσθαι, ὅτι μὴ ἡ φαντασία σύρει ἡμᾶς καὶ νευροσπαστεῖ πρὸς αὐτήν.

41 Ἐν ταυτῷ.

Τὸ γὰρ ὅλον βούλημα [a]τοιοῦτ' ἔοικεν εἶναι τὸ τοῦ Πλάτωνος· ἔχειν μὲν τὸ αὐτεξούσιον τὰς ψυχὰς πρὶν εἰς σώματα καὶ βίους διαφόρους [b]ἐμπεσεῖν, εἰς τὸ [c]ἢ τοῦτον ἐλέσθαι τὸν βίον ([d]ἢ ἄλλον), ὃν μετὰ ποιᾶς ζωῆς καὶ σώματος οἰκείου τῇ ζωῇ ἐκτελέσειν μέλλει· (καὶ γὰρ λέοντος βίον ἐπ' αὐτῇ εἶναι ἑλέσθαι καὶ ἀνδρός·) κἀκεῖνο [e]μὲν τὸ αὐτεξούσιον ἅμα τῇ πρός τινα τῶν τοιούτων βίων πτώσει [f]ἐμπεπόδισται. Κατελθοῦσαι [g]δὲ εἰς τὰ σώματα καὶ ἀντὶ ψυχῶν [h]ἀπολύτων γεγονυῖαι ψυχαὶ ζώων, τὸ αὐτεξούσιον φέρουσιν οἰκεῖον τῇ τοῦ ζώου κατασκευῇ, καὶ ἐφ' ὧν μὲν εἶναι πολύνουν καὶ πολυκίνητον, ὡς ἐπ' ἀνθρώπου, ἐφ' ὧν δὲ ὀλιγοκίνητον καὶ μονότροπον, ὡς [i]ἐπὶ τῶν ἄλλων σχεδὸν πάντων ζώων. Ἠρτῆσθαι δὲ τὸ αὐτεξούσιον τοῦτο [k]τῆς κατασκευῆς, κινούμενον μὲν ἐξ αὐτοῦ, φερόμενον δὲ κατὰ τὰς ἐκ τῆς κατασκευῆς γιγνομένας προθυμίας.

42 Ἐν ταυτῷ.

[II.382] Πανταχοῦ δὲ τὰς ὑπερβολὰς φεύγειν προσήκει, διώκειν

[d] συνκατατιθέμενα] –μεθα V. A. Cant. in marg.

40.

[a] τοῦτ'] τοιοῦτ' V. A.
[b] ἐμπεσεῖν] πεσεῖν V. A.
[c] εἰ τοῦτον] ἢ τοῦτον V. A.
[d] (ἢ ἄλλον) inseruit Heeren.
[e] μὲν] μέντοι ed. Heeren.
[f] ἐκπεπόδισται] ἐμπεπόδ. V. A.
[g] δὲ] γὰρ ed. Heeren.
[h] ἀπὸ αὐτῶν] ἀπολύτων Cant. in marg. Mox καὶ ante ψυχαὶ om. Heeren.
[i] καὶ ante ἐπὶ deest V. A. P. Mox ἑαυτοῦ A.
[k] τὸ ante τῆς om. A. ἀπὸ τῆς ed. Heeren.

δὲ τὸ μέσον, ἂν μὴ ἤδη τὸ ἐφ' ἡμῖν [a]πάθεσι κακίας ἀνηκέστοις δεδεμένον δουλεύῃ καὶ κατατεταγμένον ᾗ [b]τούτοις, ἀρέσκει καὶ τὸ μὴ ἀτάκτως κληροῦσθαι τὰς ψυχὰς τοὺς βίους καὶ [c]λαμβάνειν αὐτούς, ἀλλὰ τάξει καὶ ὡς ἄγει αὐτὴν ἡ περίοδος. [d]Ἡ μὲν γὰρ πρώτη παυσαμένη ἐν τῇ πρώτῃ περιόδῳ, πρώτη [e]ἥξει, [f]ἡ δὲ δευτέρα ἐν τῇ δευτέρᾳ κληρωσαμένη· στρεφομένας γὰρ ὑπὸ τοῦ παντὸς καὶ καταλήγουσας τῇ τούτου φορᾷ περιάγεσθαι ὡς εἰς τάξιν, κλήρων σημαινόντων τὸ ά καὶ τὸ β́. [g]Δι' ὃ καὶ τῆς Λαχέσεως οἱ [h]κλῆροι λαμβάνονται τῷ προφήτῃ, ἥτις ἀπὸ τοῦ λαγχάνειν [i]καὶ κληροῦσθαι κέκληται. Λάχεσιν δὲ τὴν τοῦ παντὸς περιστροφὴν πολλοὶ εἶναι εἰρήκασιν. Ἀρέσκει καὶ τὸ χραίνεσθαι τὸ μὲν ἐπὶ ταῖς ψυχαῖς αὐτεξούσιον ὑπὸ τῆς ἐγγινομένης ἐνταῦθα [k]προβιοτῆς, τὸ δ' ἐπὶ τοῖς ἀνθρώποις αὐτεξούσιον, ἐκ τῆς πρός τινα [l]τῶν τῇδε βίων [m]τῆς ἔξω ἔτι οὔσης ῥοπῆς, ἣν αἵρεσιν ὁ Πλάτων λέγει. Ἀρέσκει καὶ
[II.384] τὸ τοιαύτην εἶναι τὴν εἱμαρμένην, ἐοικυῖαν ταῖς τῶν νόμων διαγορεύσεσι, [n]νόμον οὖσαν καὶ αὐτὴν, καὶ

θεῶν ψήφισμα παλαιὸν
ἀΐδιον, [o]πλατέεσσι κατεσφραγισμένον ὅρκοις,

41.

[a] πάθεσι κακίας] πάθεσι καὶ κακίαις Heeren.

[b] Τούτοις] ἐπὶ τούτοις Heeren.

[c] λαμβάνειν] λαμβάνει V.

[d] Quæ hic habet scriptor, non quidem ipsa apud Platonem invenies, adumbrata tamen videntur ex Platonico mytho; cf. Plat. Op. II. p. 615. HEEREN.

[e] ἥξει] ἕξει V.

[f] ἡ δευτ.] ἡ δὲ δευτ. V. A.

[g] Hæc ex Plat. l. c. p. 617. Προφήτην οὖν τινα σφᾶς πρῶτον μὲν ἐν τάξει διαστῆσαι, ἔπειτα λαβόντα ἐκ τῶν τῆς Λαχέσεως γονάτων κλήρους τε καὶ βίων παραδείγματα, ἀναβάντα ἐπί τι βῆμα ὑψηλὸν, εἰπεῖν etc. HEEREN.

[h] κλῆροι] οἱ κλῆροι V. A.

[i] καὶ om. A. qui mox λάχεσϊ.

[k] προβιοτῆς] προβιοτῆτος Heeren.

[l] τῶν] τῷ A.

[m] Si τῆς sanum est, subintelligendum ψυχῆς, animæ nondum corpori junctæ. Clarius tamen foret si vel ψυχῆς vel τῆς ψυχῆς legas. De reliquis cf. Plat. l. c. p. 619. HEEREN.

[n] νόμον] νόμου A.

[o] πλάτεσι] πλατέεσι V. A.

[p]φησὶν Ἐμπεδοκλῆς. Οἵ τε γὰρ νόμοι, οὐκ ἀναγκάζοντες, διαγορεύουσιν ὡς, ἐὰν ληστεύσῃς, [q]τάδε πείσῃ· ἐὰν δὲ ἀριστεύσῃς, [r]τῶνδε τεύξῃ· οἵ τε καθ' εἱμαρμένην θεσμοὶ, ἐὰν βίον ἕλῃ ἀνδρὸς, [s]οὕτως ζήσῃ, οὐ [t]μὴν ἔτι καὶ ἐλοῦ ἐκ παντὸς ἀναγκάζουσι· καὶ ἐὰν [u]ἐν ἀνδράσι [x]γενόμενος βίον ἕλῃ στρατιώτου, [y]τάδε σε παθεῖν καὶ δρᾶσαι ἀνάγκη, [z]οὐ μὴν ἔτι βίον σε [a]ἀνάγκη ἑλέσθαι στρατιώτου, καὶ τάδε παθεῖν ἐξ ἀνάγκης. Δι' ὃ κεῖται μὲν τὰ παραδείγματα καὶ τῶν πρώτων καὶ δευτέρων· [b]ἐπὶ δὲ ταῖς ψυχαῖς ἐστι, [c]τούς τε πρώτους ἑλέσθαι βίους, καὶ ζῆσαι, φέρε, βίον ἀνθρώπου, τῶν τε δευτέρων ἑλέσθαι βίον τινά· ἑλομένῳ δὲ, καὶ ζῶντι [d]κατ' αὐτὸν, ἀνάγκη [e]τἀκόλουθα καὶ δρᾶσαι καὶ παθεῖν. Εἰ [f]μέντοι ἐνδέχεται, [g]καταμαντευσάμενον [h]τῆς Πλά-
[II.386] τωνος γνώμης, ἐπιτυχὼν [i]στοχάσασθαι πόθεν ταῦτα λαβὼν Πλάτων περὶ αὐτῶν διελέχθη ὡς τοῖς γιγνόμενοις ὄντων p. 203.
συμφώνων, φαίην ἂν, οἶμαι, [k]ὅτι τῶν παρ' Αἰγυπτίοις σοφῶν τοὺς βίους ἐκ τῶν ὡροσκόπων σημειουμένων, καὶ τῆς ἐν [l]ταῖς γενέσεσι τῶν ἀστέρων πρὸς τὰ ἐν τῷ ζωδιακῷ ἄστρα διαθέσεως, ὡς [m]ἀκολούθως τῇ τοῦ ὡροσκόπου ἀνατολῇ ἀναγκά-

p φησὶν] ὥς φησιν Heeren.
q τόδε] τάδε V. A.
r τῶνδε] τῶντε V.
s οὕτως] οὕτω V. A.
t μὲν] μὴν V. A.
u ἀνδράσι] ἐν ἀνδράσι Heeren.
x γενόμενον] –μενος V. A.
y Post τάδε add. σε. (V.) τάδε—στρατιώτου om. A.
z οὐ μὲν ἔτι] οὐ μὴν ἔτι ὅτι βίον V.
a ἀνάγκης] ἀνάγκη Heeren.
b Verba ἐπὶ—δευτέρων om. A.
c τούτῳ] τάς τε V.
d κατ' αὐτὸν, *secundum eam*, rescripsi pro κατὰ ταυτόν. HEEREN.
e τ' ἀκόλουθα] τἀκόλουθον A.
f μέν τι] μέν τοι V. A.
g καταμαντευσάμενον] καταμαντεύσασθαι μόνον A.
h τῆς Π. γνώμης] Heeren. τῇ τοῦ Π. γνώμῃ. Atqui τῆς γνώμης pendere videntur non ex ἐπιτυχὼν sed ex καταμαντευσάμενον. Vertit Canterus, *Quod si per conjecturam divinare liceat unde hæc a Platone desumta sint.*
i στοχάσεσθαι] –σάσθαι V. A. P.
k ὅτι] ἔτι (sejuncta a prioribus) V.
l ταῖς] ταῖς V. A.
m ἀκολούθως] ἀκολούθου A. ὡς ἀκολούθως Heeren.

ζειν μὲν τὴν ποιὰν διάθεσιν τῶν σχηματισμῶν [n]ποιοὺς εἶναι τοὺς βίους ταῖς διὰ τῆς ὡροσκοπούσης μοίρας ἰούσαις ψυχαῖς εἰς τὴν γένεσιν, πῶς ἐχόντων [o]τότε τῶν σχηματισμῶν, μὴ συντίθεσθαι αὐτὸν τοῖς Αἰγυπτίοις· τῶν δὲ ψυχῶν κατὰ τὰς ἐνούσας διαθέσεις ἐπὶ τοὺς ὡροσκόπους φερομένων, καὶ βίους, [p]οὓς σημαίνουσιν οἱ σχηματισμοὶ, βλεπουσῶν γεγραμμένους [q]τὰς ἑλομένας, ὥσπερ ἐν πίνακι γεγραμμένα, ἐν τῇ οὐρανίᾳ γῇ, διὰ μὲν τὸ αὐτεξούσιον δύνασθαι καὶ μὴ βιῶναι οὕτω, ἑλομένας δὲ, τὰ ἐν τῇ στροφῇ κατὰ στιγμὴν τοῦ χρόνου τῆς ἀναφορᾶς τοῦ ὡροσκόπου ἐναλλαττόμενα, ἀνάγκη [r]ἐκτελεῖν τὰ γεγραμμένα. Διὰ τί οὖν ἐν τῇ αὐτῇ ἀναφορᾷ φέρε καὶ κύων γεννᾶται, καὶ ἀνὴρ, καὶ γυνὴ, καὶ πολλοὶ ἄνδρες, καὶ πάντων οὔτε ὁ πρῶτος βίος ὁ αὐτὸς, οὔτε ὁ δεύτερος; Πρῶτον [s]μὲν οὖν εἴποιμ' ἂν οὐχ οὕτως ταχυτέραν ταῖς ψυχαῖς [t]πορείαν πάσαις, ὡς μὴ φθάσαι τὴν ἀναφορὰν τοῦ ὡροσκόπου τὴν ἐκείνων εἴσοδον· [u]προλαμβανούσης δὲ ἀεὶ τῆς φορᾶς, καὶ ἑκάστης κατὰ κλῆρον διαφορᾶς ἄλλο παράδειγμα βίου φερούσης, ἀνάγκη μηδέποτε συντρέχειν πάντη τοὺς δοκοῦντας ἐν τῇ [x]αὐτῇ ὥρᾳ εἰς τὸν κόσμον ἐμβάλλειν. [y]Ἔπειτα ὁ μὲν κλῆρος ἔξω πρὶν

[II.388]

n ποιεῖν] ποιοὺς εἶναι Heeren.

o τότε τὸ] τότε τῶν V. A.

p οὓς addidit Heeren.

q τὰς ἑλομένας Heeren. collocavit infra post οὐρανίᾳ γῇ.

r ἐτελεῖν] ἐκτελεῖν V. A. P.

s μὲν deest V.

t παρεῖσαν] πορείαν V. A.

u προλαμβανούσης] προσλαμβ. A.

x Supplevi αὐτῇ, quod sensus flagitat. HEEREN. *Eadem hora* vertit Canterus.

y Sunt in his et in proxime sequentibus quæ non expedio. Prima statim ὁ μὲν κλῆρος ἔξω πρὶν etc. corrupta esse, nemo non videt. Tentavi pro ἔξω, ἐξιὼν, *sors prosiliens*, præterea post πρὶν vel addendum vel saltem subintelligendum τὰς ψυχὰς vel τὴν ψυχήν. Attamen vel sic locum obscurum mihi manere non diffiteor, quod nexum orationis desidero. Judicium sit apud alios num ille restitui possit post τοῦ supplendo τε, ut sit Ἔπειτα ὁ μὲν κλῆρος—τοῦ τε πρώτου βίου ἡ διέξοδος—οὐχ ὁμοίως προσέχειν ποιεῖ etc. *Ut sors prosiliens priusquam animæ ad inferiora loca perveniant,* ET *via per sphæras animarum attentionem turbet.* HEEREN.

εἰς τὸν τῆς σελήνης ὑποκάτω [z]τόπον πεσεῖν, τοῦ πρώτου βίου ἡ [a]διέξοδος διὰ τῶν ἑπτὰ σφαιρῶν γιγνομένη, ἄλλως ἄλλης κατ' αὐτὰ κινουμένης, κατὰ τὰς προθυμίας πρός τινας τῶν δευτέρων βίων, οὐχ ὁμοίως προσέχειν πάσας [b]ποιεῖ τοῖς γεγραμμένοις. Ἤδη οὖν ἡ μὲν ἑλομένη κυνὸς βίον, ἔρχεται ἐπὶ τόνδε τὸν ὡροσκόπον· ἡ δὲ ἀνθρώπου κατὰ
[II.390] τὴν [c]παράκλισιν τῆς στιγμῆς ἐπὶ τόνδε· [d]φέρει δ' [e]αὐτὴν [f]ἡ Δίκη [g]κατὰ τῆς ἠθοποιΐας ἰδιότητα ἐπί τινα μοῖραν τῆς περιφορᾶς, ἣ βίον ἔχει [h]γεγραμμένον πρόσφορον ταῖς αὐτῆς προθυμίαις. Ἡ δὲ Δίκη Τύχη λέγεται, αἰτία οὖσα ἄδηλος [k]ἀνθρωπίνῳ λογισμῷ. Ζωδίων δὲ ὄντων δώδεκα, δι' ὧν ἡ ὁδὸς ταῖς ψυχαῖς πεπίστευται τοῖς Αἰγυπτίοις γίγνεσθαι τῇδε πανταχοῦ σχεδὸν, αἱ μὲν πρῶται τοῦ ζωδιακοῦ μοῖραι ὡς ἂν [l]αὐτῷ νενεμημέναι τῷ κυρίῳ τοῦ ζωδίου, παρεδόθησαν εἶναι ἀμφιλαφεῖς· αἱ δὲ τελευταῖαι ἐπὶ πάντων τοῖς κακοποιοῖς λεγομένοις ἀστράσιν ἀπενεμήθησαν. Ἐντεῦθεν οὖν ἡ τῶν πρώτων κλήρων εὐμοιρία [m]ἀποδοχῆς ἠξίωται, καὶ ἡ τῶν ὑστέρων [n]ἐστενοχωρεῖσθαι λέγεται. [o]Σημαίνειν μὲν οὖν τὰ ποιὰ σχήματα τοὺς βίους [p]τίθεται Πλάτων· [q]ἀναγκάζειν δὲ οὐκ ἔτι, ἀλλὰ τοὺς [r]ἑλομένους ζῆν [s]καὶ καθὰ σημαίνει, ἐξ ἀνάγκης ἔχειν τὸν εἱρμὸν τῶν γεγραμμένων. [t]Αἰτία τοίνυν [u]ἑλομένων ἢ γυναικὸς ἢ ἀνδρὸς βίον,

[z] τύπῳ] τόπον V. A. Cant. in marg.
[a] Ante διεξοδ. add. ἡ V. A.
[b] ποιεῖ] ποιεῖν V.
[c] παράκλησιν] παράκλισιν A.
[d] φέρειν] φέρει V. A.
[e] αὐτὸν] αὐτὴν Heeren. tanquam ex A. V. Atqui A. clare habet αὐτόν.
[f] καὶ ante ἡ deest V. A.
[g] κάτης] κατὰ τῆς V. A. P.
[h] γεγραμμένου] -μένον V. A.
[k] ἀνθρωπίνῳ] ἀνθρωπείῳ V. A.
[l] αὐτῷ] ἀγαθῷ ed. Heeren.
ib. αὐτῶν ἐνεμεμημέναι] αὐτῷ νεμημέναι V. αὐτῷ νενεμ. A.
[m] ἀποδοχῆς] ἀποδοχῇ A.
[n] ἐστενοχωρεῖσθαι] -ρῆσθαι V. A.
[o] Σημαίνει] σημαίνειν V. A.
[p] τίθεσθαι] τίθεται V. A.
[q] ἀναγκάζειν] -κάζει V. A.
[r] ἑλομένους] ἑλλογίζ. V.
[s] καὶ καθὰ] καὶ om. Heeren.
[t] Habet Cant. Αἰτία τοίνυν ἑλομένων—τῆς εἰς τὸν ὡροσκόπον φορᾶς, pro quo vel legendum Αἰτίαν τοί-

[II.392] ἢ ἄλλου τινὸς ζῴου ἐκ [x]τῆς εἰς τὸν ὡροσκόπον φορᾶς· αἰτία δὲ καὶ [y]τῆς ἐνεχθείσης εἰς τόνδε τὸν ὡροσκόπον [z]τὸ ἐλέσθαι τὸν δεύτερον βίον, ὃν γεγραμμένον δεικνύει ἡ κατὰ τὸν ὡροσκόπον τεταγμένη [a]διακόσμησις τῶν [b]ἀστέρων. Εἰ μή τις τὴν μὲν κατὰ [c]τὴν σποράν ὡροσκοπίαν τοῦ ἀνθρώπου ἢ [d]κυνὸς ἐλέσθαι ἐμφαίνειν τὸν κλῆρον εἴποι, τὴν δὲ [e]κατὰ τῆς ἐκ γαστρὸς [f]ἐκτροπῆς [g]ὡροσκοπίαν τοῦ δευτέρου βίου καὶ ἐπὶ τῷ προαιρεθέντι [h]ἐνδεικνύναι τὴν αἵρεσιν. Ἀλλ' ὅτι μὲν ἐκ τῶν παρ' [i]Αἰγυπτίοις παραδεδομένων ἡ τοῦ μύθου πλάσις ἐσκευώρηται, συγχωρήσειεν ἄν τις· εἰ δὲ κατ' αὐτὰ [k]τὰ νοήματα κατὰ μέρος τῷ Πλάτωνι διεσκευάσθη, χαλεπὸν τὸ ἀποφαίνεσθαι. Ἐπεὶ δὲ καὶ Ὁμήρου τυγχάνεις ὢν ἐραστής τε καὶ ἐπαινέτης, ὅρα μοὶ μὴ καὶ αὐτὸς πρὸ τοῦ Πλάτωνος τὸ διττὸν οἶδε τῶν βίων, τὸν μέν τινα ἀκίνητον, ὃν ἐλέσθαι ἡ ψυχὴ ἢ μὴ ἐλέσθαι δύναται, [l]ὅταν [m]δ' ἔληται ἀφύκτως ἔχουσα μεταβάλλειν, ἢ δι' ἀρετῆς αὐτὸν διοικεῖ ἢ κακίας· τούτου γὰρ μεμνημένος [n]φησί· p. 204.

Μοῖραν δ' οὔ τινά φημι [o]πεφυγμένον ἔμμεναι ἀνδρῶν
[II.394] οὐ κακὸν οὐδὲ μὲν ἐσθλόν, ἐπὴν τὰ πρῶτα γένηται.

νυν ἐλομένῳ—τὴν ε. τ. ὡρ. φορὰν, vel quod prætuli Αἰτία τοίνυν ἐλομένῳ—ἐκ τῆς ε. τ. ὡρ. φορᾶς, *causam hanc*, vel *in eo esse*. HEEREN.

u ἐλομένων] ἐλομένῳ Heeren.

x τῆς] ἐκ τῆς Heeren.

y τῆς ἐνεχθείσης] τῇ ἐνεχθείσῃ Heeren.

z τὸ ἐλέσθαι] τοῦ ἐλέσθαι Heeren.

a διακόσμησις] διακόσμησιν A.

b ἀρετῶν] ἀστέρων Cant. in marg.

c κατὰ τὴν σποράν] κατάσποραν una voce V. κατὰσποράν A.

d κυνὸς sensu flagitante rescripsi pro κύνα. HEEREN.

e Supplevi κατὰ, et pro ὡροσκοπία rescripsi ὡροσκοπίαν. HEEREN.

f ἐκτροπῆς] ἐντροπῆς A.

g ὡροσκοπία] –πίαν V. A.

h ἐνδεικνύναι, ut respondeat præcedenti ἐμφαίνειν, rescripsi pro ἐνδεικνύντι ap. Cant. A. quod nihil habet unde pendeat. HEEREN.

i Αἰγυπτίοις] –τίων V.

k τὰ νοήματα om. V. A.

l ὅταν add. δὲ A.

m δὲ, quod nexus postulat, supplevi, et statim ἢ δι' rescripsi pro καὶ δι'. HEEREN.

n φησὶ] Sc. Il. ζ'. 488.

o Post πεφυγμένον add. ἔμμενε sic V. ἔμμεναι A.

Τοῦτο μὲν οὖν περὶ τοῦ πρώτου καὶ ἀπαραβάτου εἴη ἂν λέγων βίου· περὶ δὲ τοῦ δευτέρου, ὅτι ἐστὶν ἐφ' ἡμῖν, [p]τί οὖν φησὶν Ὅμηρος [q];

οἷον δή νυ θεοὺς βροτοὶ αἰτιόωνται;
ἐξ ἡμέων γάρ φασι κάκ' ἔμμεναι· οἱ δὲ καὶ αὐτοὶ
σφῇσιν ἀτασθαλίῃσιν ὑπὲρ μόρον ἄλγε' ἔχουσιν.

[r]Διὰ τί οὖν "οἱ δὲ καὶ αὐτοί;" Δηλοῖ γὰρ ὅτι καὶ ἀπὸ θεῶν τι ἔρχεται εἰς αὐτοὺς, [s]εἰ καὶ τὸ πλέον δι' αὐτούς· ἢ ὅτι τὰ παραδείγματα τῶν βίων παρὰ θεῶν, οὐδὲ αὐτοὺς ἔξω τῆς αἰτίας τοῦ εἰς κακὰ ἐμπίπτειν; ἀλλ' ἀπολύεται αὐτοὺς, [t]τῷ αὐτεξουσίους ποιῆσαι τὰς ψυχὰς, καὶ αὐταῖς [u]ἐπιτρέψαι ἐλέσθαι [x]βίους, οἱ δὲ ἐξ ἐπιδρομῆς καὶ ἀμαθίας

σφῇσιν ἀτασθαλίῃσιν ὑπὲρ μόρον ἄλγε' ἔχουσι.

43 Ἐκ τῆς Ἰαμβλίχου ἐπιστολῆς πρὸς Μακεδόνιον περὶ εἱμαρμένης.

Οὐσία ἐστὶν ἄϋλος ἡ τῆς ψυχῆς καθ' ἑαυτὴν, ἀσώματος, [II.396] ἀγέννητος πάντη, καὶ ἀνώλεθρος, παρ' ἑαυτῆς ἔχουσα τὸ εἶναι καὶ τὸ ζῆν, αὐτοκίνητος παντελῶς καὶ ἀρχὴ τῆς φύσεως καὶ τῶν ὅλων κινήσεων. Αὕτη δὴ οὖν καθ' ὅσον ἐστὶ τοιαύτη, καὶ τὴν αὐτεξούσιον καὶ τὴν ἀπόλυτον περιείληφεν ἐν ἑαυτῇ ζωήν. Καθ' ὅσον [a]μὲν δίδωσιν [b]ἑαυτὴν εἰς τὰ γιγνόμενα, καὶ ὑπὸ τὴν τοῦ παντὸς φορὰν ἑαυτὴν ὑποτάττει, κατὰ τοσοῦτον καὶ ὑπὸ τὴν εἱμαρμένην ἄγεται, καὶ δουλεύει ταῖς τῆς φύσεως ἀνάγκαις· καθ' ὅσον δὲ [c]αὐτὴ τὴν νοερὰν

p τί λέγει Ὁμ.] τί οὖν φησιν Ὅμηρος; V. A.
q Homer. Od. α'. 32.
r Διὰ τὸ] διὰ τι V. διατοὶ A.
s ἢ καὶ] εἰ καὶ V. A.
t τὸ] τῷ Heeren.
u ἐπιστρέψαι] ἐπιτρέψαι V. A.
x βία] βίους V. A.

42.

a μὲν] μὲν οὖν Heeren.
b αὐτὴν] ἑαυτὴν A.
c αὐτὴ τὴν νοερὰν rescripsi pro αὐτὴν νοεράν. HEEREN. Mox ἀφθαίρετον A.

ἑαυτῆς καὶ τῷ ὄντι ἄφετον ἀπὸ πάντων καὶ αὐθαίρετον ἐνέργειαν ἐνεργεῖ, κατὰ τοσοῦτον τὰ ἑαυτῆς ἑκουσίως πράττει, καὶ τοῦ θείου καὶ ἀγαθοῦ καὶ νοητοῦ μετ' ἀληθείας ἐφάπτεται.

44 Ἐν ταυτῷ.

Τὸν κατὰ νοῦν ἄρα βίον καὶ τὸν ἐχόμενον τῶν θεῶν διαζῆν μελετητέον· οὗτος γὰρ ἡμῖν μόνος ἀποδίδωσι τὴν ἀδέσποτον τῆς ψυχῆς ἐξουσίαν, ἀπολύει τε ἡμᾶς τῶν [a]ἀναγκαίων δεσμῶν, καὶ ποιεῖ ζῆν οὐκ ἀνθρώπινόν τινα βίον, ἀλλὰ τὸν θεῖον, καὶ τῇ βουλήσει τῶν θείων ἀγαθῶν ἀποπληρούμενον.

45 Τοῦ αὐτοῦ.

Καὶ γὰρ ἤδη τὸ ὅλον εἰπεῖν, αἱ μὲν [a]κινήσεις αἱ περὶ
[II.398] τὸν κόσμον [b]τῇ πεπρωμένῃ πρὸς τὰς ἀΰλους καὶ νοερὰς ἐνεργείας καὶ περιφορὰς ἀφομοιοῦνται, ἡ δὲ τάξις αὐτῆς πρὸς τὴν νοητὴν καὶ ἄχραντον εὐταξίαν ἀπείκασται· τὰ δ' αἴτια τὰ δεύτερα τοῖς προηγουμένοις αἰτίοις [c]συνήρτηται, καὶ τὸ ἐν γενέσει πλῆθος περὶ τὴν ἀμέριστον οὐσίαν, καὶ πάντα οὕτω τὰ τῆς εἱμαρμένης συνῆπται πρὸς τὴν προηγουμένην πρόνοιαν. Κατ' αὐτὴν τὴν οὐσίαν ἄρα [d]ἐπιπλέκεται ἡ εἱμαρμένη [e]τῇ προνοίᾳ, καὶ [f]τῷ εἶναι τὴν πρόνοιάν ἐστιν ἡ εἱμαρμένη, καὶ ἀπ' αὐτῆς καὶ περὶ αὐτὴν ὑφέστηκε.

[g]Τούτων δὲ οὕτως ἐχόντων καὶ ἡ τῶν ἀνθρώπων ἀρχὴ τοῦ πράττειν ἔχει μὲν συμφωνίαν πρὸς ἀμφοτέρας ταύτας

43.

[a] ἀναγκαίων] ἀνάγκης Heeren. Post ἀναγκαίων add. δεσμῶν V. A. P.

44.

[a] μηνύσεις] κινήσεις V. A.

[b] τῇ πεπρωμένῃ, *fato similes reddunt*, edidi pro τῆς πεπρωμένης ap. Cant. [et A.] quod nihil habet ad quod referatur. HEEREN.

[c] συνήρτηται] συνήρηται V.

[d] ἐπιπλέκεται] πλέκεται A.

[e] τὴν πρόνοιαν] τῇ προνοίᾳ Heeren.

[f] τὸ] τῷ Heeren.

[g] Nova hic ap. Cant. incipit paragraphus; nihil tamen in marg. annotatum, nec distinguenda videtur ab antecedentibus. HEEREN. Punctis ⁘ sic positis a præcedentibus segregare videtur A.

[h]τὰς τοῦ παντὸς ἀρχὰς, ἔχει δὲ καὶ [i]ἀφειμένην ἀπὸ τῆς φύσεως καὶ ἀπόλυτον ἀπὸ τῆς τοῦ παντὸς κινήσεως ἐν ἡμῖν τῶν πράξεων ἀρχήν. [k]Διὰ τοῦτο οὐκ [l]ἔνεστιν ἐν τῇ τοῦ παντός. Διότι μὲν γὰρ ἀπὸ τῆς φύσεως παράγεται, οὐδὲ ἀπὸ τῆς τοῦ παντὸς κινήσεως, πρεσβυτέρα, [m]καὶ, οὐκ ἀπὸ τοῦ παντὸς ἐνδιδομένη, [n]προτέτακται· διότι γε μὴν ἀφ' ὅλων τῶν τοῦ κόσμου μερίδων, καὶ ἀπὸ πάντων στοιχείων μοίρας τινὰς [o]κατενείματο, καὶ ταύταις πάσαις χρῆται, [p]περιέχεται αὐτὴ ἐν τῇ τῆς εἱμαρμένης διατάξει, καὶ συντελεῖται εἰς αὐτὴν, καὶ συμπληροῖ τὴν ἐν αὐτῇ κατασκευὴν, καὶ χρῆται αὐτῇ δεόντως. Καὶ καθ' ὅσον μὲν λόγον καθαρὸν [q]αὐθυπόστατον καὶ αὐτοκίνητον, ἀφ' [r]ἑαυτοῦ τε ἐνεργοῦντα [s]καὶ τέλειον ἡ ψυχὴ συνείληφεν ἐν ἑαυτῇ, κατὰ τοσοῦτον ἀπόλυτός ἐστι πάντων τῶν ἔξωθεν· καθ' ὅσον γε μὴν καὶ ζωὰς ἄλλας προβάλλει, ῥεπούσας εἰς τὴν γένεσιν, καὶ ἐπικοινωνεῖ [t]τῷ σώματι, κατὰ τοσοῦτον ἔχει συμπλοκὴν καὶ πρὸς τὴν τοῦ κόσμου διάταξιν. 45

[II.400]

46 Ἐν ταυτῷ. p. 205.

Εἰ δέ τις ταυτόματον καὶ τὴν [a]τύχην ἐπεισάγων ἀναιρεῖν οἴεται τὴν τάξιν, μαθέτω, ὡς οὐδέν ἐστιν ἐν τῷ παντὶ ἄτακτον οὐδ' [b]ἐπεισοδιῶδες, οὐδὲ ἄνευ αἰτίας, οὐδὲ ἀόριστον,

h Ante τοῦ add. τὰς V. A.

i φειμένην] ἀφειμένην V. A.

k Post Διὰ τοῦτο excidit forte οὖν. HEEREN.

l ἔστιν] ἔνεστιν V. A.

m Prima clara sunt; *quatenus anima suam naturam sequitur, nec a motu universi pendet, supra fatum est*; in proximis jungendum puto καὶ, οὐκ ἐνδιδομένη ἀπὸ τοῦ παντὸς, et, *quatenus universum in eam non influit*, προτέτακται, *primum locum obtinet*. HEEREN.

n προτέτακται] προστέτ. A.

o κατενόματο] κατενείματο V. P. κατενείμαντο A.

p περιέχει ταύτῃ καὶ] περιέχεται αὐτὴ Heeren. qui add. καὶ post διατάξει.

q ἀνυπόστατον] αὐθυπόστατον V. A.

r Post αὐτοῦ add. τε V. A.

s Verba καὶ τέλειον—ἑαυτῇ desunt V.

t τῷ σώματι, quod ordo verborum flagitat, rescripsi pro τὸ σῶμα. HEEREN.

45.

a ψυχὴν] τύχην Heeren.

b ἐπεισοσιῶδες] –διῶδες V. ἐπείσοσιῶδες A. ut Cant.

οὐδὲ εἰκῇ, οὐδὲ ἀπὸ τοῦ μηδενὸς ἐπεισιὸν, οὐδὲ κατὰ συμ-
βεβηκός. Οὔκουν ἀναιρεῖται ἡ τάξις καὶ συνέχεια τῶν
αἰτιῶν, καὶ ἡ τῶν ἀρχῶν ἕνωσις, καὶ [c]ἡ δι' ὅλων διατεί-
[II.402] νουσα τῶν πρώτων ἐπικράτεια. [d]Βέλτιον οὖν ἀφορίζεσθαι,
ἡ τύχη τῶν πλειόνων τάξεων, ἢ καὶ ἄλλων δή τινων, ἥ ἐστιν
ἔφορος, καὶ συναγωγὸς αἰτία, πρεσβυτέρα τῶν συνιόντων,
ἣν τότε μὲν [e]θεὸν ἐπικαλοῦμεν, [f]ἣν [g]παρειλήφαμεν. Ἡνίκα
μὲν [h]γὰρ τὰ κρείττονα αἴτια τῶν [i]συνιόντων, θεός ἐστιν
αὐτῶν ἔφορος, ὁπόταν δὲ τὰ ἐν τῇ φύσει, [k]δαίμων. Ἀεὶ
οὖν μετ' αἰτίας πάντα ἐπιτελεῖται, καὶ οὐδ' ὁτιοῦν ἄτακτον
ἐν τοῖς γιγνομένοις ἐπεισέρχεται.

47 Ἐν ταυτῷ.

Διὰ τί οὖν παρ' ἀξίαν αἱ διανομαὶ ἀποδίδονται;
[a]ἢ τοῦτο οὐδὲ τὴν ἀρχὴν ἀμφισβητεῖν ὅσιον; οὐ γὰρ ἐπ' ἄλλῳ
τινὶ κεῖται, ἐπ' αὐτῷ δὲ τῷ ἀνθρώπῳ καὶ τῇ τοῦ ἀνθρώπου
αἱρέσει τἀγαθὰ, καὶ ταῦτα ἐν τῇ [b]προαιρέσει μόνον [c]κυριώ-
[II.404] τατα δὴ ἀφώρισται, τὰ δὲ ἀπορούμενα παρὰ [d]τοῖς πολλοῖς
δι' ἄγνοιαν ἀμφισβητεῖται. Οὐκ ἄλλη οὖν [e]ἐπικαρπία

c ὁδι'] ἡ δι' V. A.

d Corrupta hæc esse nemo non videt, sed quid rescribendum sit, haud facile dixeris, nam in codd. nihil prorsus præsidii. Tentavi: Βέλτιον οὖν οὕτως ἀφορίζεσθαι· ἡ τύχη ἡ τῶν κρειττόνων τάξις, ἢ καὶ ἄλλων δή τινων, ἧ ἐστιν—τῶν συνιόντων. *Fortunam esse ordinem rerum et meliorum quæ a Deo proficiscantur, et aliarum, quibus præest quatenus eventuum conjunctione oriuntur,* τῶν συνιόντων, quod adeo pro συμβαινόντων dictum foret. Attamen nondum me in his acquiescere, et in verbis maxime ἄλλων δή τινων mendum latere videri, quod tamen aliis indagandum relinquo, non negaverim. HEEREN.

e θεὸν] θεῶν V.

f ἣν] τότε δὲ δαίμονα Heeren.

g εἰλήφαμεν] παρείληφ. V. A. P.

h Ante γὰρ add. μὲν P. Cætera ut in editis V. ἡνίκα μὲν γὰρ τὰ κρείττονα A.

i συνίη] συνῖῆ A. συνιόντων Heeren.

k δαιμόνων] δαίμων V. A.

46.

a Ἢ τοῦτο] ἢ om. Heeren. qui supra tacite ἀπονομαὶ pro διανομαί.

b Post προαιρέσει add. μόνον V. A.

c κυριώταται καὶ] κυριώτατα δὴ V. A.

d Ante τοῖς add. παρὰ V. A. P.

e ἐπικράτεια] ἐπικαρπία V. A. P.

τῆς ἀρετῆς ἐστὶν ἡ [f]αὐτὴ ἑαυτῆς. Οὐ μὴν οὐδὲ ἐλαττοῦται ὅστις σπουδαῖος ἀπὸ τῆς τύχης, κρείττονα γὰρ αὐτὸν πάσης συντυχίας [g]ἡ μεγαλοψυχία ἀπεργάζεται. [h]Οὐδὲ γὰρ παρὰ φύσιν γίγνεται· ἐξαρκεῖ γὰρ ἡ τῆς ψυχῆς ἀκρότης καὶ τελειότης τὴν ἀρίστην φύσιν συμπληρῶσαι τοῦ ἀνθρώπου. Καὶ μὴν τά γε ἐναντία εἶναι δοκοῦντα γυμνάζει καὶ συνέχει καὶ [i]συναύξει τὴν ἀρετήν, καὶ οὐχ οἷόν ἐστι χωρὶς αὐτῶν καλοὺς κἀγαθοὺς γίγνεσθαι. Καὶ αὕτη τοίνυν ἡ διάθεσις [k]τοῦ σπουδαίου τὸ καλὸν προτιμᾶται διαφερόντως, καὶ τὴν τοῦ λόγου τελειότητα μόνην ἐν μακαρίᾳ ζωῇ τίθεται, τὰ δὲ ἄλλα ἐν οὐδενὸς μέρει περιορᾷ καὶ ἀτιμάζει. Ἐπεὶ τοίνυν ἐν ψυχῇ μέν [l]ἐστιν ὁ ἄνθρωπος, ἡ δὲ ψυχὴ νοερά τε ἐστὶ καὶ ἀθάνατος, καὶ τὸ καλὸν ἄρα αὐτῆς καὶ τὸ ἀγαθὸν καὶ τὸ τέλος ἐνυπάρχει τῇ θείᾳ ζωῇ, [m]τῶν δὲ θνητοειδῶν οὐδὲν κύριον ἢ [n]συμβάλλεσθαί τι πρὸς τὴν τελείαν ζωήν ἐστιν, ἢ [o]παραιρεῖν αὐτῆς τὴν εὐδαιμονίαν. Ὅλως γὰρ ἐν νοερᾷ μὲν ζωῇ τὸ μακάριον ἡμῖν [p]ὑπάρχει· ταύτην δὲ οὐδὲν τῶν μέσων οὔτε ἐπιδιδόναι ποιεῖ, οὔτ' ἐστὶν ἀφαιρεῖσθαι. [II.406] Μάτην ἄρα αἱ τύχαι καὶ τὰ ἄνισα δῶρα τῆς τύχης διατεθρύλληται παρὰ τοῖς ἀνθρώποις.

Κεφ. η'.

[a]ΟΤΙ ΟΥΔΕΙΣ ΕΚΩΝ ΠΟΝΗΡΟΣ.

1 Δημοκρίτου.

Ἀφ' ὧν ἡμῖν τἀγαθὰ γίγνεται, ἀπὸ τῶν αὐτῶν τούτων

[f] αὐτὸ] αὐτὴ V. A.
[g] καὶ μεγαλοψυχίας] ἡ μεγαλοψυχία V. A.
[h] Οὐδὲ—γίνεται deest V.
[i] συνάξει] συναύξει V. A. Cant. in marg.
[k] τὸν σπουδαῖον] τοῦ σπουδαίου V. A. P.
[l] ἔστι] ἐστὶν ὁ A.
[m] τῶν τε] τῶν θε sic V. τῶν δὲ A.
[n] συμβάλεσθαι] συμβάλλεσθαι V. A.
[o] παραιρεῖν] παραιτεῖν V. A.
[p] ὑπάρχει] ὑπάρχειν A.

1.

[a] Etsi nihil, nec in ed. nec in

καὶ τὰ κακὰ ἐπαυρισκοίμεθα· τῶν δὲ κακῶν ἐκτὸς [b]εἴημεν. Αὐτίκα ὕδωρ βαθὺ εἰς πολλὰ χρήσιμον, καὶ δ' αὖτε κακὸν, κίνδυνος γὰρ ἀποπνιγῆναι. Μηχανὴ οὖν εὑρέθη, νήχεσθαι διδάσκειν.

2 Τοῦ αὐτοῦ.

[a]Ἀνθρώποισι κακὰ ἐξ ἀγαθῶν φύεται, ἐπήν τις τἀγαθὰ μὴ [b]πίστηται ποδηγετεῖν, μηδὲ [c]ὀχεῖν [d]εὐπόρως. Οὐ δίκαιον ἐν κακοῖσι τὰ τοιάδε κρίνειν, [e]ἀλλ' ἐν ἀγαθοῖσι, [II.408] τοῖς τε ἀγαθοῖσι οἷόν τε χρῆσθαι καὶ πρὸς τὰ κακὰ, εἴ τινι βουλομένῳ ἂν ᾖ.

3

Ὁ μὲν [a]εὔθυμος εἰς ἔργα ἐπιφερόμενος δίκαια καὶ νόμιμα [b]καὶ ὕπαρ καὶ ὄναρ χαίρει τε καὶ [c]ἔρρωται καὶ [d]πανακήδης ἐστίν· ὃς δ' ἂν καὶ [e]δίκης [f]ἀλογέῃ, καὶ τὰ

codd. hic notatur, novum tamen hic caput incipere, nullus dubito. Pertinent enim quæ sequuntur ad cap. IX. ap. Phot. ὅτι οὐδεὶς ἑκὼν πονηρὸς, *neminem nisi sua voluntate malum esse*. Exstat ibi tantum male ἑκών. Sed pro eo ἄκων legendum esse, sensu modo explicato, satis docent ipsa loca. HEEREN.

[b] εἴη μὲν] εἴημεν V. A.

ib. Pauca fere hic excidisse suspicor. Patet enim Democritum illud voluisse, liberos nos fore a malis, si rebus unde proveniunt recte uteremur. HEEREN.

2.

[a] Ἀνθρώπινα] Ἀνθρώποισι A. Et sic Flor. IV. 53.

[b] ἐπίστηται] πίστηται V. A. Tum ποδιγετεῖν A. ποδηγεῖν Flor.

[c] ὀχεῖν] Sic Flor. ὀχλεῖν V. A.

[d] Post εὐπόρως majori distinctione interpunxi, et ut nexus constaret addidi statim δέ. HEEREN. i. e. οὐδὲ pro οὐ.

[e] ἀλλ' ἐν ἀγαθοῖσιν ἔντοις τε ἀγαθοῖσιν οἷοντε χρῆσθαι καὶ πρὸς τὰ κακὰ, εἴ τινα βουλομένῳ ἄλην] Pro ἔν τοις τε A. habet ὧν· τοῖς τε. In V. desunt ἐν τοῖς τε ἀγαθοῖσιν. Infra ἄλκην pro ἄλην habent A. V. Postrema edidi secundum Koënii emend. ad Greg. p. 173=376.

3.

[a] εὔμυθος] εὔθυμος V. A.

[b] καὶ ὕπαρ] καθ' ὕπαρ Heerenius, male.

[c] ἔρρεται] ἔρρωται V. A.

[d] ἀνακύδης] πανακήδης Heerenius ex Dorvillii em. ad Charit. p. 27 =215.

[e] δίκης] καὶ δίκης A. P.

[f] ἀλογέῃ καὶ τὰ χρέοντα μὴ ἔρδῃ (ex χρέων) *debitum*, rescripsi pro ἀλογῇ καὶ τὰ χρηέοντα μὴ ἔρσῃ. Lectionem ἔρδῃ confirmant codd. V. A. E. HEEREN.

χρὴ ἔοντα μὴ [g]ἔρδῃ, τούτῳ πάντα τὰ τοιάδε [h]ἀτερπίη ὅταν τευ ἀναμνησθῇ, [i]καὶ δέδοικε, καὶ [k]ἑωϋτὸν κακίζει.

4

Οἱ θεοὶ τοῖς ἀνθρώποισι δίδοῦσι τἀγαθὰ πάντα καὶ πάλαι καὶ νῦν, πλὴν ὁκόσα κακὰ καὶ βλαβερὰ καὶ ἀνωφελέα. Τάδε δ' οὐ πάλαι οὔτε νῦν θεοὶ ἀνθρώποισι δωροῦνται, ἀλλ' αὐτοὶ [a]τοῖσδεσιν ἀμπελάζουσι διὰ νοῦ τυφλότητα καὶ ἀγνωμοσύνην.

5 p. 206.

[II.410] Τύχη μεγαλόδωρος, ἀλλ' ἀβέβαιος, φύσις δὲ αὐτάρκης· διόπερ νικᾷ [a]τῷ ἥσσονι καὶ βεβαίῳ τὸ μεῖζον τῆς ἐλπίδος.

6 Εὐσεβίου.

[II.412] Θεοῦ ἐξ ἀρχῆς φήναντος τῷ γένει τῶν ἀνθρώπων κατὰ τὰ [a]φατιζόμενα [b]ὄψεις οὔσας διαφανέας, ὁδοὶ διφάσιαι προκέαται [c]βίου ψυχαῖς ἀνθρώπων, [d]ἀδαμαντίνῃ αἱμασίῃ παχυτάτῃ, καὶ ἐς πολλὸν ὕψος ἀνηκούσῃ, [e]κατὰ τὰ ὑπὸ τοῦ ἐξ ἀρχῆς φήναντος, ἀπ' ἀλληλέων τὰ πρῶτα διειργόμεναι. Καὶ ἡ μὲν αὐτέων ἐστὶν, (οἰκοία δὴ τὴν τιμιωτέρην

g ἔρση] ἔρδη V. A.

h ἀτερπείῃ] ἀτέρπεα εἴη ut dialecto simul et sensui consulerem edidi pro ἀτερπείῃ. HEEREN. nescio an ἀτερποίη A.

i ἤ] καὶ V. A.

k ἑωϋτὸν bene codd. V. A. E. pro αὐτόν. ὦἑαὐτὸν cum ωϋ in marg. A. δὲ deest V. A.

4.

a τοίςδεσι] τοῖςδεσιν V. A. Supra ὁκόσα A. non ὁπόσα. Infra ἐμπελάζουσι conj. Valckenær.

5.

a τῷ ἥσσονι καὶ βεβαίῳ] τῶ ἥσσονος καὶ ἀβεβαίω Heeren.

6.

a φωτιζόμενα] Heeren. φατιζόμενα ex Jacobsii em. Vid. p. seq. n. h. Vulg. retinet Koën. ad Gregor. p. 243=510.

b οἴεις οὖσαι ἀφανέες ὁδοὶ διφασίαι] ὄψεις οὖσαι ἀφανέες· ὁδοὶ διαφανέες, ὁδοὶ διαφασίαι A. οὔεις P. pro ὄψεις. Heeren. dedit ὄψεις οὔσας διαφανέας ὁ. δ. Koënius, οὐκ ἐοῦσαι ἀφανέες, ὁ. δ.

c βίου] βίον P.

d ἀδαμαντίνῃ αἱμασίῃ παχυτάτῃ et mox ἀνηκούσῃ tertio casu, cum in ed. Cant. nominativi sint, rescripsi præeunte jam Jacobsio. HEEREN. Et sic Koën.

e κατὰ τὰ] Koënio φωτιζόμενα addendum videtur, vel scribendum κάρτα.

τάξιν λαχοῦσα,) ἐκ δεξιῆς χειρὸς ἐσιόντων. [f]Αὕτη ἐπὶ
τὴν ἀρετὴν αὐταῖς [g]ἡγέεται, ἑτέρη δὲ λαιὰ οὖσα, ἐπὶ τὴν
κακίην ἐστὶ παραπέμπουσα. [h]Φατίζονται [i]δὲ εἶναι τοιαίδε,
ἡ μὲν τῆς ἀρετῆς τὰ πρῶτα [k]οὐκ εὐήλατά πως παρέχειν
[II.414] δοκέει, οἷα τε μέντοι [l]εὐτυχεῖ πόνῳ ἀνυσθῆναι· ἀλλὰ καὶ
τοὺς κατηγεομένους [m]ἔχει, καὶ παραπέμψαντας ἀκινδύνως·
τὸ δὲ μετὰ τοῦτο, [n]ἔστιν ὁδὸς ἰθέη τε καὶ εὐρέη, μέχρι τῆς
ἐπὶ τὴν ἀκρόπολιν αὐτοῦ τοῦ καλοῦ· [o]ἐπ' ἣν ἀνελθὼν ἐν τοῖς
καλλίστοις ἔσεαι καὶ θέῃ ἄλλων τε μυρίων ἀγαθῶν, καὶ
τῶν εὐδαιμονεστάτων, ἀτὰρ δὴ καὶ φωτὸς, παντὸς τοῦ λοιποῦ
κάλλει μυρίῳ προήκοντος, καὶ [p]αὐγοειδεστάτου. [q]Πέριξ δὲ
καὶ περὶ πᾶσαν [r]γῆν ἀναπεπταμένην αἱ πόλιες ἔασι, καὶ
οἱ τὴν γῆν κατοικέοντες καὶ ἐργαζόμενοι, περὶ ὧν, ὡς ἕκαστα
ἔχει, ὁ ἐπὶ [s]συμβουλίην τῶν ψυχέων προπεμφθεὶς ἐρέει
[II 416] [t]Λόγος. Καὶ [u]ἥδε μὲν ὧδέ [x]κως ἔχει· ἡ δὲ ἐπὶ τὴν κα-
κίην [y]ἄγουσα, ἔστιν [z]οἵη τὰ μὲν κατ' ἀρχὰς, ὀλίγου πάγχυ
καὶ τούτου οὐ γνησίου, ἀπατηλοῦ δὲ, καὶ ἐπὶ παραγωγῇ
τῶν προσιόντων, γεῦσαι τοῦ ἡδέος· [a]ὥστε καὶ μηδενὸς μετὰ
ταῦτα ἡγεμόνος εὑρισκομένου, εὐθὺς [b]ἄγει ἐς ὁδὸν σκολίην,

[f] Αὐτὴ] αὐτῇ A. αὕτη Heeren.

[g] ἡγέται] ἡγέεται V. A. Mox λαιὴ em. Dindorf. T. L. G. V. p. 45 B.

[h] τατίζονται] φωτίζονται V. φατίζονται A.

[i] Post δὲ add. εἶναι V. A.

[k] οὐ σκευὴ λατάπως] οὐκ εὐήλατά πως V. A.

[l] εὐτυχεῖ] εὐτυχῇ V.

[m] Post ἔχει add. καὶ V. A. P.

[n] ἐστὶ δὸς θέτε] ἐστὶν ὁδὸς θέητε V. A. ὁδὸς θε τε P. ἰθέη τε em. Koën. ad Gregor. p. 225=474.

[o] ἐπὴν] ἐπ' ἣν Koën. ad Gregor. p. 219=465.

[p] αὐγοειδεστάτου, *splendidissimi*, quod a φωτὸς pendet, recte rescripserat Jacobs. pro αὐγοειδεστάτῳ ap. Cant. [et A.] HEEREN.

[q] Post Πέριξ add. δὲ V. A.

[r] γῆν] τὴν V. A.

[s] συμβουλίην] -λίη A.

[t] Λόγος, qui infra ἄγγελος dicitur. Ex Platonicis hæc adumbrata esse, nempe de republ. l. X. ubi singulis animis dæmon suus datur, per se patet. HEEREN.

[u] εἴδε] ἥδε V. A.

[x] κακῶς] κως V. A.

[y] ἔχουσα] ἄγουσα Koën. ad Gregor. p. 242=509.

[z] οἵη] λείη ed. Heeren. ex em. Jacobsii. Idem addit ὡς ante ὀλίγου et αὐτοὺς post γεῦσαι.

[a] ὥστε δὲ] ὥστε καὶ V.

[b] ἄγει] Heerenius ἄγειν.

σκόλοπάς τε ἔχουσαν, οἵτινες [c]δὴ ὀξέες μεγάλοι καὶ πυκνοὶ καταπεπήγασι, καὶ χαράδρας καὶ [d]κρημνοὺς, κατὰ κεφαλῆς ὠθέοντας τοὺς [e]εὑρισκομένους [f]κατὰ τοῦ συμψήσοντος
[II.418] καὶ παρασυρέοντος τοὺς κατενεχθέντας ἐπ' αὐτὸν [g]ποταμοῦ κάτω βορβόρῳ καὶ λίθοις ῥέοντος· ὥστε πολλοὺς εὐθὺς οὕτω διαφθείρεσθαι, οἱ δὲ λοιποὶ τύχῃ, οὔτ' ἄρ' οἰκείῃ προμηθείῃ, ἐπὶ τὰς αὐτόθι [h]ἐούσας πόλιας [i]διασκεδαννύαται ἄλλοι ἄλλοσε, καὶ ἐπὶ πᾶσαν, [k]πολλὴν ἐοῦσαν, τὴν [l]χώρην, περὶ ὧν δὴ καὶ αὐτῶν ὁ [m]προειρημένος ἄγγελος ἀφηγήσεται. Τουτέων ἐουσέων τῶν ὁδῶν τοιουτέων, ἄγει ὁ προειρημένος, καὶ ἔστιν ἐν μέσῳ θεοῦ μεγάλου κῆρυξ, [n]σύμβουλός τε λόγος, ψυχαῖς [o]τε ταῖς μελλούσαις κατιέναι τοιάδε προφανέει· ψυχαὶ ἀνθρώπων, φύσιν ἔχουσαι [p]θνηταί τε εἶναι καὶ ἀθάνατοι, καὶ ζωῇ μὲν τῇ [q]ἐπὶ τῆς γῆς νομιζομένῃ θανάτῳ [r]ἐγκυρέουσαι, θανάτῳ δὲ τῷ δοκέοντι αὐτόθι ζωὴν ἀπολαμβάνουσαι, ἐπεὰν χρόνου τοῦ τεταγμένου ὑμῖν ἀνυσθέντος [s]αὖτις ἀπολυθῆτε σώματος, τοῦ ἐν τῷ αὐτόθι θανάτῳ ὑπο-
[II.420] δεξαμένου ὑμέας, διαδέξονται αὖτις ὑμέας [t]τρόπον τῆς ἐπὶ γῆς ζωῆς βίοι οἱ ὀφειλόμενοι, καὶ διὰ τοῦτο παραινέω, θεοῦ

[c] δὲ] δὴ Heeren.

[d] κρημνοὺς] κρημνὰ V. A.

[e] εὑρισκομένους] ἁλισκομένους conj. Koën. σφαλλομένους Jacobs. πορευομένους Heeren.

[f] καὶ τοὺς τοῦ] τοὺς om. V. κατὰ τοῦ A.

ib. καὶ τοὺς τοῦ συμψήσοντος] καὶ τοῦτο συμψήσαντος Koën. κατὰ τοῦ συμψήσοντος Heeren.

[g] ποταμοὺς] ποταμοῦ Koën. Heeren. Post ποταμοὺς add. κάτω V. A.

[h] ἐούσας] ἐάσας A.

[i] διαννύαται] –νύατε A.

[k] πολλὴν] πόλιν A.

[l] χώρην] χῶραν A.

[m] προκρινόμενος] προειρημένος V. A. P.

[n] σύμβουλός τε λόγος, ψυχαῖς] σύμβολος ψυχαῖς A.

[o] ταῖς] τε ταῖς Heeren.

[p] θνηταί τε] θνητά τε A.

[q] ἐπὶ γῆς νομ.] ἐπὶ τῆς γῆς νομ. A.

[r] ἐγκυρέουσαι] ἐγκυριεύουσαι A.

[s] αὖθις] αὖτις servata Ionica forma codd. V. A. E. pro αὖθις ap. Cant. HEEREN. αὐτῆς A. Cant. qui mox σήματος.

[t] τρόπον pro κατὰ τρόπον, edidi pro τρόπου. HEEREN. paullo ante αὖτις A. pro αὖθις.

μεγάλου Ἑρμέω καὶ θεῶν τῶν [v]λοιπῶν προφήτης τε καὶ σύμβουλος λόγος, καὶ ἀπειθούσαις μὲν προλέγω [u]θνητὰ κακὰ, πειθομέναις δὲ ἀγαθὰ ἔσεσθαι τοῖς τῶν θεῶν [x]ὁμοιεύμενα. Οὐ χρὴ οὖν [y]βραχυτάτης κιβδήλου [z]τε καὶ εὐδιασκεδάστου τῆς ἡδονῆς ἕνεκα κακὰ μεγάλα, καὶ τὰ [a]παραμενέοντα τὸν πάντα χρόνον, αἱρέεσθαι, καὶ βίῳ τῷ βραχυτάτῳ βίον βλάψαι τὸν μετὰ ταῦτα μακρότατον, οὐδ' αὖ πόνον ὀλίγον [b]καταδεισάσας ἀγαθὰ μεγάλα, καὶ τὰ [c]παραμενέοντα τὸν πάντα χρόνον, καὶ εὐδαιμονίην βιοτῆς μηκίστης [d]τῆς μετὰ [e]ταῦτα προΐεσθαι.

7 [a]Ἰεροκλέους ἐκ τοῦ τίνα τρόπον θεοῖς χρηστέον. p. 207.

[b]Πολὺ δέ μοι δοκεῖ συμβάλλεσθαι [c]πρὸς τὸ καλῶς χρῆσθαι θεοῖς, καὶ τὸ διειληφέναι, ὡς οὐδενός ποτε κακοῦ γίγνεται θεὸς αἴτιος, ἀλλὰ ταῦτα μὲν ἐκ τῆς κακίας [d]ἅπαντα μόνης, οἱ δὲ θεοὶ τὸ ἐφ' [e]ἑαυτοῖς ἀγαθῶν τέ εἰσιν αἴτιοι καὶ τῶν εὐχρήστων, ἡμεῖς δέ ἐσμεν οἱ τὰς εὐεργεσίας
[II.422] αὐτῶν οὐ προσιέμενοι, περιβάλλοντες δ' [f]ἑαυτοὺς κακοῖς αὐθαιρέτοις. Ἤδη καιρὸν ἔχειν [g]μοι τὸ ποιητικὸν ἐκεῖνο δοκεῖ κατὰ τὸν τόπον τοῦτον, ὡς [h]δὴ οἱ βροτοὶ τοὺς θεοὺς [i]αἰτιῶνται, ὡς ἐξ αὐτῶν ἐπιπεμπομένων τῶν κακῶν,

[v] λοιπῶν] λοιπὸν A.
[u] ἄθνητα, *mala sempiterna*, recte ut opinor restituit Jacobs. pro θνητά. HEEREN. Male, opinor.
[x] ὁμοιούμενα] ὁμοιεύμενα V. A.
[y] βραχία γῆς] βραχυτάτης V. A.
[z] τε add. καὶ A.
[a] Post παραμένοντα add. τὸν πάντα V. A. Dedi παραμενέοντα ut inf.
[b] καταδείσας] καταδεισάσας V. A.
[c] παραμένοντα] παραμενέοντα V. A.
[d] Ante μετὰ add. τῆς V. A.
[e] ταῦτα] ταύτης Heeren.

7.

[a] Ἱεροκλέους] φεροκλέους A.
[b] Πολὺ] πολλᾷ A.
[c] Ante τὸ add. πρὸς V. A.
[d] ἅπαντα] ἀπαντᾷ Cant. in marg.
[e] ἑαυτῆς] ἑαυτοῖς V. A.
[f] αὐτοὺς] ἑαυτοὺς V. A.
[g] μὴ] μοι V. A.
[h] δὲ] δὴ V. A.
[i] αἰτιόωνται] –ῶνται V. A.

οἱ δὲ καὶ αὐτοὶ
σφῆσιν ἀτασθαλίῃσιν ὑπὲρ μόρον ἄλγε' ἔχουσιν,

ἐπείτοιγε ὡς ὁ θεὸς οὐδαμῇ οὐδαμῶς κακῶν αἴτιός ἐστιν, ἐκ [k]πολλῶν ἂν νοήσειέ τις, πρὸς δὲ τὸ παρὸν ἀποχρήσειεν [l]ἂν ἴσως ὁ Πλάτωνος ἐκεῖνος λόγος. [m]Οὐ γὰρ θερμοῦ φησὶ τὸ ψύχειν, ἀλλὰ τοῦ ἐναντίου, οὐδὲ ψυχροῦ τὸ θερμαίνειν, ἀλλὰ τοῦ ἐναντίου· οὕτως οὖν οὐδὲ ἀγαθοποιοῦ τὸ κακοποιεῖν, ἀλλὰ τοὐναντίον. Καὶ μὴν ἀγαθὸς ὁ θεὸς, πεπληρωμένος εὐθὺς [n]ἀπ' ἀρχῆς ταῖς [o]ἁπάσαις ἀρεταῖς, ὥστ' οὐκ ἂν [p]κακοποιητικὸς ὁ θεὸς εἴη, οὐδέ τινι κακῶν αἴτιος, πάντα δὲ τοὐναντίον παρέχων ἀγαθὰ τοῖς λαβεῖν βουλομένοις ἅπασι, χαριζόμενος δὲ σὺν τοῖς ἀγαθοῖς καὶ τῶν μέσων ὅσα κατὰ φύσιν ἡμῖν ἐστὶ, τὰ ποιητικά [q]τε τῶν κατὰ φύσιν. [r]Ἓν δὲ καὶ μόνον αἴτιον τῶν κακῶν. Ταῦτα [r]χρὴ διειληφέναι, ὡς τῶν μὲν ἀγαθῶν αἰτίων ὄντων
[II.424] τῶν θεῶν, τῶν δὲ κακῶν τῆς κακίας. Τίνα οὖν ἡμῖν τοῦ κακῶς πάσχειν αἴτια; Ἐπεὶ δὲ τῶν μέσων ἐστί τινα παρὰ φύσιν καὶ δύσχρηστα, ἦ νὴ Δία ποιητικὰ τῶν [s]τοιούτων, ἄξιον καὶ περὶ τούτων τὴν νυνὶ διάληψιν ἔχειν, οἷον νόσου λέγω, πηρώσεως, θανάτου, πενίας, δόξης, καὶ τῶν παραπλησίων. Πολλὰ τοίνυν πέφυκεν αὐτῶν περαίνειν καὶ ἡ

[k] πολλῶν] ἂν addit Heeren.

[l] Post ἂν add. ἴσως V. A.

[m] Ante oculos habuisse videtur disputationem Platonis de Rep. l. II. Op. II. p. 381. HEEREN.

[n] ἀπ' ἀρχῆς deest V. A.

[o] Post ἁπάσαις add. ἀρεταῖς V. A. P.

[p] κακοποιητικὸς] κακοποιὸς V.

[q] γε] τε V. A.

[r] Post χρὴ desinunt Canteri edita, ultimo folio, ut videtur, abscisso. In codd. vero V. A. E. sequentia adhuc leguntur, quibus non Hieroclis modo locus absolvitur, sed alius adhuc Musonii additur. HEEREN.

[s] Pro τούτων quod habet E. in V. [et A.] exstat τῶν τοιούτων, quod exhibui. De ποιητικοῖς hisce bonorum et malorum v. supra p. [144.] HEEREN.

κακία, καὶ [t]γὰρ δι' ἀκρασίαν καὶ λαγνείαν πολλαὶ μὲν γίνονται νόσοι, πολλαὶ δὲ πηρώσεις· [u]διά τε ἀδικίαν πολλοὶ μὲν ἐχειροκοπήθησαν, καὶ ἄλλας τοιαύτας ἀνεδέξαντο λώβας, πολλοὶ δὲ καὶ ὅλως ἀπέθανον. Ἐμποδίζεται δὲ πύκνα καὶ ἡ φιλάνθρωπος ἰατρικὴ πρὸς τὴν ἑαυτῆς πρόθεσιν ὑπὸ τῆς κακίας. Ἄπρακτα γὰρ γίνεται τὰ βοηθήματα τῆς τέχνης δι' ἀπειθείαν καὶ ἀκρασίαν καὶ φυγοπονίαν τῶν νοσούντων· καὶ μὴν πολλοὺς μὲν ἀπεργάσατο πτωχοὺς καὶ ἀπόρους ἀσωτία καὶ πολυτέλεια, πολλοὺς δὲ ἀδόξους αἰσχροκέρδεια καὶ μικροπρέπεια. Μετά γε μὴν τὴν κακίαν δευτέρα τῶν τοιούτων πρόφασις ἡ ὕλη. Τὰ μὲν γὰρ μετέωρα καὶ ὑπὲρ ἡμᾶς, ὡς ἂν ἐκ τῆς εἰλικρινεστάτης οὐσίας γεγονότα, δι' ὁμαλοῦ πορεύεται, πάντων ἐν αὐτοῖς κατὰ τοὺς τῆς φύσεως λόγους περαινομένων· [x]τὰ δ' ἐπίγεια καθάπερ ὑπὸ σταθμὴν καὶ ὕλην ἔχοντα τὴν ὅλων οὐσίαν.

8 Μουσωνίου.

[II.426] Πάντες, [a]ἔφη, φύσει πεφύκαμεν οὕτως, ὥστε ζῆν ἀνα-

[t] γὰρ addidi ut nexus constaret. HEEREN.

[u] Ut manus abscinderentur non insolitum fuisse apud antiquos supplicium, exemplum habes ap. Appian. in Iber. cap. 24. HEEREN.

[x] Nempe πορεύεται. *Terrestria ita procedunt, ut sub imperio ac materiæ subjecta ea esse pateat.* HEEREN. Mox ὅλων A. ὅλην Heer. 8.

Cod. E. [et A.] Musonii nomen servavit, in V. sine nomine auctoris sejuncta leguntur a præcedentibus. Musonium vero hunc neminem alium esse, quam Musonium Rufum Stoicum, Neronis et Vespasiani æqualem, ex Tacito aliisque scriptoribus clarissimum, ex ipso loco nostro, in quo de natura humana, ad virtutem eam comparatam esse docens, Stoicorum more magnifice loquitur. Ejus Apomnemoneumata vero collegisse Asinium Pollionem testis est Suidas; atque ex his descripta esse quæ apud Stobæum legimus, ex ipso initio patet, ubi πάντες ἔφη φύσει, ut adeo non ex ipsius Musonii scriptis, sed ex memorabilibus, quæ amici de eo collegerant, petitum sit. HEEREN. Vid. Obs. Misc. VII. p. 193.

[a] ἔφη, Musonius scil. v. not. præcedentem. HEEREN.

μαρτήτως καὶ καλῶς, οὐχ ὁ μὲν ἡμῶν ὁ δ' οὔ· καὶ [b]τούτου μέγα τεκμήριον ὅτι πᾶσιν ὁμοίως οἱ νομοθέται καὶ προστάττουσιν ἃ χρὴ ποιεῖν, καὶ ἀπαγορεύουσιν ἃ μὴ χρή, οὐχ [c]ὑπεξαιρούμενοι οὐδένα τῶν ἀπειθούντων ἢ τῶν ἁμαρτανόντων, ὥστε ἀτιμώρητον εἶναι οὐ νέον, οὐ πρεσβύτην, οὐκ ἰσχυρὸν, οὐκ ἀσθενῆ, οὐχ ὁντινα οὖν. Καίτοι ἐχρῆν, εἰ ὅλον ἐπείσακτον τὸ τῆς ἀρετῆς ἦν, καὶ μηδὲν [d]αὐτοῦ φύσει ἡμῖν μετῆν, ὥσπερ οὐδ' ἐν τοῖς ὑπὸ τὰς ἄλλας τέχνας οὖσιν ἔργοις οὐδεὶς ἀπαιτεῖται εἶναι ἀναμάρτητος, μὴ μεμαθηκὼς τὴν τέχνην, οὕτως μήδ' ἐν τοῖς κατὰ τὸν βίον μηδένα ἀπαιτεῖσθαι εἶναι ἀναρμάρτητον, [e]ὅστις ἀρετὴν μὴ ἐξέμαθεν, ἐπείπερ ἀρετὴ μόνη ποιεῖ μὴ ἁμαρτάνειν ἐν βίῳ. Νῦν δὲ ἐν μὲν θεραπείᾳ [f]καμνόντων οὐδεὶς ἀναμάρτητον ἀξιοῖ εἶναι ἄλλον ἢ τὸν ἰατρὸν, καὶ ἐν χρήσει λύρας οὐδένα ἄλλον
[II.428] ἢ τὸν μουσικὸν, ἐν χρήσει [g]πηδαλίων οὐδένα ἄλλον ἢ τὸν κυβερνήτην· ἐν δὲ τῷ βίῳ οὐκέτι μόνον ἀναμάρτητον εἶναι τὸν φιλόσοφον ἀξιοῦσιν, ὃς δοκεῖ μόνος ἐπιμελεῖσθαι ἀρετῆς, ἀλλ' ὁμοίως ἅπαντας, καὶ τοὺς μηδεμίαν ἐπιμέλειαν ταύτης πεποιημένους. Δῆλον οὖν, ὡς οὐδὲν ἕτερον τούτου αἴτιον ἢ τὸ [h]πρὸς ἀρετὴν γεγονέναι τὸν ἄνθρωπον. Καὶ μὴν κἀκεῖνο μέγα τεκμήριον τοῦ μετεῖναι ἀρετῆς φύσει

[b] τούτου, *cujus signum est*, edidi pro τοῦτο. HEEREN. Supra καὶ ante καλῶς om. Obs. Misc.

[c] ὑπεξαιρούμενοι recte cod. V. pro -μενον in E. [A.] qui et mox recte ἀτιμώρητον pro ἀτιμώρητοι. [sic A.] HEEREN.

[d] Pro αὐτοῦ in V. male leg. αὐτῶν, pendet enim a τό. HEEREN.

[e] ὅστις bene V. pro ὥς τις in [A.] E. HEEREN. Tum κἀρετὴν Obs. Misc.

[f] καμνόντων retinui ex [A.]V. In E. καμόντων. HEEREN.

[g] τε, quod nexus postulat, supplevi. HEEREN.

[h] Pro πρὸς ἀρετὴν, quod habent codd. A. E., in V. legitur προαίρετον. Sed dubitari nequit, alteram lectionem πρὸς ἀρετὴν veram esse. Id enim est, quod omni hoc loco probare studet Musonius, hominem a natura ipsa *ad virtutem* comparatum esse. HEEREN.

ἡμῖν, τὸ πάντας οὕτως διαλέγεσθαι περὶ [i]ἑαυτῶν, ὡς ἐχόντων ἀρετὴν καὶ ὄντων ἀγαθῶν. Οὐδεὶς γάρ ἐστι τῶν πολλῶν, ὃς ἐρωτώμενος πότερον ἄφρων ἢ φρόνιμος τυγχάνει ὤν, ἄφρων ὁμολογήσει εἶναι· οὐδ' αὖ ἐρωτώμενος πότερον ἄδικος ἢ δίκαιος τυγχάνει ὢν, φησὶν ὅτι ἄδικος. Ὁμοίως δὲ κἂν ἐρωτᾷ τις πότερον σώφρων ἢ ἀκόλαστος, [j]εἶθ' οὕτως ἀποκρίνεται ἐρωτηθεὶς, ὅτι σώφρων. Καὶ ἁπλῶς ἂν ἐρωτᾷ τις πότερον ἀγαθὸς εἴη ἢ φαῦλος, φαίη ἂν ἀγαθὸς, καὶ [k]ταῦτ' οὐκ ἂν ἔχων εἰπεῖν οὔτε διδάσκαλον αὐτοῦ καλοκἀγαθίας, οὔτε μάθησιν ἀρετῆς ἢ ἄσκησιν [l]ἣν τυγχάνει πεποιημένος. Τοῦτ' οὖν τίνος ἄλλου τεκμήριόν ἐστιν, ἢ τοῦ φυσικὴν εἶναι ὑποβολὴν τῇ τοῦ ἀνθρώπου ψυχῇ πρὸς
[II.430] καλοκαγαθίαν, καὶ σπέρμα ἀρετῆς ἑκάστῳ ἡμῶν ἐνεῖναι. Διὰ δὲ τὸ [m]πάντως ἀγαθοὺς ὑπάρχειν προσήκειν ἡμῖν, οἱ μὲν ἀπατώμεθα ὡς καὶ δὴ ὄντες ἀγαθοὶ, οἱ δὲ αἰσχυνόμεθα ὁμολογεῖν [n]ὡς οὐκ ἐσμεν. Ἐπεὶ διὰ τί, πρὸς θεῶν, γράμματα μὲν ἢ μουσικὴν ἢ παλαιστρικὴν οὐδεὶς μὴ μαθὼν εἰδέναι φησὶν, οὐδὲ ἔχειν τὰς τέχνας ταύτας προσποιεῖται, μὴ καὶ διδάσκαλον παρ' ὃν ἐφοίτα ἔχων εἰπεῖν, ἀρετὴν δὲ ἔχειν πᾶς ὑπισχνεῖται, [o]ἢ ὅτι ἐκείνων

[i] Male in E. hic inseritur οὐχ, quod sensum prorsus turbat. Eo enim quod omnes homines virtutem sibi vindicent, eam naturæ nostræ propriam esse, docet. Omittunt illud recte V. A. HEEREN.

[j] ἦθ' omnes codd. etsi in A. notula addita mendum in eo latere indicatum sit. HEEREN. ἤθ' A. Dedi εἶθ' cum Obs. Misc. ubi mox ἁπλῶς ἂν ἐρωτηθείς τις.

[k] ταῦτ'] Sic A. τοῦτ' Heeren.

[l] ἣν cod. V. pro ἢ in E. [A.] HEEREN.

[m] πάντας, *omnes*, nempe a natura, edidi ex V. pro παντὸς in E. quamvis et hoc facile defendi possit. HEEREN. πάντως A.

[n] ὡς, quod sensus flagitat, addidi. HEEREN.

[o] Supplevi ἢ, quod præcedens Ἐπεὶ διὰ τί flagitat. Est enim nexus sententiarum: *Quid enim est aliud — nisi quod.* HEEREN.

μὲν οὐδὲν φύσει τῷ ἀνθρώπῳ μέτεστιν, οὐδὲ ἥκει εἰς τὸν βίον ἔχων [p]ὑποβολάς.

Λείπει.

p Post ὑποβολὰς supplendum videtur αὐτῶν, *artium harum principia non a natura ipsa nobis indita esse.* Verum in ὑποβολὰς omnes desinunt codd. addito in Esc. λείπει, quo plura adhuc deesse patet. Horum vero nullum amplius vestigium superest, nisi quod Photius capitum indicem, quæ olim altero hoc Eclogarum libro continebantur, servaverit, quorum inscriptiones adeo ex Photio supplevi. Discimus inde quantum ex opere Stobæi perierit ; ea autem in bibliotheca aliqua adhuc latere, post disquisitiones a me institutas vix sperandi locus superesse videtur. HEEREN.

APPENDIX

EX COD. MS. FLORENTINO

PARALLELORUM SACRORUM

IOANNIS DAMASCENI.

Profanorum Scriptorum sententiæ ex Ioannis Damasceni Parallelis quæ continentur in Cod. XXII. plutei VIII. Bibl. Laurent. chartac. in 4° min. sæculi XII. vel XIII. excerptæ, quæ Stobæi Florilegio vel corrigendo vel uberiori reddendo maxime sunt profuturæ. SARTIUS.

ΣΤΟΙΧΕΙΟΝ Α.

ΠΕΡΙ ΝΕΟΤΗΤΟΣ ΚΑΙ ΤΗΣ ΝΕΑΣ ΗΛΙΚΙΑΣ ΚΑΙ ΟΣΑ ΕΠΕΤΑΙ ΑΥΤΗΙ.

[[a] p. 74 b]

Κακόν τε 52, 1. Νέων γὰρ 52, 6. Νέος φιλ. 52, 7. Νεότης 52, 2. απαὶ (sic) 52, 3. Νεανίας 52, 4. Τὸ νέον 52, 8. Μὴ τοῦτο 52, 9. Ἥβης 52, 11. Ἥβη 52, 12. Πλάτωνος 52, 13. Πλάτωνος 52, 14. Χαλεπὸν 52, 15. Τὰ γὰρ 52, 16. Αἰεὶ δ' 52, 18. Χρὴν δὲ καὶ νόμον 52, 17,

1 [b] υμεὼν.

Οὔτε πάνυ γήρᾳ θάρρειν, οὔτε νεότητα χρὴ παντάπασιν ἀποδοκιμάζειν· ἔνι γὰρ, οἶμαι, καὶ σωφρονεῖν τὴν νεότητα, καὶ γῆρας πολλάκις τοῦ καθήκοντος ἀμελεῖν· ἄλλως καὶ κρεῖσσον νεότης πολλάκις δοκιμασθεῖσα καὶ μηδὲν ἔχειν φαῦλον ἐπεγνωσμένη, ἢ πολιὰ τῷ μακρῷ χρόνῳ συνεκταθεῖσα καὶ μηδέν τι μέγα μηδὲ λαμπρὸν καταπράξασα·

[a] A prima codicis pagina usque ad p. 74. nulli auctores profani recensentur, nisi Philo et Josephus; quorum sententias prætermisimus describere, quum inter sacros in Ioannis Damasceni sacris Parallelis editis adcensentur. SARTIUS.

[b] f. Μουσωνίου. WYTTENBACH. *Symeoni* tribuit Antonius CLIII. p. 244, 39. locum hunc citans usque ad καθήκοντος ἀμελεῖν. Mox νεότητι ms.

τὴν μὲν γὰρ ὁδῷ βαδίζουσαν ἔνι καὶ πρὸς μέγα τῆς ἀρετῆς ἀναβῆναι, τὴν δὲ καινότερόν τι δράσειν ὁ [c]μακρὸς ἤδη χρόνος ἀπαγορεύει. Τί φῄς, ὁ τὴν πολιὰν ἡμῖν προτεινόμενος, καὶ δυσωπῶν ἁπλῶς τῷ μήκει τῆς ἡλικίας, τιμᾷς τὸ γῆρας διὰ τὴν σωφροσύνην; Ἀλλὰ θαυμάζω μᾶλλον τὴν σωφρονοῦσαν νεότητα· ἡ μὲν γὰρ ἐν τῷ λιμένι μένει, καὶ διαφεύγει τὸν κίνδυνον, ἡ δὲ ἐν τῷ πελάγει πολλοῖς τοῖς πνεύμασι μαχομένη διασῴζει τὸ σκάφος. [d]Ἄλλως τε καὶ τῶν ἀγωνιζομένων μᾶλλον ἢ τῶν ἠρεμούντων οἱ στέφανοι· σὺ δ' οὐκ ἆθλον ἀρετῆς ἡγῇ τὴν τιμὴν, τῷ γήρᾳ ταύτην ἁπλῶς χαριζόμενος· εἰ μὲν γὰρ σύγχρονον αὐτὴν τῆς ἡλικίας ἔχει καὶ τὸ καλὸν, δέχομαι τὴν προτίμησιν, καὶ πρεσβεύω μᾶλλον ἐν τῷ γήρᾳ τὴν ἀρετὴν καταλύσασαν ἢ τῷ σφοδρῷ τῆς νεότητος ἔτι σαλευομένην· εἰ δ' ὁ μὲν ὀδεύει διὰ τῆς ἀνωμα-
[p. 75] λίας καὶ τῆς ἀρετῆς εὐτόνως ἐπιμελεῖται, ὁ δ' οὐδένα μόχθον ὑπὲρ τοῦ καλοῦ τῇ πολιᾷ συνεισήνεγκε, τί καταλιπὼν πόνους [e]ἐθελουσίους ἔργον τιμᾶς ἁπλῶς φύσεως;

2 [f]Δίωνος τοῦ Ῥωμαίου.

Τίς γάρ ποτε καὶ ὅρος ἡλικίας τοῖς γ' ἅπαξ ἐκ μειρακίων ἐξελθοῦσι [g]πρὸς τὸ τὰ δέοντα φρονεῖν ἔπεστι; τίς ἀριθμὸς ἐτῶν πρὸς τὸ τὰ προσήκοντα πράττειν ἀποδέδεικται; Οὐχ ὅσοι μὲν [h]ἂν τῇ τε φύσει καὶ τῇ τύχῃ χρηστῇ χρήσωνται, πάντα ἀπ' ἀρχῆς εὐθὺς ἃ δεῖ καὶ φρονοῦσι καὶ πράττουσιν, οἱ δὲ ἐν τῇδε τῇ ἡλικίᾳ βραχὺν νοῦν ἔχοντες, οὐδ' ἂν αὖθις [i]ποτε ἔτη διέλθοι, φρονιμώτεροι γένοιντο; Ἀμείνων μὲν γὰρ ἄν τις αὐτὸς ἑαυτοῦ προϊούσης τῆς ἡλικίας ὑπάρξειεν, ἔννους δ' ἐξ ἀνοήτου, [k]καὶ ἔμφρων ἐξ ἄφρονος οὐδ' ἂν εἷς ἐκ-

[c] μακρὸν—χρόνον ms.
[d] ἄλλοι ms.
[e] ἐθελουσίους] ἐθελουσίας ms.
[f] Δίωνος] ἰωνος ms. pr. Idem fr. dedit Ang. Maius in Script. Vett. Coll. t. II. p. 546.
[g] πρὸς τὰ] πρὸς τὸ τὰ dedi cum Maio, et sic mox.
[h] ἂν τῇ] ἐν τῇ ms.
[i] ποτὲ, οὐδ' εἰ πολλὰ ἔτη διέλθοι Maius. Mox αὐτὸς ἑαυτῷ ms.
[k] ἔμφρων] καὶ ἔμφρων Maius.

βαίη. Μὴ μέντοι τοὺς νέους εἰς ἀθυμίαν, [l]ὡς κατεγνωσμένους τῷ μηδὲν τῶν δεόντων πράττειν δύνασθαι, [m]ἐμβάλητε· πᾶν γὰρ τοὐναντίον προτρέπεσθαι αὐτοὺς [n]ὀφείλετε πάντα τὰ προσήκοντα αὐτοῖς προθύμως ποιεῖν ἀσκεῖν, ὡς καὶ τιμὰς καὶ ἀρχὰς καὶ πρὸ τοῦ γήρως ληψομένους· ἐκ γὰρ τούτου καὶ τοὺς [o]πρακτικωτέρους βελτίους [p]ποιήσετε· πρῶτον μὲν ἀνταγωνιστὰς πολλοὺς ἀποδείξαντες, ἔπειτ' ἐνδειξάμενοι ὡς καὶ τἄλλα πάντα καὶ τὰς ἡγεμονίας [q]μὲν οὐκ ἐξ ἀριθμοῦ ἐτῶν ἀλλ' ἐξ ἀρετῆς ἐμφύτου πᾶσι τοῖς πολιταῖς [r]δώσετε.

3 [v]Ἔστι που σύνεσις νέων καὶ γερόντων ἀσυνεσία· [s]χρόνος γὰρ οὐ διδάσκει φρόνησιν, ἀλλὰ φύσις καὶ ὀρθὴ δίαιτα.

4 [t]Διήρουν οἱ Πυθαγορεῖοι τὰς ἡλικίας τῶν ἀνθρώπων εἰς τέσσαρα μέρη, παιδὸς, νέου, νεανίσκου, καὶ γέροντος· καὶ τούτων τῶν ἡλικιῶν ἑκάστην ὁμοίαν [u]ἔφασαν εἶναι ταῖς κατὰ τὸν ἐνιαυτὸν τῶν ὡρῶν μεταβολαῖς, τὸ μὲν ἔαρ τῷ παιδὶ διδόντες, τὸ δὲ θέρος τῷ νεανίσκῳ, τὸ δὲ φθινόπωρον τῷ ἀνδρὶ, τὸν δὲ χειμῶνα τῷ γέροντι.

5 Γαίου τοῦ Καίσαρος.

[x]Θορυβοῦντας δὲ τοὺς ἐν ἀξιώματι νέους καταστεῖλαι βουλόμενος, ὡς οὐ [y]προσεῖχον, ἀλλ' ἐθορύβουν, Ἀκούσατε, εἶπε, νέοι γέροντος, οὗ νέου γέροντες ἤκουσαν.

6 [z]Ἡροδώρου.

Νέος ἐν πολυτελέσι βρώμασι καὶ ποτοῖς, ἔτι δὲ ἀφροδι-

l ὡς καὶ κατεγνωσμένους τῷ μηδὲν Maius.

m ἐμβάλητο ms. ἐμβάλητε Maius. ἐμβάλλετε Halmius.

n ὀφείλει] ὀφείλετε Maius.

o πρακτικωτέρους] πρεσβυτέρους Maius.

p ποιήσηται ms. ποιήσετε Maius.

q μὲν] μάλιστα Maius.

r δώσ ms. δώσετε Maius.

s Dedi χρόνος cum Antonio CLIV. p. 245, 38. χρυσόστομος ms.

t τιήρουν ms. et mox Πυθαγοραῖοι.

u ἔφθασαν ms.

x Θορυβοῦντας] Ex Plutarch. Apophth. p. 207 E.

y Dedi προσεῖχον—ἐθορύβουν cum Plutarcho. προσεῖχε—ἐθορύβει ms.

z Ἡρόδωρου] Sic Sartius. Ιροδώρου ms. ubi mox πολιτελέσι.

σίοις ἀνατρεφόμενος, [a]λέληθεν ἑαυτὸν ἐν τῷ θέρει τὴν χλαῖναν κατατρίβων.

7 [b]Μόνῳ τῷ 3, 43.

8 [c]Πλάτων παρεκελεύετο τοὺς νέους τρία ταῦτα ἔχειν· ἐπὶ μὲν τῶν γνωμῶν τὴν σωφροσύνην, ἐπὶ δὲ τῆς γλώσσης σιγὴν, ἐπὶ δὲ τῶν ὀφθαλμῶν αἰδῶ.

9 [d]Αἰλιανοῦ τοῦ θ̄ ιε̄ περὶ ζώων λογ. κεφ. ιζ̃ (sic) ὅταν ἀποδύσηται τὸ γῆρας κ. τ. λ.

10 Αἰλιανοῦ.

[c]Ἀετὸς ζῶον πλ. κ. τ. λ.

[[f]Λόγος β΄.
ΠΕΡΙ ΥΠΝΟΥ.]

1 Πυθαγόρου. Ἄγρυπνος—1, 19.

[p.79] 2 [g]Διογένης τοὺς ῥήτορας τὰ δίκαια μὲν ἔφη ἐσπουδακέναι λέγειν, πράττειν δὲ οὐδαμῶς.

Ἀττικοῦ 13, 25. Ἄρχεσθαι 44, 1. Μὴ νεῖκος 44, 2. Καὶ τοὺς 44, 4. Οὐκ ἔστιν 44, 6. Ἄρχοντες 44, 7. Παντελῶς 44, 3. Τὸ γὰρ 44, 5. Καλὸν 44, 8. Τόν τε νόμον 44, 12. Ἀσ̓ ὡς 44, 13. Κρέσσον 44, 14. Τοὺς κατοικοῦντας 44, 20. Φῦναι 44, 23. Ὁ δὲ Λυκ. 44, 24. Τοὺς βουλομένους 44, 40. Παρὰ Ταρτησίοις 44, 41. Περσῶν 44, 41. Οἱ δὲ βασ. 44, 42. Ἀγάθυρσοι 44, 43. Οἱ μὲν οὖν 44, 22. Δέξασθε 44, 22. [h]Πλάτωνος Τιμαίου—Μινῶος—Νόμων β γ δ ε ϛ θ ια ιβ.

[a] λέληθεν] λέληται ms.

[b] Μόνῳ] ω̃τ̣. πόνῳ ms.

[c] Phavorino tribuit Maximus CL. p. 240, 29. Plutarcho Antonius CLI. p. 242.

[d] Αἰλιανοῦ] λῑ̃ ms. Æliani Hist. An. IX. 16.

[e] ἀετὸς] Æliani Hist. An. 10.

[f] Λόγος β΄. περὶ ὕπνου.] Titulum hunc, quemadmodum etiam illum περὶ νηστείας de meo addidi; nam in hac secunda Parallelorum parte, ac præcipue a p. 75. codicis usque ad p. 125. nullæ sunt Titulorum nec capitum inscriptiones. SARTIUS.

[g] Διογένης τοὺς] Διογέν. Τοὺς et mox ἔφην ms. Vid. Diog. Laërt. VI. 28.

[h] Πλάτωνος] Platonis loca non exscripsit Sartius.

[Λόγος γ΄.]

[p. 90] [i]ΠΕΡΙ ΝΕΦΩΝ ΌΜΙΧΛΗΣ ΥΈΤΩΝ ΔΡΟΣΟΥ ΧΙΟΝΟΣ ΧΑΛΑΖΗΣ.

1 Ἀναξιμένης νέφη μὲν γίνεσθαι παχυνθέντος ἐπὶ πλεῖον τοῦ ἀέρος, μᾶλλον δὲ ἐπισυναχθέντος ἐκθλίβεσθαι τοὺς ὄμβρους· χιόνα δὲ ἐπειδὰν τὸ καταφερόμενον ὕδωρ παγῇ· χάλαζαν δὲ ὅταν συμπεριληφθῇ τι τῷ ὑγρῷ πνευματικόν.

2 Ἀναξαγόρας νέφη μὲν καὶ χιόνα παραπλησίως, χάλαζαν δ' ὅταν ἀπὸ τῶν παγέντων νεφῶν προωσθῇ τινὰ πρὸς
[p.90b] τὴν γῆν ἤδη ταῖς καταφοραῖς ἀποψυχρούμενα στρογγυλοῦται.

3 Μητρόδωρος ἀπὸ τῆς ὑδατώδους ἀναφορᾶς ἐπὶ τοῦ ἀέρος συνίστασθαι τὰ νέφη.

4 Ξενοφάνης ὑπὸ τῆς τοῦ ἡλίου θερμότητος ὡς ἀρχτικῆς αἰτίας κἀν τοῖς μεταρσίοις συμβαίνειν· ἀνελκομένου γὰρ ἐκ τῆς θαλάττης τοῦ ὑγροῦ τὸ γλυκὺ διὰ τὴν λεπτομέρειαν διακρινόμενον νέφη τὸ συνιστάνειν ὁμιχλούμενον, καὶ καταστάζειν ὄμβρους ὑπὸ πιλήσεως, καὶ διατμίζειν τὰ πνεύματα. γράφει γὰρ διαρρήδην, πήγη δ' ἔστι θάλασσα ὕδατος.

5 Ἐπικούρου. Ἐπίκουρος ἀπὸ τῶν [j]ἀτόμων στρογγυλαίνεσθαι τὴν θάλασσαν τὸν ὑετὸν ἀπὸ τῆς μακρᾶς καταφορᾶς ὑποπεπλασμένον.

6 Ἐμπεδοκλῆς ἔμπτωσιν φωτὸς εἰς νέφος, καὶ πνεῦμα μὲν ἀποτελεῖν παρῶσαν τὰ νέφη, ὄμβρους δὲ διαχέαν, χάλαζαν δὲ πιλῆσαν, χιόνας δὲ συμπεριλαβόμενόν τι τοῦ ἀερώδους, ἐκ δὲ τῆς ὑγρᾶς καὶ ἀτμώδους ὑετούς τε καὶ δρόσους καὶ πάχνας, ὁμίχλας τε καὶ νέφη καὶ χιόνας καὶ χαλάζας· ὑετοὺς μὲν γίνεσθαι τῆς ἀναδιδομένης ἀπὸ τῆς γῆς ἀτμίδος τοῖς ἄνω τόποις συνισταμένης κατὰ πύκνωσιν, καὶ τρεπο-

[i] Hinc suppleatur lacuna in Stobæi Phys. I. 32.

[j] ἀτμῶν· et mox τὴν χάλαζαν καὶ τὸν—ὑποπεπλησμένον Plutarch. II. p. 894 A.

μένης εἰς ὕδωρ, εἶτα φερομένης ἀθρόως ἐπὶ γῆν διὰ τὴν ἀπόλειψιν τοῦ ἀναγαγόντος αὐτὴν θερμοῦ, σκεδασθείσης δὲ εἰς μικρὰ μόρια, καλεῖσθαι ψεκάδας, πρὸ τοῦ δὲ μετεωρισθῆναι σφόδρα κατενεχθείσης διὰ τὴν τοῦ ἀναγαγόντος πυρὸς αὐτὴν ὀλιγότητα προσονομάζεσθαι δρόσον καὶ πάχνην· πάχνη μέν, ὅτ' ἂν παγῇ πρὶν εἰς ὕδωρ συγκριθῆναι, γίνεσθαι δὲ χειμῶνος καὶ ἐν τόποις μᾶλλον χειμερινοῖς· δρόσον δ', ὅτ' ἂν τὸ συνιστάμενον ὑγρὸν νύκτωρ ψυχθὲν ἅμα τοῖς ὄρθροις ἐπὶ γῆν ἐπιφέρηται· διὸ καὶ πλείστην πίπτειν δρόσον καὶ πάχνην περὶ τὰ ἕλη καὶ τὰς λίμνας καὶ τοὺς ποταμούς, καὶ μάλιστα περὶ τοὺς ἐνύλους καὶ κοίλους τῶν τόπων· ἀνάγεσθαί τε γὰρ πλεῖστον ὑγρὸν ἀπὸ τῶν τοιούτων χωρίων, καὶ καταψύγεσθαι μᾶλλον· τὴν δ' ἀθρόαν ἀνάδοσιν λέγεσθαι τῆς ἀτμίδος, ἔτι μικρὸν μὲν παχυνθεῖσαν ὁμίχλην, οἷον ἀραίαν καὶ ἄγονον ὕδατος νεφέλην, ὡς ἂν προσυνισταμένην ταύτης καὶ προδιαλυομένην καὶ σημεῖον οὖσαν εὐδίας· τὴν δὲ μετεωρισθεῖσαν ἐπὶ πλεῖον καὶ συγκριθεῖσαν νεφέλην· πάντα δὲ περὶ γῆν ταῦτα γίνεσθαι διὰ τὸ μὴ πόρρω τὴν ἀτμίδα μετεωρίζεσθαι κατισχύειν· ἐν γοῦν τοῖς ὑψηλοτάτοις ὄρεσιν οὐδὲν γίνεσθαι τούτων, αἴτιον ὅτι μάλιστα ἐκ τῶν κοίλων ἀνάγεται καὶ ἐφύδρων ἡ ἀτμὶς τόπων· ὥστε καθάπερ φορτίον πλεῖον φέρουσαν ἢ καθ' ἑαυτὴν τὴν ἄγουσαν θερμότητα μὴ δύνασθαι μετεωρίζεσθαι ἐπὶ πολὺν ἄγαν τόπον, ἀλλ' ἐγγὺς οὖσαν [k] ἐπὶ τῆς γῆς μεθιέναι πάλιν ἐπ' αὐτήν. Ἐκ δὲ τοῦ περὶ τὰ νέφη τόπου τρία φοιτᾶν σώματα πρὸς ἡμᾶς, ὕδωρ καὶ χιόνα καὶ χάλαζαν· ὧν δύο μὲν ἀναλογίας ἔχει πρὸς ἄλληλα παρὰ τὸ διὰ τὰς αὐτὰς αἰτίας γίνεσθαι ταῖς κάτω, διαφέροντα τῷ μᾶλλον καὶ ἧττον καὶ πλήθει καὶ ὀλιγότητι. Χιόνα γὰρ καὶ πάχνην εἶναι ταυτὸν καὶ ὑετὸν καὶ δρόσον, ἀλλὰ τὸ μὲν πολὺ, τὸ δ' ὀλίγον· [l] τὸν μὲν γὰρ

[k] ἐπὶ] ἔτι ms. [l] τὸν] τὸ ms.

ὑετὸν ἐκ πολλῆς ἀτμίδος γίνεσθαι ψυχομένης, τὴν δὲ δρόσον
[p. 91] ἐξ ὀλίγης, ἐφήμερον γὰρ αὐτῆς ὑπάρχειν τὴν σύστασιν· ὁμοίως χιόνα καὶ πάχνην· χιόνα μὲν γὰρ εἶναι πῆξιν νέφους, ἀτμίδος δὲ τὴν πάχνην. Διὸ καὶ χώρας ἢ ὥρας ψυχρᾶς σημεῖον γίνεσθαι τὴν χιόνα· [m]χάλαζαν δὲ κατὰ τοὐναντίον ἐν ταῖς εὐδιεινοτέραις συμβαίνειν χώραις ἢ ὥραις, θέρους γοῦν μάλιστα καὶ μετοπώρου γίνεσθαι, χειμῶνος δ' ὀλιγάκις καὶ ὅτ' ἂν ἧττον ᾖ ψύχος· εἶναι δὲ τὴν χάλαζαν τοῦ καταφερομένου πῆξιν ἐκ τῶν νεφῶν ὕδατος· ἐκ δὲ τῆς ξηρᾶς καὶ καπνώδους πόρρω διατεινούσης καὶ μετεωριζομένης, ὡς καὶ διὰ τοῦτο πολλάκις διὰ τῆς ἐπιφορᾶς τῶν οὐρανίων ἐμπιπρᾶσθαι, τῶν πρότερον εἰρημένων ἕκαστον ἀποτελεῖσθαι.

7 Χρυσίππου.

Χρύσιππος ἔφησε τὴν ὁμίχλην νέφος διακεχυμένον, ἢ ἀέρα πάχος ἔχοντα· δρόσον δὲ, ἐξ ὁμίχλης καταφερόμενον ὑγρόν· ὑετὸν δὲ, φορὰν ὕδατος ἐκ νεφῶν· ὄμβρον δὲ, λαβροῦ ὕδατος καὶ πολλοῦ ἐκ νεφῶν φοράν· χάλαζαν δὲ, ὑετοῦ πεπηγότος διάθρυψιν· χιόνα δὲ, νέφος πεπηγὸς ἢ νέφους πῆξιν· τὸ δ' ἐπὶ τῆς γῆς πεπηγὸς ὕδωρ, κρύσταλλος· πάχνην δὲ, δρόσον πεπηγυῖαν.

8 Ἀρριανοῦ.

Ἀρριανός φησι τὴν ὁμίχλην, ἡ μὲν πρὸ νέφους ξυνίσταται πρὶν ἐξαναστῆναι, ἐπιπολὺ δ' ἀπὸ νέφους ἐκχυθέντος καὶ σκεδασθέντος· γίγνεται δὲ ταῦτα εἰ μὴ κρατήσειεν αὐτῶν ὁ ἥλιος καὶ τὰ ἄλλα ἄστρα ὅσα ἐν οὐρανῷ, καὶ αὐτὸς ὁ οὐρανός· ἀπὸ δὲ νεφελῶν, ὅσαι μὲν μὴ ἄγαν πληθεῖσαι συνέστησαν, ψεκάδες καταφέρονται ἐπὶ γῆν, καὶ εἰς ταύτας διαλύονται, ὁμίχλαι τε καὶ νεφελῶν ὅσαι [n]μανώτεραι· ὅσαι δὲ ἐπὶ μέγα ξυστάσαι εἰς ὕδωρ [o]μετέβαλον, ὑετοὺς ἐκ

[m] χάλαζαν] χαλάζας ms. [n] μενώτεραι ms. [o] μετέβαλλον ms.

νεφῶν γεννῶσι. Καὶ ὁμίχλαι μὲν τὸ πολὺ τῇ γῇ ἐπιζάνουσιν, ἅτε δὴ κεχυμένης τε ἔτι καὶ ἀξυστάτου τῆς ἀτμίδος· αἱ νεφέλαι δὲ αἴρονται εἰς τὸ ἄνω, οὐ μὴν ὑπὲρ εἴκοσίν γε ἀπὸ γῆς σταδίους οὐδὲ αὗται ἀναφέρονται· ὅτι καὶ τῶν [p] ὄρων ὅσα ὑπὲρ εἴκοσί γε ἀπὸ γῆς σταδίους ἀνέχει ἐς εὐθύ· ἔστι δὲ καὶ εὐαρίθμητα ταῦτα, [q] ἔν γε τοῖς καθ' ἡμᾶς τόποις· οὔτε ὑόμενα ὤφθη ποτε οὔτε καταπνεόμενα, οὐδὲ νεφέλη ὑπὲρ αὐτῶν, ἢ καὶ ἐπ' αὐτοῖς ἱζάνουσα, ἀλλὰ τῆς Οἴτης γε ἐπὶ τῇ ἀκρωρείᾳ [r] θύεσθαι, ὅσα ἔτι λόγος καὶ Ἡρακλεῖ καὶ Φιλοκτήτῃ εἰς μνήμην τοῦ παλαιοῦ παθήματος, καὶ τὴν τέφραν ἐπὶ τῇ πυρκαιᾷ ἐν χώρᾳ μένειν· εἶναι γὰρ τὸν ἄνω ὑπὲρ γῆς ἀέρα λεπτόν τε ἤδη καὶ καθαρὸν καὶ αὐγοειδῆ· καὶ ταῦτα διαφορεῖσθαι τοὺς ἀτμοὺς ὅσῳ προτέρω ὑπεραναφέρονται· ὅση δὲ λεπτὴ ἀτμὶς μὴ ἐπὶ μέγα ἀρθεῖσα ἐσκεδάσθη, ἀλλὰ ψυχθεῖσα κατηνέχθη ἐπὶ γῆν, δρόσος γίγνεται· πρὸς ἡλίου δὲ ἐπικαυθεῖσα, ἐρυθαίνεται ἢ μελαίνεται· καὶ τοῦτο μὴν φοινιάδα μὲν τὸ ἐρυθρὸν αὐτοῦ, ἐρυσίβην δέ, ὅ τι περ καὶ μέλαν καλοῦσι· παγεῖσα δὲ καὶ πεσοῦσα ἐπὶ γῆν, πάχνη γίνεται· καὶ ἔτι ὅ τι περ πάχνη πρὸς δρόσον,
[p.91b] τοῦτο χιὼν πρὸς ὑετόν· ὅτι καὶ τὸ νέφος ξυνελθὸν μὲν ἄνευ πήξεως εἰς ὑετὸν διακρίνεται, παγὲν δὲ εἰς νιφετὸν συνάγεται· ὅτι πρὶν παντελῶς ἐς ὕδωρ ξυστῆναι τὴν νεφέλην, φθάνει παγὲν ἐς χιόνα, καὶ ἡ χρόα τῆς χιόνος [s] τεκμηριῶσα παρέχει, λευκή τε γὰρ καὶ αὐγοειδής ἐστιν· ὅτι πρὶν τραπῆναι ἐς ὕδωρ παγεῖσα θρύπτεται, οἵαν δὴ οὐ σμικρὰν μοῖραν οὐ πνεύματα φωτοειδοῦς ὄντος συνεπιλαμβάνουσα· ἔνθεν τε ἀφρῷ ἐς τὰ μάλιστα τὴν χρόαν ἔοικεν, ὅτι καὶ ἐν ἀφρῷ πολύ τι ἔνι πνεύματος· δηλοῦσι δὲ πομφόλυγες αἱ ἐπὶ τῶν ἀφρῶν οἷα δὴ ἐπιζέουσαι.

p ὀρῶν ms.
q ἔν γε] ἔν τε ms.
r θύεσθαι] θ' ὕεσθαι ms.
s f. τεκμήρια.

9 [t]Πλάτωνος ἐκ τοῦ Τιμαίου.

Τὸ πυρὶ μεμιγμένον—πάχνη λέγεται.

[Λόγος δ'.]

Sequitur in ms. novum caput sine titulo: post excerpta e SS. ac præcipue e Regum libris hæc sequuntur: Συνεσίου ἐκ τῶν ἐπιστολῶν. Τὰς πιθήκους—Αἰλιανοῦ τοῦ περὶ ζώων— Tum aliud caput anepigraphum in quo, post pauca quædam ex [p. 94] SS. et Gregorio, occurrunt ista: Πατρὶς 40, 1. Ὅθεν εὖ 40, 3. Ξενιτείη 40, 6. ἀνδρὶ 40, 7. Μήποτε 40, 8. Φυγάδος 40, 9. Αἰλιανοῦ τοῦ περὶ ζώων γ' λόγου κεφ. λς'. κ. τ. λ.

[Λόγος ε'.]

[p. 98b] Novum caput, in quo post excerpta e SS. hæc: Προσαρμόσεις ὧδε καὶ Αἰλιανοῦ τοῦ περὶ ζώων θ' λόγου κεφ. λβ'. Λέων ὅταν. .

[Λόγος ζ'.]

[p. 99b] [u]ΠΕΡΙ ΤΟΥ ΔΟΚΕΙΝ ΚΑΙ ΤΟΥ ΕΙΝΑΙ, ΚΑΙ ΟΤΙ ΟΥ ΤΩΙ ΛΟΓΩΙ ΧΡΗ ΚΡΙΝΕΙΝ ΤΟΝ ΑΝΘΡΩΠΟΝ, ΑΛΛΑ ΤΩΙ ΤΡΟΠΩΙ· ΕΚΤΟΣ ΓΑΡ ΕΡΓΟΥ ΠΑΣ ΛΟΓΟΣ ΠΕΡΙΤΤΟΣ.

1 Ἀστυδάμαντος [x]Ἀλκμαίωνος.

(Οὐ) τοῦ δοκεῖν μοι, τῆς δ' ἀληθείας μέλει.

2 Εὐριπίδης [y]Ἱκετίσιν.

Τυδέως δ' ἔπαινον ἐν βραχεῖ θήσω μέγαν·
φιλότιμον ἦθος, πλούσιον, φρόνημα δὲ
ἐν τοῖσιν ἔργοις, οὐχὶ τοῖς λόγοις ἔχων.

3 [z]Αἰσχύλου Ἑπτα ἐπὶ Θήβας.

Οὐ γὰρ δοκεῖν ἄριστος, ἀλλ' εἶναι θέλει

[t] Ex T. III. p. 59.

[u] Hinc suppleatur lacuna in Stobæi Eclogis Ethicis; sive lib. II. c. 15. secundum Photium.

[x] Ἀλκμαίονος ms.

[y] Sc. v. 901.

[z] Sc. v. 598. Mox θέλω ms.

Βαθεῖαν ἄλοκα διὰ φρενὸς καρπούμενος,
ἐξ ἧς τὰ [a]κεδνὰ βλαστάνει βουλεύματα.

4 [b](Εὐ)ήνου.

Ἡγοῦμαι σοφίας εἶναι μέρος οὐκ ἐλάχιστον
ὀρθῶς γινώσκειν οἷος ἕκαστος ἀνήρ.

5 [c]Σοφοκλέους Οἰδίποδος.

Οὐ γὰρ λόγοισιν τὸν βίον σπουδάζομεν
λαμπρὸν ποιεῖσθαι μᾶλλον ἢ τοῖς δρωμένοις.

6 Ὁ βίος ἔστ' ἀλαζονείας δεόμενος.

7 Ἐπιχάρμου.

[d]Πρὸς τοὺς πέλας πορεύου λαμπρὸν ἱμάτιον ἔχων,
καὶ φρονεῖν πολλοῖσι δόξεις τυχὸν ἴσως.

8 Φωκυλίδου.

Πολλοί τοι δοκέουσι [c]σαόφρονες ἔμμεναι ἄνδρες,
σὺν κόσμῳ στείχοντες, ἐλαφρόνοοί περ ἐόντες.

9 [f]Εὐριπίδου.

Πᾶς ὁ καθ' ἑαυτὸν τεχνολογῶν θαυμάζεται,
διακρινόμενος δὲ πρὸς ἑτέρους ἐλέγχεται,
ὑποβολιμαίαν σύνεσιν ἠμφιεσμένος.

10 [g]Φιλήμονος.

Ἀδελφεοῦς κἂν λαλῇ τις μικρόν ἐστι κόσμιος,
οὐδ' ἂν πορεύηταί τις εἰς τὴν γῆν βλέπων·
ὁ δ' ἥλικον μὲν ἡ φύσις φέρει λαλῶν,
μηθὲν ποιῶν δ' ἄσχημον, οὗτος κόσμιος.

[a] δεκνὰ ms.

[b] ήνου ms. pr. Z præfixit manus recentior. Aperte leg. Εὐήνου.

[c] Sc. Col. 1143. Hoc lemma in ms. ante art. seq. positum est.

[d] Πρὸς τοὺς] πρὸς δὲ τοὺς Halmius: qui in v. seq. reponit οὐ φρενῶν τυχὼν ἴσως.

[c] σαήφρονες] σώφρονες ms. et v. seq. ἐλαφρόνοι.

[f] Falso tribuitur hoc fragmentum Euripidi. Versus sunt Comici.

[g] Legendum videtur Φιλήμονος Ἀδελφοῖς. Οὐκ ἂν λ. τ.

11 Εὐριπίδου Φοίνιξι.

[h]Οἱ πεῖραν οὐ δεδωκότες,
μᾶλλον δοκοῦντες ἢ πεφυκότες σοφοί.

12 Εὐριπίδου Ἀντιόπῃ.

Ὅς δ' εὐγλωσσίᾳ
νικᾷ, σοφὸς μέν, ἀλλὰ γὰρ τὰ πράγματα
κρεῖσσον νομίζω τῶν λόγων ἀεί ποτε.

13 Εὐριπίδου.

(Οὐ) μὴ φρονήσετ' κ. τ. λ. 86, 4.

14 [i]τίωνος.

Ἐκ τῶν λόγων μὴ κρίνε, Κλειτοφῶν, σοφὸν
ἢ χρηστὸν ἄνδρα, τὸν βίον ἐξέταζ' ἀεί·
[k]πολλοὶ γὰρ λέγουσιν ἀδικίας χάριν,
τὰ δ' ἔργ' ἔχουσι φαῦλα, κοὐ φρονοῦσιν εὖ.

15 [l]Εὐριπίδου Παλαμήδῃ.

Ὅστις λέγει μὲν εὖ, τὰ δ' ἔργ' ἐφ' οἷς λέγει
αἴσχρ' ἐστὶν αὐτοῦ, τοῦτον οὐκ αἰνῶ ποτέ.

16 [m]Σοφοκλέους.

Σύ τοι λέγεις νῦν, οὐκ ἐγώ· σὺ γὰρ ποιεῖς
τοὔργον, τὰ δ' ἔργα τοὺς λόγους εὑρίσκεται.

17 Εὐριπίδου Θυέστῃ.

(Οὐ) πώποτ' ἔργου μᾶλλον εἱλόμην λόγους.

18 Τῷ λόγῳ μὲν εὖ διέρχῃ πάντα, τῷ δ' ἔργῳ κακῶς.

19 [n]Μενάνδρου.

Οὐχ ὁ λόγος αὔξει τὴν τέχνην περισσὸς ὤν,
ἀλλ' αὐτὰ κοσμεῖ τὴν τέχνην τὰ πράγματα.

20 Εὐριπίδου Πελιάσιν.

[o]Φθείρου· τὸ γὰρ δρᾶν οὐκ ἔχων, λόγους ἔχεις.

h MS. 'A.
i f. Φιλιστίωνος. Philemon. Meinek. inc. XL. c. n. 131.
k Leg. πολλοὶ γὰρ εὖ λ.
l Εὐριπίδους ms.
m Elect. 624.
n Μενάνδρου] Ἑρμιδότου Stobæus LX. 3.
o Prima littera deest ms.

21 Μενάνδρου.

Τί δ' ὄφελος [p](εὖ) λαλοῦντος ἂν κακῶς φρονῇ.

22 [q]Εὐριπίδου [r]Μηδείας.

[p. 100] Πολλὰ πολλοῖς εἰμὶ διάφορος βροτῶν·
ἐμοὶ γὰρ ὅστις ἄδικος ὢν σοφὸς λέγειν
πέφυκε, πλείστην ζημίαν ὀφλισκάνει·
γλώσσῃ γὰρ αὐχῶν [s]τἄδικ' εὖ περιστελεῖν,
τολμᾷ πανουργεῖν, ἔστι δ' οὐκ ἄγαν σοφός.

23 Μενάνδρου.

Ὁ μὲν λόγος (σου) συνέσεως πολλῆς γέμει·
τὰ δ' ἔργα σύνεσιν οὐκ ἔχοντα φαίνεται.

24 [t]Ποσειδίππου.

Οὐκ ἔργον ἐστὶν εὖ λέγειν, ἀλλ' εὖ ποιεῖν·
πολλοὶ γὰρ εὖ λέγοντες οὐκ ἔχουσι νοῦν.

25 [u]Εὐριπίδου.

Ἤδη δὲ πολλῶν ἠρέθην κρίτης λόγων,
καὶ πόλλ' [x]ἀμιλληθέντα μαρτύρων ὕπο
τἀναντί' ἔγνων συμφορᾶς μιᾶς πέρι.
κἀγὼ μὲν οὕτω, [y]χὤστις ἔστ' ἀνὴρ σοφὸς
λογίζεται τἀληθὲς εἰς ἀνδρὸς φύσιν
βλέπων, δίαιτάν θ' ἥν τιν' [z]ἰμερεύεται.
καὶ τῷδε [a]δηλώσαιμ' ἄν, εἰ βούλοιο σύ,
τἀληθές, ὡς ἔγωγε καὐτὸς ἄχθομαι,
ὅστις λέγειν μὲν εὐπρεπῶς ἐπίσταται,
τὰ δ' ἔργα χείρω τῶν λόγων παρέσχετο.

26 Μενάνδρου.

Ὁ μὲν λόγος σου [b]καὶ κατ' ὀρθὸν εὐδρομεῖ,

p λαλοῦντος] εὖ addidit Schneidewinus.
q Med. 579. r μήδ. ms.
s ms. τὰ δίκαι'—περιστέλλων—σοφόν.
t οδιδίππου ms.
u Fr. Phœnicis 9.
x ἀμιληθέντα ms.
y χὅστις] καὶ ὅστις ms.
z F. ἠμερεύεται. Æschines ἐμπορεύεται.
a δηλώσαιμ' ἐν εἰ β. εὖ σύ ms.
b καὶ] παῖ Schneidewinus, qui v. seq. ἐμπορεύεται.

τὸ δ' ἔργον ἄλλην οἶμον ἐκπορεύεται.

27 Σοφοκλέους Ἐριφύλῃ.

.. γλῶσσ' ἐν οἷσιν ἀνδράσιν τιμὴν ἔχεις,
ὅπου λόγοι σθένουσι τῶν ἔργων πλέον.

28 Μενάνδρου.

Ὁ μὴ φρονῶν μέν, πολλὰ δ' ἐφ' ἑκάστου λαλῶν,
δείκνυσιν [c]αὐτοῦ τὸν τρόπον τοῖς ῥήμασιν.

29 [d]Θεμιστίου ἐκ τοῦ Μετριοπαθοῦς ἢ Φιλοτέκνου.

Ὅτι ὁ λόγος ἐὰν μὴ τῷ τρόπῳ σύμφωνος ᾖ, ἀλλότριος γίνεται, καὶ οὐ τοῦ λέγοντος, ὥσπερ ἐκεῖνος ὃν Θερσίτης ἔλεγε τοῖς Ἀχαιοῖς,

ὃν κεν ἐγὼ δήσας ἀγάγω—

[e]οὗτος γὰρ Ἀχιλλέως καὶ Αἴαντος ἦν· ὁ κυφὸς δὲ αὐτὸν οὐδὲν προσήκοντα ὑπεβάλετο.

30 [f]Μύσωνος.

Μύσων ὁ Χηνεὺς ἔφη δεῖν οὐκ ἐκ τῶν λόγων τὰ [g]ἔργα κρίνειν, ἀλλ' ἐκ τῶν πράξεων τοὺς λόγους.

31 Θεοφράστου.

Οὐ τὸν βίον ἐκ τῆς τοῦ λόγου δεινότητος πιστεύομεν, ἀλλὰ τὸν λόγον ἐκ τῆς περὶ τὸν βίον εὐταξίας.

32 Δημοσθένους. [p. 21, 19.]

Ὅς (ὡς) ἅπας μὲν λόγος ἂν ἁπῇ τὸ ἔργον μάταιόν τι φαίνεται καὶ κενόν.

33 Δημοκρίτου.

Πολλοὶ δρῶντες τὰ αἴσχιστα λόγους τοὺς ἀρίστους ἀσκέουσιν.

[c] αὐτοῦ] αὐτὸν ms.
[d] Sc. p. 261 D. Mox σύμφενος ms.
[e] ἔτος ms.
[f] Leg. Μύσωνος. Μύσων ὁ Χηνεύς. In ms. Φ. Φ. ὁ χιμές. Sententiam habet Diog. Laert. I. 108.
[g] ἔργα deest ms. cum lacuna tamen.

34 (A)πολλώνιος.

γλαυ . . . αλὸν μάζα καὶ τρίβων μὴ κατεπιτήδευμα δοξοκοπικὸν καλούμενον· ἀλλ' ὅταν τὰ πράγματα ἄγῃ πρὸς αὐτὰ σεμνῶς φορούμενα.

35 Πυθαγόρου.

Ἐπιδείκνυσο μὴ ἐν τοῖς λόγοις ἀ φρονεῖν, ἀλλ' ἐν τοῖς ἔργοις ἀ ποιεῖν.

36 Δημοκρίτου.

Ἔργα καὶ [h]πρήξιας ἀρετῆς, οὐ λόγους ζηλεύειν [i]χρεών.

37 Σωκράτους.

Σωκράτης ἐρωτηθεὶς τινῶν μάλιστα ὁ λόγος ἰσχύει, [r]Ων ἡ πρᾶξις, εἶπε, συνακολουθεῖ τῷ λόγῳ.

38 [k]. . ξιθέου.

. . ξίθεος ὁ Ἀθηναῖος τοὺς χρηστοὺς μὲν ἐν τοῖς . . ἀχρήστους δὲ κατὰ τὸν βίον, ὁμοίους ἔφη εἶναι τοῖς ἀγαθοῖς ἐνυπνίοις.

39 Ἐκ τοῦ Ἐπικτήτου [l]Ἐγχειριδίου.

Τὰ πρόβατα οὐ χόρτον φέροντα τοῖς ποιμέσιν [m]ἐπιδείκνυσι πόσον ἔφαγεν, ἀλλὰ [n]πέψαντα τὴν νομὴν ἔρια ἔσω
[p.100b] φέρει καὶ τυρόν· καὶ σὺ μὴ τὰ θεωρήματα τοῖς ἰδιώταις [o]ἐπιδείκνυε, ἀλλὰ τὰ ἀπ' αὐτῶν πραχθέντα ἔργα.

40 Δημοκρίτου.

Οὔτε λόγος ἐσθλὸς φαύλην πρῆξιν ἀμαυρίσκει, οὔτε πρῆξις ἀγαθὴ λόγου βλασφημίῃ λυμαίνεται.

41 Δημοσθένους Ὀλυνθιακῶν. [p. 32, 17.]

Τὸ γὰρ πράττειν τοῦ λέγειν καὶ χειροτονεῖν ὕστερον ὂν τῇ τάξει πρότερον τῇ δυνάμει καὶ κρεῖττόν ἐστι.

h πρήξας ms.
i χρενῶ ms.
k Ὀξιθέου] Sic a correctore. ξιθέου et ξίθεος ms. pr. An Εὐξίθεος?
l Sc. c. 46. ubi multa leguntur melius.
m ἐπιδείκνυσιν ms.
n πέμψαντα ms.
o ἐπιδείκνυσιν ms.

42 [p]Φαλάριδος.

[q]Οὐδὲ τοῦτο συνιεὶς, ὅτι λόγος ἔργου σκιὰ παρὰ τοῖς σοφοῖς πεπίστευται.

43 Διογένους.

Διογένης λόγον τινὰ διεξῄει περὶ σωφροσύνης καὶ ἐγκρατείας, καὶ ὡς ἐπῄνουν αὐτὸν οἱ Ἀθηναῖοι, ὁ δὲ, Κάκιστ' [r]ἀπόλλυσθε, εἶπε, τοῖς ἔργοις μὴ ἀντιλέγοντες.

44 Πολυαίνου.

Ὅταν μὲν γὰρ τῇ σεμνότητι τῶν λόγων καὶ ἡ πεῖρα τῶν ἔργων ἕπηται, τοῦτό τοι χρὴ καλεῖν δόγμα φιλοσόφου· ὅταν δὲ ὁ μὲν λόγος [s]ἀπαγγέλληται μεγάλα, ὁ δὲ βίος πράττῃ μηδὲ τοὐλάχιστον, ἆρα οὐ κόμπος ταῦτα καὶ τερατεία σοφιστοῦ, καὶ μειρακίων ἀκοὰς ἐκπλήττειν ἐσπουδακότος;

45 Ἐν ταυτῷ. Περὶ Δημοσθένους.

. . τοῖς λόγοις καλλωπιζόμενος, ἀλλὰ τοῖς λόγοις ὑπερβάλλων τοὺς λόγους, εἴγε δὴ βάσανον τῆς ἀληθείας εἶναι χρὴ νομίζειν ὅταν τὸ (τῷ) λέγειν καὶ τὸ πράττειν ἕπηται.

46 Λυκίου ἐκ τῶν Μουσωνίου. Πότερον ἰσχυρότερον ἔθος ἢ λόγος.

Αὖθις ἐνέπεσε [t]μὲν ζήτησις πότερον ἀνυσιμώτερον πρὸς κτῆσιν ἀρετῆς ἔθος ἢ λόγος, εἰ ὁ μὲν λόγος [u]διδάσκει ὀρθῶς τί εἴη ποιητέον, τὸ δὲ ἔθος [v]γένοιτο κατὰ τοιοῦτον λόγον πράττειν ἐθιζομένων. Τῷ δὲ Μουσωνίῳ τὸ ἔθος ἐδόκει εἶναι ἀνυσιμώτερον, καὶ συνήγορον τῇ ἑαυτοῦ δόξῃ ἤρετο τῶν παρ-

p Ep. 92. ed. Lennep.

q ἠδὲ ms. a correctore in rubrica. δὲ pr.

r ἀπόλοισθε Halmius, et mox μοι pro μὴ cum Boissonad. Anecd. I. p. 43.

s ἐπαγγέλληται Halmius.

t μὲν] forte natum ex vera scriptura ἡμῖν. WYTT.

u διδάσκει] Constructio postulat διδάσκοι. WYTT.

v γίνοιτο ms. et mox πράττει.

ὁντων [x] τινα οὕτως· Δυοῖν ὄντοιν ἰατροῖν, τοῦ μὲν ἱκανοῦ λέγειν καὶ περὶ τῶν ἰατρικῶν [y] ὥρα ὅτι ἐμπειρότατον, περὶ δὲ θεραπείαν τῶν καμνόντων [z] μηδὲ τετριμμένου, τοῦ δ' εἰπεῖν μὲν ἀδυνάτου, θεραπεύειν δ' εἰθισμένου κατὰ τὸν λόγον τὸν ἰατρικόν· πότερον, ἔφη, μᾶλλον ἕλοιο ἂν παρεῖναί σοι νοσοῦντι; Ὁ δὲ ἀπεκρίνατο, τὸν θεραπεύειν εἰθισμένον. Καὶ ὁ Μουσώνιος· Τί δέ; δύο ἀνδρῶν τοῦ μὲν πεπλευκότος πολλάκις, καὶ κυβερνήσαντος ἤδη [a] οἷα ἱκανὰ, τοῦ δὲ ὀλιγάκις μὲν πεπλευκότος, κυβερνήσαντος δὲ μηδέποτε· ἐὰν οὗτος ὁ μὴ κυβερνήσας [b] ἱκανώτατον λέγει ὃν τρόπον χρὴ κυβερνᾶν, ὁ δ' ἕτερος ἐνδεῶς καὶ παντάπασιν ἀσθενῶς, ποτέρῳ ἂν πλέω [c] χρήσ κυβερνήτῃ; Καὶ [d] ὁ εἶπεν, ὅτι τῷ κυβερνήσαντι πολλάκις. Πάλιν ὁ Μουσώνιος· Μουσικοῖν δὲ δυοῖν, τοῦ μὲν τοὺς λόγους ἐπισταμένου τοὺς μουσικοὺς, [e] καὶ λέγοντος αὐτοὺς πιθανώτατον, ᾄδειν δὲ καὶ κιθαρίζειν καὶ λυρίζειν ἀδυνατοῦντος· τοῦ δὲ περὶ μὲν τοὺς λόγους ὄντος ἥττονος, κιθαρίζοντος δὲ καλῶς καὶ λυρίζοντος ἔτι δὲ ᾄδοντος· ποτέρῳ ἂν [f] ἐπιτρέψαι ἔργον μουσικὸν, ἢ πότερον ἂν ἐθέλοις γενέσθαι διδάσκαλον τῶν μουσικῶν παιδὸς οὐκ [g] εἴδοι; Ὁ δὲ ἀπε-

[x] τινα. Οὕτως] Rectius sit τινα οὕτως. WYTT. Nisi l. οὗτος, *Heus tu*.

[y] ὥρα] Ita legit Sartius vocem in ms. ferme evanidam. θεωρίαν conj. Wyttenbachius. ὁρίσαι vel potius γνῶναι Halmius. Quid in ms. re vera exstet tum demum sciemus, si quando aliquis palæographiæ Sartio peritior vel oculatior codicem denuo inspexerit.

[z] μὴ vel μηδὲν Halmius. Mox θεραπεύσειν ms.

[a] οἷα ἱκανὰ] Forte πλοῖα ἱκανά. *navigia satis multa*. WYTT. ὅια ms. ubi initium vocis periit.

[b] ἱκανώτατον λέγει] Præstet ἱκανώτατα λέγοι. Requiritur tamen plenius, ἱκανώτατος ᾗ λέγειν· i. e. *plurimum facultatis habeat ad dicendum quomodo oporteat gubernare*. WYTT.

[c] In promtu est, quod lacunam expleat, χρήσαιο. WYTT. χρήσ.. κυβερνήτης ms.

[d] ὁ εἶπε] Imo ᾧ εἶπε, quæ est solennis dialogi formula. WYTT.

[e] Malim: καὶ λέγειν αὐτοὺς πιθανωτάτου. WYTT.

[f] ἐπιτρέψαι] Legendum ἐπιτρέψαις. WYTT. ἐπιστρέψαι ms.

[g] εἴδοι] Nihili vocabulum, forte

[p. 101] κρίνατο, ὅτι [h]τὸν ἐν τοῖς ἱκανόν. Τί οὖν, εἶπεν ὁ Μουσώνιος, ταῦτα μὲν ταύτῃ ἔχει· περὶ δὲ σωφροσύνης ἢ ἐγκρατείας τοῦ ἃ χρὴ δύνασθαι λέγειν οὐ πολὺ κρεῖττον τὸ ἐγκρατῆ γενέσθαι καὶ σώφρονα περὶ τὰ πραττόμενα πάντα; [i]Συνεχώρει κἀνταῦθα ὁ νεανίσκος, ἧττον καὶ φαυλότερον εἶναι τοῦ σωφρονεῖν ἔργῳ τὸ λέγειν περὶ σωφροσύνης ἱκανῶς. Ὅθεν ὁ Μουσώνιος συνάπτων τοῖς προειρημένοις, πῶς οὖν ἐπὶ τούτοις, ἔφη, τὸ τὸν ἑκάστου λόγον ἐπίστασθαι πράγματος κρεῖττον ἂν εἴη τοῦ ἐθίζεσθαι καὶ πράττειν τὰ πράγματα κατὰ τὴν ὑφήγησιν τὴν τοῦ λόγου; ἐπείπερ τὸ μὲν ἔθος πρὸς τὸ δύνασθαι πράττειν ἄγει, τὸ δὲ ἐπίστασθαι λόγον τοῦ πράγματος πρὸς τὸ δύνασθαι λέγειν. Συνεργεῖ μὲν γὰρ καὶ τῇ πράξει ὁ λόγος διδάσκων ὅπως πρακτέον, καὶ ἔστι [k]τῇ πράξει πρότερος τοῦ ἔθους· οὐ γὰρ ἐθισθῆναί τι καλὸν οἷόν τε μὴ κατὰ λόγον ἐθιζόμενον· δύναμει μέντοι τὸ ἔθος προτερεῖ τοῦ λόγου, ὅτι ἐστὶ κυριώτερον ἐπὶ τὰς πράξεις ἄγειν τὸν ἄνθρωπον ἤπερ ὁ λόγος.

47 Ἐκ τοῦ Θεοδώρου τῶν Τέλητος ἐπιτομῆς. Περὶ τοῦ δοκεῖν καὶ τοῦ εἶναι.

Κρεῖττόν φασι τὸ δοκεῖν δίκαιον εἶναι τοῦ εἶναι· μὴ καὶ τὸ δοκεῖν ἀγαθὸν εἶναι τοῦ εἶναι κρεῖττόν [l]ἐστιν; Ἀμέλει πότερον οὖν διὰ τὸ δοκεῖν ἀγαθοὶ ὑποκριταὶ εἶναι ὑποκρίνονται, ἢ διὰ τὸ εἶναι; κιθαρίζουσι δὲ πότερον διὰ τὸ δοκεῖν ἀγαθοὶ, ἢ διὰ τὸ εἶναι; Διὰ τὸ εἶναι. Τὰ δ' ἄλλα πάντα ἁπλῶς διὰ τὸ δοκεῖν ἀγαθοὶ εὖ πράττουσιν, ἢ διὰ τὸ εἶναι; Διὰ τὸ εἶναι. Διὸ δ' εὖ βιοῦσι κρεῖττον ἢ διὸ μή; ὥστε κρεῖττον [m]φαίνοιτ' ἂν τὸ ἀγαθὸν εἶναι τοῦ δοκεῖν· ὁ γὰρ

natum ex εἰδότος· i. e. *pueri musica ignorantis.* WYTT.

h Sententia postulat, τὸν ἐν τοῖς ἔργοις ἱκανὸν, aut simile quid. WYTT.

i συνεχάρει ms.

k τῇ πράξει] Verum est τάξει, a quo librarium frequens in hoc loco vocabulum πρᾶξις abduxit. WYTT.

l ἐστιν ἀμέλει. ms.

m φαίνουσα ms.

δίκαιος ἀγαθὸς, οὐχ ὁ δοκῶν δίκαιος εἶναι· καὶ τί ποτε ἐπὶ τῶν ἄλλων ἀγαθῶν ὅσα δοκοῦσιν ἄνθρωποι μᾶλλον ἂν βούλοιο εἶναι ἐν αὐτοῖς καὶ ἔχειν αὐτὰ μᾶλλον ἢ δοκεῖν ἔχειν· εὐθέως, ὁρᾶν ἂν βούλοιο, ἢ δοκεῖν ὁρᾶν· ὑγιαίνειν μᾶλλον ἢ δοκεῖν, ἰσχύειν μᾶλλον ἢ δοκεῖν, εὔπορος εἶναι, φίλους ἔχειν, μᾶλλον ἢ δοκεῖν· ἐπὶ τῶν ψυχικῶν πάλιν, φρονεῖν μᾶλλον ἢ δοκεῖν, ἄλυπος εἶναι μᾶλλον ἢ δοκεῖν, θαρσαλέος εἶναι, ἄφοβος εἶναι, ἀνδρεῖος εἶναι, μᾶλλον ἢ δοκεῖν· ἐπὶ τῆς δικαιοσύνης δὲ οὐκ ἔτι δίκαιος εἶναι μᾶλλον ἢ δοκεῖν, ἀλλὰ καὶ ἀνδρεῖος ἂν μᾶλλον βουλοίμην δοκεῖν ἢ εἶναι· ἢ οὐχ ὁ ἀνδρεῖος καὶ ἄφοβος καὶ ἄλυπος, οὐχ ὁ δοκῶν; Διὰ τὶ δὲ βούλει ἀνδρεῖος δοκεῖν εἶναι; Τιμήσουσί με. Καὶ γὰρ πρωτοστάτην σὲ καταστήσουσι, καὶ μονομαχεῖν [n] κελεύσουσι, καὶ ἵνα λάχῃς μηχανήσονται, καὶ λαχόντος ἐπιχαρήσονται, καθάπερ τῷ Αἴαντι· εἶτα τί οἴει πείσεσθαι, δειλὸς μὲν ὤν, κινδυνεύων δέ; καὶ ἐὰν αἰχμάλωτος γένῃ δοκῶν ἀνδρεῖος εἶναι πέδας ἕξεις μεγάλας καὶ χειροπέδας, καὶ οὐθείς σοι μὴ πιστεύσει, ἀλλὰ καὶ [o] κατακεκλεισμένος ἔσῃ, κἂν βασανίζωσί σε πολλὰς λήψῃ, καὶ λέγων τὴν ἀλήθειαν οὐ μὴ πιστευθήσῃ, ἀλλὰ [p] δόξεις μωκᾶσθαι διὰ τὸ δοκεῖν καρτερικὸς εἶναι· καὶ κελεύσουσί σε δέρειν καὶ [q] ἐπι-
[p. 101 b] τείνειν καὶ παροπτοῖς(?). Ὅρα πόσα λήψῃ δοκῶν ἀνδρεῖος εἶναι καὶ καρτερικός· σὺ δὲ ἐκεῖνο μὲν προφέρῃ, ταῦτα δὲ ἀποκρύπτεις, ὥσπερ οἱ ῥήτορες.

48 Πλάτωνος [r] ἐκ τῆς πρὸς Ἀριστόδωρον ἐπιστολῆς.

Ἀκούω Δίωνος ἐν τοῖς μάλιστα ἑταῖρον εἶναί τέ σε νῦν καὶ γεγονέναι διὰ παντὸς, τὸ σοφώτατον ἦθος τῶν εἰς φιλοσοφίαν [s] παρεχόμενον· τὸ γὰρ βέβαιον καὶ πιστὸν καὶ

n κελεύουσι ms.
o κατακεκλασμένος ms.
p δόξῃς ms. et mox κελεύσασι.
q ἐπιπείνειν καὶ παροπτοῖς ms. παροπτῆσαι Jacobs. probante Dindorfio T. L. G. t. 6. p. 545 C.
r Sc. p. 358.
s παρεχομένων ms.

ὑγιὲς τοῦτο ἐγώ φημι εἶναι τὴν ἀληθινὴν φιλοσοφίαν, τὰς δὲ ἄλλας τε καὶ εἰς ἄλλα τεινούσας σοφίας τε καὶ δεινότητας, κομψότητας, οἶμαι, προσαγορεύων ὀρθῶς ὀνομάζειν.

49 Αἰσχίνου περὶ Δημοσθένους. [p. 78, 29.]

Πλεῖστον δὲ ἐκ πολιτείας εἰληφὼς ἀργύριον ἐλάχιστα περιεποιήσατο. Νῦν μὰ τὸ βασιλικὸν χρυσίον ἐπικέκλυνε τὴν δαπάνην αὐτοῦ. Ἔσται δὲ οὐδὲ τοῦθ' ἱκανόν· οὐθεὶς γὰρ πώποτε πλοῦτος τρόπου περιεγένετο, καὶ τὸ κεφάλαιον τὸν βίον οὐκ ἐκ τῶν ἰδίων προσόδων πορίζεται, ἀλλ' ἐκ τῶν ἡμετέρων κινδύνων. Πρὸς δὲ εὐγνωμοσύνην καὶ λόγων δύναμιν πῶς πέφυκε; δεινῶς λέγειν, κακῶς βιῶναι. Οὔτε γὰρ κέχρηται καὶ τῷ αὐτοῦ σώματι καὶ παιδοποιίᾳ, ὥστε μὴ βουλεύεσθαι λέγειν ἃ τούτῳ πέπρακται. Ἤδη γάρ ποτε εἶδον μισηθέντας τοὺς τὰ τῶν πλησίων αἰσχρὰ λίαν σαφῶς λέγοντα. ἔπειτά τι συμβαίνει τῇ πόλει; οἱ μὲν λόγοι καλοί, τὰ δὲ ἔργα φαῦλα.

Λόγος η'.

[t] Περὶ οἴκου καὶ οἰκιακῆς καταστάσεως, καὶ ὅτι οὐ καλὸν ἀλλοτρίοις στυγνάζειν οἴκοις καὶ ἀκροᾶσθαι ἀλλοτρίων.

Post loca e SS. hæc sequuntur: Τοῦτον 85, 14. Καὶ μὴν 85, 20. Πρὸ πάντων 85, 21. Καὶ οἰκίας 85, 22. Οὐκοῦν 85, 23. Εἰ βούλει 5, 111—115. Ὥσπερ 3, 78. Κέλτοι τὰς θύρας 44, 41. p. 224. Αἰλιανοῦ τοῦ π. ζώων λόγ. κεφ. λα'.

Λόγος θ'.

[p. 104] Caput novum anepigraphum, sed est fortasse περὶ ὀλιγοβίων καὶ μακροβίων. Post pauca e SS. et ex Philone sequitur Αἰλιανοῦ τοῦ περὶ ζώων β'. λόγ.

[t] Hoc caput anepigraphum esse docet Sartius: in Elencho capitum vero quod præfixum est huic secundæ Parallelorum parti eum titulum inveniri quem supra dedimus.

[u] Λόγος ί.

1 Εὐριπίδου. [Phœnic. fr. 4.]

Ὅστις δ' ὁμιλῶν ἥδεται κακοῖς ἀνὴρ
οὐ πώποτ' ἠρώτησα, γιγνώσκων ὅτι
τοιοῦτός ἐστιν, οἵσπερ ἥδεται ξυνών.

2 Εὐριπίδου Βελλεροφόντῃ.

Ἀνὴρ δὲ χρηστὸς χρηστὸν οὐ μισεῖ ποτε,
κακῷ κακός τε συντέτηκεν ἡδοναῖς,
φιλεῖ δὲ τοὐμόφυλον ἀνθρώπους ἄγειν.

3 Εὐριπίδου Πελίασιν.

[x] . . γὰρ ξυνὼν κακὸς ἂν τύχῃ γεγὼς
τοιούτους δὲ τοὺς ξυνόντας ἐκπορίζεται,
χρηστοὺς δὲ χρηστός· ἀλλὰ τὰς ὁμιλίας
ἐσθλὰς διώκειν, ὦ νέοι, σπουδάζετε.

4 Μενάνδρου.

Ἡ τῶν ὁμοίων αἵρεσις μάλιστά πως
τὴν τοῦ βίου σύγκρασιν ὁμόνοιαν ποιεῖ.

5 Εὐριπίδου Ἀντιγόνης.

Νέοι νέοισι συννοσοῦσι τἀφανῆ.

6 Μενάνδρου Περικειρόμενοι.

[y] Οὕτω ποθεινόν ἐστιν ὁμότροπος φίλος.

7 Μενάνδρου.

οὐδείς ἐστι μοι
ἀλλότριος ἂν ᾖ χρηστός· ἡ φύσις μία
πάντων, τὸ δ' οἰκεῖον συνίστησιν [z] τρόπος.

[u] Caput novum anepigraphum, sed forte est περὶ ὁμοιοτρόπων καὶ ὁμοιογενῶν καὶ ὁμοηθῶν. Post pauca e SS. sequuntur profanorum scriptorum sententiæ. SARTIUS. Verum suspicor titulum fuisse, Ὅτι ἡ ὁμοιότης τῶν τρόπων φιλίαν ἀπεργάζεται, atque ex h. l. lacunam supplendam in Stobæi Ecl. Eth. II. 33.

[x] An Ὁ γὰρ ξ. κακὸς μὲν ἂν τ. γ. τοίουσδε τ. ξ. ἐ.? Vide infra in t. περὶ ἀγωγῆς.

[y] τω ms.

[z] βίος τρόπος. ms.

8 Ὁμήρου.

[a]Ὡς αἰεὶ τὸν ὁμοῖον ἄγει θεὸς ὡς τὸν ὁμοῖον.

9 Δημοκρίτου.

Ὁμοφροσύνη φιλίην ποιεῖ.

10 Διογένης ἐρωτηθεὶς τί ἐστι φίλος, Μία ψυχὴ ἐν δυσὶ σώμασι κειμένη.

11 [aa]Εἰδότες οὔτε φιλίαν ἰδιώταις βεβαίαν γιγνομένην οὔτε κοινωνίαν πόλεσιν, εἰ μὴ μετὰ ἀρετῆς διωκούσης ἐς ἀλλήλους γίγνοιτο, καὶ τἆλλα ὁμοιότροποι εἶεν· ἐν γὰρ τῷ [b]διαλλάσσοντι τῆς γνώμης καὶ αἱ διαφοραὶ τῶν ἔργων καθίστανται.

12 [c]Ἀριστοτέλους.

Ὥσπερ ὁ οἶνος κιρνᾶται τοῖς τῶν πινόντων τρόποις, οὕτω καὶ ἡ φιλία τοῖς τῶν χρωμένων ἤθεσι.

13 Πυθαγόρας ἐρωτηθεὶς τί ἐστι φίλος, ἀπεκρίνατο, Ἄλλος ἐγώ.

14 Τὴν φιλίαν ἔφη ἰσότητα εἶναι.

15 [d]Ἰάμβλιχος Μακεδονίῳ περὶ Ὁμονοίας.

Ἡ ὁμόνοια, καθάπερ αὐτὸ τὸ ὄνομα βούλεται ἐνδείκνυσθαι, συναγωγὴν [e]ὁ μόνου τοῦ νοῦ κοινωνίαν τε καὶ ἕνωσιν ἐν ἑαυτῇ συνείληφεν, ἀφορμηθεῖσα δὴ οὖν ἐντεῦθεν ἐπὶ πόλεις καὶ οἴκους κοινούς τε συλλόγους πάντας καὶ ἰδίους οἴκους, φύσεις τε καὶ συγγενείας πάσας ἐπιπορεύσεται, κοινάς τε καὶ ἰδίας ὡσαύτως· ἔτι δὲ περιέχει καὶ τὴν ἑνὸς ἑκάστου
[p. 105] πρὸς ἑαυτὸν ὁμογνωμοσύνην· ὑφ' ἑνὸς μὲν γάρ τις νοήματος καὶ μιᾶς γνώμης κυβερνώμενος, ὁμονοεῖ πρὸς ἑαυτὸν, διχογνωμονῶν δὲ πρὸς ἑαυτὸν καὶ ἀνόμοια λογιζόμενος διαστασιάζει· καὶ ὁ μὲν ἐπὶ τῆς ἀεὶ αὐτῆς ἐπιμένων διανοήσεως,

[a] εἰς ms. et mox φίλην.
[aa] Thucyd. III. 10.
[b] διαλάσσοντι ms.
[c] Maximus CXXXV. p. 216, 4.
[d] Παμβλίων ms. Mox pro ὁ μόνου f. ὁμοῦ.
[e] ὁ μόνου] ὁμοίου Halmius.

ὁμοφροσύνης ἐστὶ πλήρης· ὁ δ' ἄστατος τοῖς λογισμοῖς καὶ ἄλλοτε [f]ἐπ' ἄλλης δόξης φερόμενος, ἀστάθμητός ἐστι καὶ πολέμιος πρὸς ἑαυτόν. Φιλία ἡ μὲν ἀπὸ ἐναντίων δεινὴ καὶ ἀγρία καὶ τὸ κοινὸν οὐ πολλάκις ἔχουσα ἐν ἡμῖν, ἡ δ' ἐκ τῶν ὁμοίων ἥμερός τε καὶ κοινὴ διὰ βίου.

16 Πλάτωνος ἐκ τοῦ Φαίδρου. [p. 255 B.]

(Οὐ) γὰρ δή ποτε εἵμαρται κακὸν κακῷ φίλον· οὐδ' ἀγαθὸν μὴ φίλον ἀγαθὸν (ἀγαθῷ) εἶναι.

Λόγος ιά'.

Caput novum anepigraphum, sed est περὶ οἴνου καὶ χρήσεως αὐτοῦ, in quo excerpta tantummodo habentur ex SS. et SS. patribus.

[g]Λόγος ιβ'.

[p. 105b] Aliud caput, item sine titulo, sed est fortasse περὶ ὀνειδισμοῦ ἀγαθοῦ κατὰ Θεὸν, καὶ ὀνειδισμοῦ ἐπὶ κακοπραγίᾳ, καὶ ὅτι οὐ δὴ συμφέρον ὀνειδίζειν. Post sententias satis multas sacrorum bibliorum et SS. PP. quorum ultimus est Chrysostomus, ita sequitur,

1 Ἑτέρων.

[h]Μέλει μοι τῶν τοιούτων ἧττον ἢ βατράχων τῶν ἐν τοῖς τέλμασιν.

2 [i]Ὥσπερ οἱ ἐν χαλκείῳ κατακτυπούμενοι τὰς ἀκοὰς ἐν μελέτῃ γίγνονται τῶν ψόφων, οὕτω καὶ ἡμεῖς ταῖς πυκναῖς ἀπειλαῖς τῶν παραλόγων σου λόγων ἐνεθισθέντες, ἀθορύβητοι μένομεν.

3 [k]. . ιῷ τὸ πᾶν ἐπιτρέψας, οὐδὲν αὐτὸς φροντίζω τῶν σοφισμάτων ὑμῶν.

[f] ἐπ'] ὑπ' Halmius.

[g] Forte hic inc. t. ΠΕΡΙ ΛΟΙΔΟΡΙΑΣ, Photio II. 25.

[h] ἔλλει ms.

[i] Ὥσπερ οἱ] Vid. Basil. Epist. 267. t. III. p. 42 A.

[k] ιῷ] τῷ δικαίῳ Halmius.

4 [l]Ἐπειδὴ ἅπαξ περιεβαλόμην τὴν λεοντῆν, οὐκ ἀποδειλιατέον.

[p. 106] 5 [m]Οὐδενὶ ἂν παρὰ τὸ δίκαιον ὑπεικάθοιμι δείσας θάνατον.

6 [n]Οὐδὲν αὐτῶν χρὴ φροντίζειν, ἀλλ' ὅμοσε μᾶλλον ἰέναι.

7 [o]Ὧν ἐγὼ οὔτε μέγα οὔτε μικρὸν πέρι ἐπαΐω.

8 [p]Ἄγαν ἡ σὴ δεινότης καταθρασύνεται τῆς ἡμετέρας ἁπλότητος.

9 Πανὺ κάρχαρον ἐπαφῆκας ἡμῖν τὸν κύνα τῆς λοιδορίας.

10 [p]Ἔστι καὶ παρ' ἡμῖν ἀμύνης ἀκμὴ καὶ λόγος λύων σοφίσματα.

11 Ὁπλισθέντες λόγων ἐλευθερίᾳ τῆς ἀληθείας κατὰ τὸ θεμιτὸν προστησόμεθα.

12 Πρὸς τὰς μακρὰς σοῦ λοιδορίας καὶ βραχὺς ἐμοὶ καὶ σαφὴς ἀπόλογος.

13 δα (οἶδα) στηλιτεύειν παντὸς κωμῴδου λαμπρότερον.

14 Αἰλιανοῦ.

[p]Ὄνομα ἔστιν κ. τ. λ. [Hist. An. V. 35.]

[p]Λόγος ιγ'.

1 Ἀριστείδου.

Τοῦτο δὲ ἐστὶ τῇ μνήμῃ τῆς ἀναγκαίας τελευτῆς παραμύθιον, καὶ τοῦ [q]σώματος ἐκποδὼν γενομένου σώζεσθαι τοὔνομα, ὅτι αὐτῷ τὰ ἔργα, ἐξ ὧν εἰργάζετο, οὐ συντέθνηκεν, ἀλλὰ καὶ [r]τοῖς τῆς ἐκείνου δυνάμεως ὑπομνήματα εἰς χεῖρας ἀφίξεται.

2 Αἰλιανοῦ.

Ἀπὸ (ὑπὸ) τῷ κ. τ. λ. [Hist. An. XIV. 23.]

[l] Ἐπειδὴ] Plat. Cratyl. p. 411 A.
[m] Οὐδενὶ] Plat. Apol. p. 32 A.
[n] Οὐδὲν] Plat. Euthyphr. p. 3 C.
[o] Ὧν ἐγὼ] Plat. Apol. p. 19 C.
[p] Caput novum sine titulo, sed est περὶ ὀνόματος χρηστοῦ καὶ κακοῦ. Post pauca e Proverbiis et Ecclesiastico, sequitur Ἀριστείδου κ. τ. λ. SARTIUS.
[q] σώματος] σῶ ms.
[r] τοῖς τῆς] τοῖς delet Halmius.

Λόγος ιδ'.

[p. 107 b] [s][ΠΕΡΙ ΟΡΚΟΥ.]

Ὄρκον 27, 1. Οὐκ 27, 2. Ὅρκος 27, 3. Ὄστις 27, 4. Δέσποιν' 27, 5. Ὅρκου 27, 6. Μάστιγος 27, 7. Τοῖς 27, 9. Δεῖ 27, 10. Ὅρκον 27, 11. Ὅρκον 27, 12. Οἱ 27, 13. Ἐπερωτῶντα 27, 14.

[p. 108] [t]Λόγος ιε'.

[ΠΕΡΙ ΕΠΙΟΡΚΙΑΣ.]

Ἡ γλῶσσ' 28, 6. Οὐ γὰρ 28, 10. Συγγνώμονας 28, 12. Ὅρκοισι 28, 1. Ἀφροδίσιος 28, 2. Ὅρκος γὰρ 28, 5. Συγκέχυκε 28, 7. Ὅρκον 28, 8. Ὤμοσεν 28, 3.

1 [u]Μενάνδρου.

Γυναικὶ δ' ὅστις ὅρκον ὀμνύων ἀνὴρ
μηδὲν ποιεῖ δίκαιον, οὗτος εὐσεβής.

2 Τιμοθέου.

θ' ὁ πτερωτὸς ἰξὸς ὀμμάτων ἔρως
ὁ Κύπριος κυναγὸς, ἡ φρενῶν ἄκις,
ὁ μὴ τίνων θέοισιν ὁρκίων δίκας.

Δημοκρίτου. Ὅρκους οὓς κ.τ.λ. 28, 9. Ἐκ θεοῦ ἀγορᾶς. Καινοὺς π. κ.τ.λ. 28, 11. Χρησμός. Γλαῦκ' ἐπιτυθείδη 27, 14. Κλεάνθης 28, 14. Χρύσιππος 28, 15. Ἐν τῇ Κύρου ἀναβάσει 28, 16. Ἄνευ γὰρ 28, 17. Οὐ γὰρ ἀσ. 28, 10. (repet.) Ὅρκος δ' 28, 4.

[s] Caput novum, fortasse περὶ ὅρων καὶ ὅρκων οὐκ ἀγαθῶν καὶ ὅτι οὐ δεῖ ἐμμένειν αὐτοῖς. Post multa e SS. patribus et ex sacris bibliis excerpta sequuntur ista: Χειρίλλου κ.τ.λ. SARTIUS.

[t] Caput novum sine titulo, sed forte περὶ τῶν τοὺς ὅρκους ἀθετούντων καὶ ἐπιορκούντων. SARTIUS.

[u] $\overset{\theta\rho}{\alpha\nu}$ ms.

[x]Λόγος ις'.

Αἰλιανοῦ τοῦ περὶ ζώων α' λόγου κεφ. ιδ'. Αἱ θήλεις κόσσυφοι . . . .

[y]Λόγος ιζ'.

1 Λεύκιππος Δημόκριτος Ἐπίκουρος κατὰ εἰδώλων [z]εἴσκρισιν οἴονται τὸ ὁρατικὸν συμβαίνειν πάθος, καὶ κατά τινων ἀκτίνων εἴσκρισιν, μετὰ τὴν πρὸς τὸ ὑποκείμενον ἔνστασιν πάλιν ὑποστρεφουσῶν πρὸς τὴν ὄψιν.

2 Τιμαγόρας εἷς τῶν παραχαραξάντων ἐν συχνοῖς [a]τὴν Ἐπικούρειον αἵρεσιν ἀντὶ τῶν εἰδώλων ταῖς ἀπορροαῖς χρῆται.

3 Κράτων χρώματά φησιν ἀπὸ τῶν σωμάτων φέρεσθαι συγχροΐζοντ' αὐτοῖς τὸν μεταξὺ ἀέρα.

4 Ἀρισταγόρας σχήματα συνδιατυποῦντά πως αὐτοῖς τὸν ἀέρα.

5 Ἵππαρχος ἀφ' ἑκατέρου φησὶ τῶν ὀφθαλμῶν ἀποτεινομένας τοῖς πέρασιν αὐτῶν, οἱονεὶ χειρῶν ἐπαφαῖς [b]περικαθαπτούσαις τοῖς ἐκτὸς σώμασι τὴν ἀντίληψιν αὐτῶν πρὸς τὸ ὁρατικὸν ἀναδιδόναι.

6 Ἔνιοι καὶ Πυθαγόραν τῇ δόξῃ ταύτῃ συνεπιγράφουσιν, ἅτε δὴ βεβαιωτὴν τῶν μαθημάτων· καὶ πρὸς τοῦτο Παρμενίδην ἐμφαίνοντα τοῦτο διὰ τῶν ποιημάτων.

7 Πλάτων συναύγειαν κ.τ.λ. ut XLIV. 1. p. 496. ed. Oxon.

8 Ἀλκμαίων κατὰ τὴν τοῦ διαφανοῦς ἀντίληψιν.

x Caput novum forte περὶ ὀρφανῶν καὶ χηρῶν. Post varia e sacris litteris et SS. Patribus sequitur Αἰλιανοῦ κ.τ.λ. SARTIUS.

y Caput novum forte περὶ ὀφθαλμοῦ καὶ ὁράσεως. Nullæ heic sacrorum bibliorum sententiæ, sed statim ita incipiunt profanorum auctorum excerpta. SARTIUS. Hinc supplendus videtur Stobæus Phys. I. 44. p. 496. ed. Ox. Photio περὶ ὁράσεως καὶ κατοπτρικῶν ἐμφάσεων.

z εἴσκρισιν] εἰς κρίσιν ms. ubi mox ἔγκρισιν.

a τὴν Ἐπι-] τὸ Ἐπι- ms.

b περικαθαπτούσας ms.

9 Ἀριστοτέλης ut Stob. [p. 496.] nisi quod om. μεταξὺ διεχοῦς.

10 Τῶν [c]Ἀκαδημαϊκῶν τινὲς κατά τινων (ἀκτίνων) ἔκχυσιν, μετὰ τὴν πρὸς τὸ ὑποκείμενον ἔνστασιν πάλιν ὑποστρεφουσῶν πρὸς τὴν ὄψιν. Ποσειδώνιος γοῦν αὐτὴν σύμφυσιν ὀνομάζει.

11 Ἐμπεδοκλῆς καὶ πρὸς τὸ διὰ τῶν ἀκτίνων καὶ πρὸς τὸ διὰ τῶν εἰδώλων [d]ἐκδοχὰς παρέχεται· πλείους δὲ πρὸς δευτέρ.. τὰς γὰρ ἀπορροίας ἀποδέχεται.

12 Ἑστιαῖος ὁ Περίνθιος τοῖς εἰδώλοις τὰς ἀκτῖνας προσέμιξε, προσαγορεύσας τὸ γιγνόμενον ἀκτῖν' εἰδώλων.

13 Ἐμπεδοκλῆς κατ' ἀπορροίας τὰς συνισταμένας μὲν ἐπὶ τῆς ἐπιφανείας τοῦ κατόπτρου, πιλουμένας δὲ ὑπὸ τοῦ ἐκκρινομένου αὐτοῦ κατόπτρου πυρώδους καὶ τὸν προκείμενον ἀέρα, εἰς ὃν φέρεται τὰ ῥεύματα συντρέφοντος.

14 Λεύκιππος Δημόκριτος Ἐπίκουρος τὰς κατοπτρικὰς ἐμφάσεις γίνεσθαι κατ' εἰδώλων ἐμφάσεις, ἃ τινα φέρεσθαι μὲν ἀφ' ἡμῶν, συνίστασθαι δὲ ἐπὶ τοῦ κατόπτρου κατ' ἀντεπιστροφήν.

15 Ἀπὸ Πυθαγόρου καὶ τῶν μαθηματικῶν κατ' ἀνάκλασιν τῆς ὄψεως. Φέρεσθαι μὲν γὰρ τὴν ὄψιν τεταγμένην, ὡς
[p. 110b] ἐπὶ τὸν χαλκὸν, ἐντυχοῦσαν δὲ πυκνῷ καὶ λείῳ πληχθεῖσαν ὑποστρέφειν αὐτὴν ἐφ' ἑαυτὴν, ὅμοιόν τι πάσχουσαν τῇ ἐκτάσει τῆς χειρὸς καὶ τῆς ἐπὶ τὸν ὦμον ἀντεπιστροφῆς. Δύναται δέ τις πᾶσι τούτοις τοῖς κεφαλαίοις χρήσασθαι ἐπὶ τοῦ πῶς ὁρῶμεν.

16 Σφαῖρος ὁ Στωϊκὸς ὁρατὸν εἶναι τὸ σκότος, ἐκ γὰρ τῆς ὁράσεως προχεῖσθαί τινα εἰς αὐτὸ [e]αὐγήν.

17 Οἱ Στωϊκοὶ ὁρατὸν εἶναι τὸ σκότος· ἐκ γὰρ τῆς ὁράσεως προχεῖσθαί τινα ἐπ' αὐτὸ [e]αὐγήν. Καὶ οὐ ψεύδεται ἡ ὅρασις, βλέπεται γὰρ ταῖς ἀληθείαις ὅτι ἐστι σκότος.

[c] Ἀκαδημαίων ms.
[d] ἐκδοκὰς ms. ubi mox πρὸς δευτέρ.. ms.
[e] αὐγὴν] Sic Plutarchus. αὐτὴν Plutarchus supra εἰς αὐτό.

18 Χρύσιππος [f]κατὰ τὴν συνέντασιν τὰ ὄντα τοῦ μεταξὺ ἀέρος ὁρᾶν ἡμᾶς, [g]νυγέντος μὲν ὑπὸ τοῦ ὀπτικοῦ πνεύματος, ὅπερ ἀπὸ τοῦ ἡγεμονικοῦ μέχρι τῆς κόρης διήκει, κατὰ δὲ τὴν πρὸς τὸν [h]παρακείμενον ἀέρα ἐπιβολὴν ἐντείνοντος αὐτὸν κωνοειδῶς, ὅτ' ἂν ᾖ ὁμογενὴς ὁ ἀήρ· προχέονται δὲ ἐκ τῆς ὄψεως ἀκτῖνες πύριναι, οὐχὶ μέλαιναι καὶ ὁμιχλώδεις· διόπερ ὁρατὸν εἶναι τὸ σκότος.

19 [i]Πλάτωνος ἐκ τοῦ Τιμαίου.

Τῶν δὲ ὀργάνων πρῶτον μὲν φώσφορα συνετεκτήναντο ὄμματα. [k]κ. τ. λ.

[p. 111] Εἰς τὸ περὶ χρωμάτων. [Vid. Ecl. Phys. XLIV. 3. p. 498.]

20 [l]Ἔστι γένος ἡμῖν . . . .

21 Ἀριστομβρότου περὶ [v]Ὄψεως.

[v]Ὄψις καὶ φῶς καὶ ἀὴρ φυσικὴν ἔχει σύγκρασίν τε καὶ συγγένειαν ποτ' [m]ἄλλα λαμπρῶς ὁρᾷ· καὶ ἀὴρ πᾶς τῷ
[p. 111b] λαμπρῷ διορᾶται, συμβέβηκε δὲ καὶ τὴν ὄψιν καὶ τὸν ἀέρα εἶμεν· ἀλλὰ τὴν μὲν ὄψιν μέλαιναν καὶ ὑγράν, τὸν δὲ ἀέρα [n]μέλανα καὶ ἀραιόν· ἐνυπόκειται δὲ καὶ τῇ ὄψει καὶ τῷ ἀέρι καὶ τὸ δυνάμει διαφανές, ἀλλὰ τᾷ μὲν ὄψει τὸ συγγενὲς φῶς, τῷ δὲ ἀέρι τὸ ἀπὸ τῶν ἄνω. Ὅτι δὲ ἀ ὄψις ὑγρὰ ἆσσα φάος ἔχει συγγενές, δειξάτω καί τις ἐκ τῶνδε, [o]πρᾶτον μὲν τῷ διαφανέα καὶ λαμπρὰν εἶμεν· πᾶν γὰρ τὸ διαφανὲς καὶ λαμπρὸν οὐκ ἄνευ τινος [p]φάους ἐκ τᾶς ὄψιος ἢ διά τινος παραθλίψεως ἢ καὶ παρατρίψεως.

22 [q]Ἀναξιμένης κ. τ. λ.

[f] κατὰ τὴν] τὴν om. ms. sed habet Plutarchus. συνένστασιν ms.

[g] νυγέντες ms.

[h] περικείμενον ms.

[i] Sc. p. 45.

[k] Plura non exscripsit Sartius.

[l] Ex Platone ib. p. 67.

[m] f. ἄλλαλα. seqq. videntur manca.

[n] μέλαινα ms.

[o] πρᾶττον ms.

[p] φάος ms.

[q] Vid. Stobæum I. 23. p. 196. ed. Oxon.

Λόγος ιή.

ΠΕΡΙ ΟΣΦΡΗΣΕΩΝ.

1 Ἀλκμαίων ἐν τῷ ἐγκεφάλῳ εἶναι τὸ ἡγεμονικόν· τούτων οὖν ὀσφραίνεσθαι ἕλκοντι διὰ τῶν ἀναπνοῶν τὰς ὀσμάς.

2 Ἐμπεδοκλῆς ταῖς ἀναπνοαῖς ταῖς ἀπὸ τοῦ πνεύμονος συνεισκρίνεσθαι τὴν ὀσμήν· ὅτ' ἂν γοῦν ἡ πνοὴ βαρεῖα γένηται, κατὰ παχύτητα μὴ συναισθάνεσθαι, ὡς ἐπὶ τῶν ῥευματιζομένων.

3 Ἀριστοτέλης ὀσφραίνεσθαι τοῦ μεταξὺ σώματος ἀναπιμπλαμένου τῶν ὀσφραντῶν.

4 [r]Πλάτωνος ἐκ τοῦ Τιμαίου. Περὶ τῶν μυκτήρων δύναμιν οὐκ ἔνι· τὸ γὰρ τῶν ὀσμῶν πᾶν [s]ἡμιγενές κ. τ. λ.

[p.112b] [t]Λόγος ιθ'.

Αἰλιανοῦ τοῦ περὶ ζώων ιδ' λόγ. κεφ. ις'. Κύρων δὲ ἄρα καὶ ἰχθὺς κ. τ. λ.

[u]Λόγος κ'.

ΠΕΡΙ ΣΩΦΡΟΣΥΝΗΣ.

[p.116] 1 [x]Ὁ πολὺ τοῖς ὀφθαλμοῖς τοῦ σώματος ἀντιστήσας τοὺς τῆς ψυχῆς, ἀπῆλθε τελευταῖον ἡττηθείς, καὶ βέλος τῇ ψυχῇ δεξάμενος ἀφροδίσιον, δικαστὴν δὲ τὸν λογισμὸν ἐπιστήσας, φυγῇ τὸ πάθος ἐκόλασε. Τὸ μὲν σῶμα κατεπόνει, τὴν δὲ ψυχὴν εἰς σωφροσύνην ἐρρώννυε, πάσας γυναικῶν μυραλοιφίας ἀποστρεφόμενος, ἔρωτα καὶ Ἀφροδίτην καὶ πάντα τοιοῦτον θίασον ἀτιμάζων, πολλῇ τῇ ῥύμῃ παρὰ τὴν ἀρχὴν

[r] Sc. p. 66.

[s] Plura non exscripsit Sartius.

[t] Novum caput anepigraphum, sed forte *περὶ ὀφθαλμοῦ καὶ ὁράσεως*. Post sententias sacras sequitur *Αἰλιανοῦ κ. τ. λ.* SARTIUS.

[u] Caput novum, forte *περὶ παρθενίας καὶ σωφροσύνης καὶ γάμου σεμνοῦ*. Post sententias e sacris litteris et SS. Patribus, legitur, nullo auctoris nomine apposito, *περὶ σωφροσύνης*. SARTIUS.

[x] Ὁ] Οἱ ms. sed ὁ a correctore in rubrica. Forte leg. *ἐπὶ πολύ*.

πνεύσας κατὰ τῆς σαρκὸς, ἔσβεσεν αὐτῆς τὰς ἐπιθυμίας,
οὐ χαλινώσας τὸν ἵππον, ἀλλὰ συμποδίσας καὶ χαμαὶ
[p. 116 b] ῥίψας καὶ ποιήσας ἀκίνητον, καὶ πρότερον μὲν ἐγκράτειαν
κατορθώσας, ὕστερον δὲ ἀπάθειαν, καθάπερ λυττῶντα κύνα
καὶ συνεχῶς ἐπιπηδῶντα διεκρούσατο τὴν ἐπιθυμίαν, καὶ
μαινομένην κατέστειλε τὴν θάλατταν τῆς ἡδονῆς, καὶ ἐν
ἀγρίοις κύμασιν ἔπλευσε μετὰ γαλήνης, καὶ ταραττομένου
τοῦ πελάγους ἐξ οὐρίας ἐφέρετο, καὶ μέσον ἑστὼς τῆς φυσι-
κῆς καμίνου δίκην πηλοῦ τοὺς ἄνθρακας αὐτῆς κατεπάτησεν,
οὐ μόνον πυρὸς καὶ βελῶν, ἀλλὰ καὶ πτερῶν γυμνώσας τὸν
ἔρωτα, πραότητος καὶ σωφροσύνης ἦκεν εἰς τὸ ἀκρότατον.

2 [y] Εὐρωτιῶντας καὶ περιέργους ὀφθαλμοὺς οὐκ ἐπέβαλλον
ἀλλοτρίοις κάλλεσι μέχρι καὶ ψιλῆς θέας τὸ [z] φίλον συν-
τηρήσαντες.

3 . . ρον ἔχει καὶ κόρον τοῦ σώφρονος τὰ φιλήματα.

Οὐχ ὁ Διόν. 2, 15. ἡ μάκαρ 5, 16. χαίρειν 5, 14.
ὡς ἡμέρα 5, 13. ταμιεῖον 5, 19. ἀνθρώποισι 5, 119.
ἀνὴρ 5, 120. τὰ αὐτὰ 5, 136. χρημάτων 5, 118. τί
[p. 117] δὲ 5, 128. Ἰβήρων 5, 121. κρίτονοι 5, 50. παρδανεῖς
5, 51. σωφρόνων 5, 122. Μενέδημος 5, 123. οὕτω γὰρ
5, 74. ἐν συμποσίῳ 5, 75. ἂν ἡδονῇ 5, 76. ἡδονὴν
5, 77. δίκαιος 5, 78. πατρὸς 5, 44. τράπεζαν 5, 38.
σωφροσύνη 5, 49. πρῶτον 5, 79. κακὸν 5, 80. δεῖ
5, 81. πρὸς τὸν 5, 43. ὁ αὐτὸς 5, 35. ὁ αὐτὸς ἔλεγε
5, 37. ἡ αὐτάρκεια 5, 37. Σωκράτης 5, 33. Εὐρι-
πίδης 5, 82. ἡ Φωκ. 5, 47. Διονύσιος 5, 46. δεινὸν
5, 41. . . ωμη ψυχῆς 5, 4. προτρεπομένων 5, 36.
θέλων (Γέλων) 5, 83. Δημήτριος 5, 59. ὅθεν 5, 60

[y] Ἐρωτιῶντας ms. unde reposui Εὐρωτιῶντας, *putres oculos* Horat. Od. I. 36. ἐρῶντας Boissonad. Philostr. Ep. p. 56. Ceterum seqq. segregavi ab antecedentibus.

[z] *φίλον*] ψιλὸν ms.

πᾶσα 5, 61. ἐν ταυτῷ, ὡς 5, 62. ἡ δὲ 5, 63. ὅτι 5, 64. ὃ δ' 5, 65. καὶ ἡ 5, 66. πρέσβεις 5, 48. Κράτης 5, 52. [Sequuntur deinde excerpta quam plurima ex Platonis Symposio, Philebo, Charmide, Gorgia ac deinde p. 119 b. ex Æliano de Animalibus, in quibus clauditur caput. SARTIUS.]

Λόγος κά.

[a]ΠΕΡΙ ΠΑΡΡΗΣΙΑΣ.

1 Παρρησία καὶ ἀνδρεία ἐστὶν ὅτ' ἄν τις κινδύνου καὶ θανάτου κατατολμᾷ, καὶ καταφρονῇ φιλίας καὶ ἀπεχθείας ὑπὲρ τῶν δοκούντων θεῷ.

2 Ἄκουε παρ' ἡμῶν μετὰ παρρησίας ἃ πολλοὶ διαβάλλοντες [b]ὑποτονθορύζουσιν.

3 . . [c]μὴ σιωπήσω, τάχ' ἂν οὐκ εἰς καλὸν ἀπολαύσαιμι τῆς παρρησίας.

4 Τὴν πρὸς θεὸν χαρίζεται παρρησίαν ἡ φυλακὴ τῶν προσταγμάτων αὐτοῦ.

5 Οἱ παρρησιαζόμενοι πλέον ἢ ἔλαττον τοῦ προσήκοντος δόξαν ἀλογίστων παθῶν λαμβάνουσιν, οἷς μὲν ὑστεροῦσι δειλίας, οἷς δ' ὑπερβάλλουσι θρασύτητος.

6 [d]Οὔτε μάχαιραν ἀμβλεῖαν οὔτε παρρησίαν ἄτακτον ἔχειν δεῖ.

7 [e]Δίδου παρρησίαν τοῖς εὖ φρονοῦσιν, ἵνα περὶ ὧν ἀμφιγνοεῖς ἔχῃς τοὺς συνδοκιμάσοντας.

8 [f]Μεγίστη παρρησία τὸ μὴ νομίζειν ἔχειν παρρησίαν.

9 Οὐ χρὴ σκοποῦντα τὴν ἰδίαν ἀσφάλειαν ὑποστέλλεσθαι.

[a] Caput novum anepigraphum, forte περὶ παρρησίας καὶ πῶς δυνατὸν εὐπαρρησίαστόν τινα γενέσθαι. Post sententias e sacris litteris et ss. patribus sequuntur istæ nullo auctoris nomine apposito p. 121. circa medium. SARTIUS.

[b] ὑποτονθορίζουσιν ms.

[c] μὴ] ἢν μὴ Halmius.

[d] Max. p. 74, 30.

[e] Ib. 23.

[f] Ib. 16.

Post hunc art. repetuntur in ms. sententiæ quæ supra leguntur c. 9. 1—13. quas h. l. iterari non opus est.

10 (Ωσ)περ τῶν βρυχίων ὑδάτων τὰ μὲν ἐν βάθει κρύπτεται παντελῶς, τὰ δὲ....στενοχωρούμενα καὶ τὴν ἔκρηξιν ὑπισχνεῖται μὲν ταῖς ἀκοαῖς, μέλει (μέλλει) δ' ἔτι, οὕτω καὶ τῶν περὶ θεοῦ φιλοσοφούντων οἱ μὲν πάντη κρύφιον καὶ λανθάνουσαν ἔχουσιν ἐν ἑαυτοῖς εὐσέβειαν, οἱ δὲ τῆς ὠδῖνος ἐγγὺς, ὅσοι τὸ μὲν ἀσεβὲς φεύγουσι τὴν δ' εὐσέβειαν οὐ παρρησιάζονται, εἴτε οἰκονομίᾳ τινὶ χρώμενοι παρὰ τὸν λόγον, εἴτε δειλίᾳ πρὸς τοῦτο καταφεύγουσιν, οἱ δὲ καὶ δημοσιεύουσι τὸν θησαυρὸν, οὐ στέγοντες τὴν ὠδῖνα τῆς εὐσεβείας, οὐδὲ τὸ μόνοι σώζεσθαι σωτηρίαν νομίζοντες, εἰ μὴ καὶ ἄλλοις τὸ καλὸν ὑπερβύσειε, μεθ' ὧν ἐγὼ ταττοίμην καὶ οἵ τινες μετ' ἐμοῦ.

11 Ἐνδεέστερος εἶ παρρησίας καὶ τοῦ δέοντος αἰσχυντηλότερος.

12 [g]Εἴπερ ἦν τι κέρδος ἐκ τῆς πρὸς τοιοῦτον ἄνδρα παρρησίας,
[p. 121 b] οὐδενὶ ἂν αὐτὸς παρεχώρησα.

Πότερα 13, 1. ἐκ Τημεν. 13, 8. ἐκ Τηλέφου 13, 10. φεῦ φεῦ 13, 12, ἐκ Δίκτυος 13, 13. αὐτὰρ 13, 15.

13 Ἐξ Ἀντιγόνης.

Ἄκουσον· οὐ γὰρ οἱ κακῶς πεπραγότες
σὺν ταῖς τύχαισι τοὺς λόγους ἀπώλεσαν.

14 . . χῳ

Τὸ γὰρ πρᾶγμ' αὐτό μοι καλῶς ἔχον
καλοὺς παρασχεῖν τοὺς λόγους δυνήσεται.

ἁπλοῦς 34, 2. ὅταν γὰρ 45, 5.

15 σὺ δ' οὐ τάδ' εἶπας μὴ λέγειν ἃ τις φρονεῖ.

ἐμοὶ 13, 7.

16 οὐκ εὖ λέγειν χρὴ μὴ 'πὶ τοῖς ἔργοις καλοῖς.

17 οὐ γὰρ καλὸν τόδ' ἀλλὰ τῇ δίκῃ βαρύ.

18 ὅστις λέγειν μὲν εὐπρεπῶς ἐπίσταται
τὰ δ' ἔργα χείρω τῶν λόγων παρέσχετο.

g ἅπερ ms. Sed ἄ a correctore. Littera a p. m. abest.

19 Σοφίλου. [Sophocl. Œd. Col. 806.]
Γλώσσῃ σὺ δεινός· ἄνδρα δ' οὐδέν' οἶδ' ἐγὼ
δίκαιον ὅστις [h]ἐξ ἅπαντος εὖ λέγει.

20 Ἐλευθέρα γὰρ γλῶσσα τῶν ἐλευθέρων.

21 Ἐλευθερία Διὸς ὄλβιον τέκος.

οὕτως 13, 2. οὖδ' αὖ 13, 3. ἡ γλῶσσα 13, 4. θάρσει 13, 5. καὶ γὰρ 13, 6. προχεῖρον 13, 11.

22 Περὶ μεγάλων πραγμάτων σκοπουμένη
εὐνουστάτη σύμβουλος ἡ παρρησία.

23 Παρρησίαν δὲ παντὸς ὠνοῦ χρυσίου.

24 Νικοστράτου.
Ἆρ' οἶσθ' ὅτι τῆς πενίας ὅπλον ἐστὶν ἡ
παρρησία; ταύτην ἐάν τις ἀπολέσῃ
τὴν ἀσπίδ' ἀποβέβληκεν οὗτος τοῦ βίου.

δὼς (αἰδὼς) 13, 9.

25 [Sophocl. Philoct. 96.]
ἐσθλοῦ πατρὸς παῖ καὐτὸς ὢν νέος ποτὲ
γλῶσσαν μὲν ἀργὸν χεῖρα δ' [i]εἶχον ἐργάτην·
νῦν δ' εἰς ἔλεγχον ἐξιὼν ὁρῶ βροτοὺς (οἷς)
τὴν γλῶσσαν οὐχὶ τἄργα πάνθ' ἡγουμένην.

26 Ἀριστοφάνους. [Thesm. 536.]
Τὴν παροιμίαν ἐπαινῶ
τὴν παλαιάν· ὑπὸ λίθῳ γὰρ
παντί που [j]χρὴ
μὴ δάκῃ ῥήτωρ ἀθρεῖν.

ὅμως 13, 14. Φιλόξενος 13, 16. οὐδὲν 13, 17. ὥσπερ 13, 18. ἐπεὶ αὐτόν 13, 19. συμβούλευε 13, 20. ἐκ τῶν Ἀρ. 13, 22. ὥσπερ 13, 23. ἐκ τῶν Δίωνος 13, 24. Διογένους 13, 25. ὁ αὐτὸς 13, 27. Διογένης 13, 37. κρέσσον 13, 26. οἰκήϊον 13, 40. Ἀντιπάτρῳ

h ἐξάπαν ms. i ἐργάτην εἶχον ms. j χρήνα ms.

13, 28. Πρεσβύτις 13, 29. Δημόκρατος 13, 30. Ἱπποκράτην 13, 31. Δημοσθένης 13, 32. τὰ ἁμαρτήματα 13, 33. οὐχ οὕτω 13, 34. ὥσπερ 13, 35. Διονύσιος 13, 36. φήσαντος 13, 39. Λάκαινα 13, 42. ἡ παρρησία 13, 44. ἐχθρὸς 13, 45. τῆς παρρησίας 13, 46. οὔτε 13, 47. οὔτε ἐκ- 13, 48. ἔστιν 13, 49. ἔλεγχος 13, 50. συγγενεῖ 13, 21. Τιμόθεος 13, 38. Ἐκ τοῦ π. ψ. 13, 43.

[p. 122 b] [Λόγος κβ'.]

Caput anepigraphum in quo pauca ex sacra scriptura, et ex Æliano tantum de Animalibus habentur. SARTIUS.

[p. 123 b] [Λόγος κγ'.]

Aliud item anepigraphum, forte περὶ μαντευμάτων, in quo, præter loca varia divinarum scripturarum et longissima excerpta ex Æliano ut supra, nullus alius scriptor occurrit. SARTIUS.

[p. 125 b] [Λόγος κδ'.]

Caput aliud, forte περὶ παραθήκης, in quo præter pauca ex sacris litteris Philone et Æliano hæc tantum duo habentur:

Πιττακὸς ἔφη 9, 34. Πισίδαις 44, 41 p. 225.

Hic desinit secunda sententiarum collectio. Tertia, cui præmittitur copiosissimus index Titulorum, incipit a p. 126. Priora capp. XI. nullas exhibent Scriptorum profanorum sententias. SARTIUS.

ΣΤΟΙΧΕΙΟΝ Β΄.

Λόγος ιβ΄.

[p.143b] jΠΕΡΙ ΑΓΝΩΜΟΝΟΥΝΤΩΝ ΚΑΙ ΑΧΑΡΙΣΤΟΥΝΤΩΝ.

Post sententias scripturæ sanctæ SS. Basilii Amphilochii Chrysostomi et Thaumaturgi hæc habet: SARTIUS.

Ἑτέρων.

1 Εὔνοια μὲν μήτηρ εὐταξίας, ἀγνωμοσύνη δὲ λύσις τάξεως.

2 Οὐδενὸς τῶν ἄλλων [k]ἀδικούντων ἔλαττον εἰς μῖσος ἀχαριστία. Ἔστι δὲ ἀχάριστος οὐ [l]μόνον ὃς εὖ παθὼν δρᾷ κακῶς

[p.144] ἢ λέγει, ἀλλὰ καὶ ὁ σιωπῶν καὶ ἀποκρύπτων τὰς χάριτας· ἢ γὰρ οὐ συνιεὶς ἀναίσθητός ἐστιν, ἢ συνιεὶς ἐπιλήσμων ὧν ἔπρεπεν εἰς ἅπαντα μεμνῆσθαι τὸν χρόνον.

3 Ἄνθρωπος ἐπιλήσμων εὐεργεσίας πίθος τετρημένος διαρρέων τὰς χάριτας.

4 Ἄλγεινον τῷ πεποιηκότι καλῶς ἡ τοῦ πεπονθότος ἀγνωμοσύνη.

5 Βοηθῶν ἀπορεῖν ἀνάγκη τοὺς χάριτός τινος ἐπιλήσμονας.

6 Δεινὸν μὴ ἀμείβεσθαι πειρᾶσθαι τοὺς εὐεργέτας εἰ καὶ μὴ πράγμασιν ἄλλοις, εὐχαριστίαις γοῦν ταῖς διὰ λόγων· τοῦτο γὰρ ἢ παντελῶς ἀγνώμονος, ἢ ἀναισθήτου καὶ ἀνοήτου.

7 Αἱ χάριτες ἀμείβειν τῶν πονηρῶν τὰς γνώμας οὐ δύνανται.

8 Ἀχαριστήσας ἀπιστότερος ἐφάνη τῶν Ναυπλίου λιμένων.

9 Ὄμηρα δεδωκὼς φιλίας ἀπιστότερος καὶ τῶν λεόντων ἐγένετο.

10 Ἀγονοι χαρίτων εἰσὶ καὶ φιλοτιμιῶν ἐπιλήσμονες, ὧν εὖ πάθοιεν ἐκλανθανόμενοι μετὰ τὴν χρείαν.

j Suspicor esse ultimum caput Eclogarum Ethicarum, sive περὶ Εὐχαριστίας, apud Photium.

k ἀδικούντων] ἀδικημάτων Halmius.

l μόνος ms.

11 Μενάνδρου.

[m]Ἀχάριστος ἄνθρωπος μὴ νομιζέσθω φίλος·
μήθ' ὁ πονηρὸς κατεχέτω χρηστοῦ τόπον.

12 Σοφοκλέους Οἰδίποδος. [Tyr. 611.]

Φίλον γὰρ ἐσθλὸν ἐκβαλεῖν ἴσον λέγω
καὶ τὸν παρ' αὐτὸν βίοτον, ὃν πλεῖστον φιλεῖ.

13 Τοῦ αὐτοῦ Αἴαντος. [522.]

Χάρις χάριν γάρ ἐστιν ἡ τίκτουσ' ἀεί.
Ὅτου δ' ἀπορρεῖ μνῆστις εὖ πεπονθότος,
οὐκ ἂν [n]γένοιτ' ἔθ' οὗτος εὐγενὴς ἀνήρ.

14 [o]Χάρις διαρρεῖ, καὶ προδοῦσ' ἁλίσκεται.

15 Ἀναξανδρίδου.

Οὐχὶ παρὰ πολλοῖς ἡ χάρις τίκτει χάριν.

16 Σοφοκλέους. [fr. 780.]

Ἀμνήμονος γὰρ ἀνδρὸς [p]ὄλλυται χάρις.

17 Θεοκρίτου.

Θρέψαι Λυκιδεῖς, θρέψαι κύνας ὥς τε φάγονται.

18 Μενάνδρου.

Οὐχὶ τὴν [q]αὐτὴν ἔχει
διάνοιαν αἰτῶν εἷς ἕκαστος καὶ λαβών.

19 Τοῦ αὐτοῦ.

Ἀεὶ δ' ὁ σωθεὶς ἐστιν ἀχάριστον φύσει·
ἅμ' ἠλέηται, καὶ τέθνηκεν ἡ χάρις,
ἣν δεόμενος τότ' ἀθάνατον ἕξειν ἔφη.

20 Εὐριπίδου [r]Πελιάσιν.

Ἐν τοῖσι μὲν δείνοισιν ὡς φίλοι φίλων,

[m] F. Ἀχάριστος ἡμῖν μ. ν. φ. Μηδ' αὖθ' ὁ π. In Gnomis monost. ἀνὴρ ἀχάριστος.

[n] γένοιτέθ' ms.

[o] χάρις] Soph. Aj. 1267. Anaxandridi tribuit ms. fragm. seq. Sophocli, n. 16. Theocrito, n. 17 Menandro.

[p] ὄλλυται] Sic ms. non ἀπόλλυται.

[q] αὐτὴν ἔχει] Sic clare ms. ut Jacobs e conj.

[r] Πελειάσιν ms.

ὅτ' ἂν δὲ πράξωσ' εὖ διωθοῦνται χάριν,
αὐτοὶ δι' αὐτοὺς εὐτυχεῖν ἡγούμενοι.

21 [s]Φιλήτου.

Ὅτ' ἄν τις ἡμῶν ἀμέριμνον ἔχῃ βίον
οὐκ ἐπικαλεῖται τὴν τύχην εὐδαίμονα·
ἐπεὶ δὲ λύπαις περιπέσῃ καὶ πράγμασιν
εὐθὺς προσάπτει τῇ τύχῃ τὴν αἰτίαν.

22 Θεόγνιδος. [v. 949.]

Δείλους εὖ ἔρδοντι [t]δύω κακά· τῶν τε γὰρ αὐτοῦ
χήρωσις κτεάνων, καὶ χάρις οὐδεμία.

23 Διογένης ἐρωτηθεὶς τί μάλιστα γηράσκει παρ' ἀνθρώποις, εἶπε, χάρις.

24 Αἰλιανοῦ. [Ποικ. ἱστ. IX. 8.]

Θεμιστοκλῆς ὁ Νεοκλέους ἑαυτὸν εἴκαζε ταῖς δρυσὶ, λέγων ὅτι καὶ ἐκείνας ὑπέρχονται οἱ ἄνθρωποι, καὶ δέονται αὐτῶν, εἰ [u]ὗοι, στέγην τὴν ἐκ τῶν κλάδων ποθοῦντες· ὅτ' ἂν δὲ οὔσης εὐδίας [x]παρίωσι, τίλλουσιν αὐτὰς καὶ περικυκλοῦσι· [y]καὶ αὐτὸς οὖν ἔλεγεν ὑπὸ τοῦ δήμου τὰ αὐτὰ πάσχειν.

25 Ἐκ τῆς περὶ Φιλίας Ἐπιστολῆς.

Ὡς μέντοι λαμπρόν ἐστιν εὐ ποιεῖν, οὕτως ἀμειπτέον· ἵνα μὴ μόνον ἀχαριστίας ὄφλῃ τις δίκην, ἀλλὰ καὶ βλάβους κοινοῦ τῶν εὖ πεισομένων εἰς αὐτοὺς ἑτέρων ἀνακοπῇ πρὸς εὐεργεσίαν.

26 Ἰαμβλίχου Σωπάτρῳ.

Φευκτὴ μὲν οὖν ἐστιν ἡ ἀχαριστία δι' ἑαυτήν· [z]ἀχθεσθείη δ' ἄν τις πρὸς αὐτὴν δικαιότερον, ἐπειδὴ κωλύει τἀγαθὸν

[s] Φιλήτου] Potius Philemonis. Inter Menandrea recenset Meinekius n. 537.
[t] δύο ms.
[u] ὗει ms. ὅταν ὗῃ Ælian.
[x] παριᾶσι ms. Mox περικλῶσιν Ælian.
[y] καὶ αὐτὸς] Seqq. om. Ælianus.
[z] ἀχθεσθείη] ἀχ. . . θείη ms.

προϊέναι καὶ ἐκφαίνεσθαι, τήν τε χώραν αὐτῶν παντελῶς ἀνατρέπει, καὶ καταπλείει πως εἰς στενὸν τὰς ἔξω διαφαινομένας τῶν καλῶν εὐεργεσίας, ἀποστερεῖ δὲ καὶ τὸ κοινὸν τῆς θείας βοηθείας πάσης· διὰ τοῦτο ἐστι πάνδεινον· παντὶ ἀνδρὶ παρακελεύομαι ἕνα λόγον ὀρθὸν κατέχειν εὐεργεσιῶν μετὰ φιλίας, δεύτερον ([a]οὐκ) ἀχαρίστως τὰς εὐεργεσίας παραλαμβάνειν, καὶ προκαλεῖσθαι τὰς μείζονας εὐποιΐας διὰ τῆς εὐχαριστίας.

27 Θεμιστοκλῆς, διαβαλλόντων αὐτὸν ἐπ' ἐκκλησίας τινῶν ὡς εἰς ἕνα τοὺς πολλοὺς ἡδέως ἀκούοντας, Κοπιᾶν, ἔφη, μοι δοκεῖτε, ἄνδρες Ἀθηναῖοι, εὐεργετούμενοι· κόπος γὰρ ὡς ἀληθῶς εὐεργεσίας κόρος δι' ὃν συμβαίνει κοινότητος ἐπιθυμεῖν.

28 Ἐκ τῶν Ὑψαίου ὑποθηκῶν περὶ τοῦ εὐεργετεῖν.

Οὐδένα μισήσεις ὡς ἀχάριστον ἐὰν ὡς ἀληθῶς χαρίζῃ. Τοὺς μηδεμίαν ὧν ἂν εὖ πάθωσιν ὑπὸ σοῦ χάριν ἐκτίνοντας ἄλλοι λεγέτωσαν ἀχαρίστους, σὺ δ' ἀνοήτους, ὅτι τοῦ καλλίστου τῶν ἀγαθῶν οὐ συνιᾶσιν.

29 Εἰκότως οἱ νομοθέται μόνης ἀχαριστίας δίκας οὐχ ὁρίζουσιν, ὡς τοῦ μὲν εὖ ποιοῦντος τὴν μεγίστην ἀμοιβὴν ἐν οἷς ἔτυχεν εὖ ποιῶν ἀπειληφότος, τοῦ δὲ ἀχαρίστου τὴν ἀξίαν τίνοντος δίκην ἐν ᾧ λαμβάνει τῷ μεγίστῳ κακῷ συνεχόμενος, ἀχαριστίᾳ.

30 Ἀπολλώνιος Ἡρωδιανῷ.

Μὴ φεῦγε διὰ τοὺς ἀσημάντους χρήσιμος εἶναι τοῖς [p.144b] ἀγαθοῖς· ἱκανοὶ γὰρ οὗτοι καὶ τὰς ὑπὲρ ἐκείνων χάριτας ἀποδοῦναι.

31 Ἀπολλώνιος Νουμηνίῳ.

[b]Οὐ πάρα πολλοῖς ἡ χάρις τίκτει χάριν.

[a] Add. οὐκ quod om. ms. vel leg. εὐχ. [b] οὐ παρὰ] Vid. supra n. 14.

32 Ξενοφῶντος Κύρου παιδείᾳ. [I. 2, 7.]

Δικάζονται δὲ οὐχ ἥκιστα ἀχαριστίας καὶ ὃν ἀγνοοῦσιν δυνάμενον μὲν χάριν ἀποδοῦναι· μὴ ἀποδιδόντα δὲ κολάζουσι τοῦτον ἰσχυρῶς· οἴονται γὰρ τοὺς ἀχαρίστους καὶ περὶ θεοὺς ἂν μάλιστα ἀμελῶς ἔχειν, καὶ περὶ πατρίδα, καὶ περὶ γονέας, καὶ περὶ φίλους· ἔπεσθαι δὲ δοκεῖ μάλιστα τῇ ἀχαριστίᾳ ἀναισχυντία, καὶ γὰρ αὕτη δοκεῖ εἶναι μεγίστη ἐπὶ πάντα τὰ αἰσχρὰ ἡγεμών.

33 Σωκράτους.

[c]Ἀχάριστον εὐεργετεῖν καὶ νεκρὸν μυρίζειν ἐν ἴσῳ κεῖται.

34 Τοῦ αὐτοῦ.

Ταὐτόν ἐστιν ὄφιν ἐκτρέφειν καὶ πονηρὸν εὐεργετεῖν· οὐδετέρου γὰρ ἡ χάρις εὔνοιαν γεννᾷ.

35 Φιλιστίωνος.

[d]Τῇ γῇ δανείζειν κρεῖττόν ἐστιν ἢ βροτοῖς,
ἥ τις τόκους δίδωσι μὴ λυπουμένη.

Sequuntur capita duo (XIII. XIV.) sine locis profanorum.

Λόγος ιγ'.

[p.145] [e]ΠΕΡΙ ΑΓΩΓΗΣ ΚΑΙ ΠΑΙΔΕΙΑΣ.

1 Εὐριπίδου Ἑκάβῃ. [600.]

Ἔχει γέ τι καὶ τὸ τραφῆναι καλῶς
δίδαξιν ἐσθλοῦ· τοῦτο δ' ἢν τις εὖ μάθῃ,
οἶδε τό γ' αἰσχρὸν κανόνι τοῦ καλοῦ μαθών.

2 Τοῦ αὐτοῦ.

Παῖς ὢν φυλάττου πραγμάτων αἰσχρῶν ἄπο.
ὡς ἂν τραφῇ τις μὴ κακῶς αἰσχύνεται
ἀνὴρ γενόμενος αἰσχρὰ δρᾶν· νέος δ' ὅταν
πόλλ' ἐξαμάρτῃ, τὴν ἁμαρτίαν ἔχει
εἰς γῆρας αὐτοῖς τοῖς τρόποισιν ἔμφυτον.

[c] v. Maxim. 58. p. 96, 6.
[d] Maxim. p. 95, 45.
[e] Suppleatur hinc c. 31. Eclogarum Ethicarum.

Τοῦ αὐτοῦ [f]Ικετίδων. [911.]

3 Τὸ γὰρ τραφῆναι μὴ καλῶς, αἰδῶ φέρει·
αἰσχύνεται γὰρ τἀγάθ' ἀσκήσας ἀνὴρ
κακὸς κεκλῆσθαι πᾶς τις· ἡ δ' ἐνανδρία
διδακτὸν, εἴπερ καὶ βρέφει διδάσκεται
λέγειν τ' ἀκούειν θ' ὧν μάθησις ἐν λόγῳ·
ἃ δ' ἂν μάθῃ τις ταῦτα σώζεσθαι φιλεῖ
εἰς γῆρας· οὕτω παῖδας εὖ παιδεύετε.

4 Τοῦ αὐτοῦ Πελιάσιν.

Ὁ γὰρ ξυνὼν, κακὸς μὲν ἦν τύχῃ γένος,
τοιούσδε τοὺς ξυνόντας ἐκπαιδεύεται,
χρηστοὺς δ' ὁ χρηστός· ἀλλὰ τὰς ὁμιλίας
ἐσθλὰς διώκειν, ὦ νέοι, σπουδάζετε.

5 Σοφοκλέους.

Ἐπεὶ πέπρακται πᾶν τὸ τοῦ θεοῦ καλῶς,
χωρῶμεν ἤδη, παῖδες, εἰς τὰ τῶν σοφῶν
διδασκαλεῖα, μουσικῆς παιδεύματα.
προσλαμβάνειν δὲ δεῖ καθ' ἡμέραν ἀεὶ,
ἕως ἂν ἐξῇ μανθάνειν βελτίονα.
παῖς δ' ὢν, κακὸν μὲν δρᾶν τι προῖκ' [g]ἐπίσταται,
αὐτὸς παρ' αὐτῶν μανθάνων ἄνευ πόνου·
[h]τὰ χρηστὰ δ', οὐδ' ἂν τὸν διδάσκαλον λάβῃ,
ἐμνημόνευσεν, ἀλλὰ κέκτηται μόλις.
ταῦτ' οὖν [i]φυλαξώμεσθα, καὶ μοχθητέον,
ὦ παῖδες, ὡς ἂν μήτ' ἀπαιδεύτων βροτῶν
δοκῶμεν εἶναι, κἀποδημοῦντος πατρός.

6 Ἐμπεδοκλέους.

Ἀλλ' ἄγε, μύθων κλῦθι, μάθησις γὰρ φρένας αὔξει.

f οἰκετίδ. ms. et n. 4. Πελειάσιν.
g ἐπίστασθαι ms.
h τὴν—διδακτὸν ms.
i φυλαξώμεθα ms.

7 Σοφοκλέους Αἴαντος. [964.]

Οἱ γὰρ κακοὶ γνώμαισι τἀγαθὸν χεροῖν
ἔχοντες οὐκ ἴσασι πρίν τις ἐκβάλῃ.

8 Εὐριπίδου Ἱππολύτου. [916.]

Ὦ πόλλ' ἁμαρτάνοντες ἄνθρωποι μάτην,
τί δὲ τέχναις μὲν μυρίαις διδάσκετε,
καὶ πάντα μηχανᾶσθε κἀξευρίσκετε,
ἓν δ' οὐκ ἐπίστασθ', οὐδὲ θηρᾶσθέ πω,
[p.145b] [j]φρονεῖν διδάσκειν οἷς οὐκ ἔνεστι νοῦς.

9 Ἀντιφάνους.

Τὸ γὰρ πεπαιδεῦσθαι, μόνον ἄν τις τοῦτ' ἔχοι,
ἀληθές ἐστι καὶ τὸ ([k]τῶν) ἀδικημάτων
μὴ λαμβάνειν τὰς ἀξίας τιμωρίας,
ἐλεῖν δὲ πάντως.

10 Παροιμία.

[l]Μελέτη χρονισθεῖσ' εἰς φύσιν καθίσταται.

11 Ἀλέξιδος.

Ὦ παῖ, μέγιστος ἔρανός ἐστί μοι τὸ σὲ
θρέψαι κατὰ τρόπον· ὃν γὰρ αὐτὸς ἀπέλαβον
παρὰ τοῦ πατρὸς, δεῖ τοῦτον ἀποδοῦναί με σοί.

12 Ἀριστοφάνους Νεφελῶν.

Λέξω τοίνυν τὴν ἀρχάναν παιδείαν ὡς [m]διέκειτο.

13 Μενάνδρου.

Μανθάνειν·
οἵου δ' ἂν ἔργου τυγχάνῃς ἄπειρος ὤν,
τὸ πυνθάνεσθαι τῶν κατειδότων καλόν.

14 Εὐριπίδου Ῥήσῳ. [206.]

Σοφοῦ παρ' ἀνδρὸς χρὴ σοφόν τι μανθάνειν.

15 Μενάνδρου.

Πολὺ κρεῖττόν ἐστιν ἓν καλῶς μεμαθηκέναι,

[j] φροντεῖν ms.
[k] (τῶν) om. ms.
[l] μελέτη] Vid. Ecl. Eth. II. 6. p. 600. ed. Oxon.
[m] διέκειτο] Plura habet ms. Flor. quæ non exscripsit Sartius.

ἢ πολλὰ φαύλως περιβεβλῆσθαι πράγματα.

16 Σοφοκλέους [n]Φθιωτίδων.

Νέος πέφυκας· πολλὰ καὶ μαθεῖν σε δεῖ,
καὶ πόλλ' ἀκοῦσαι καὶ διδάσκεσθαι μακρά.
ἀεί τι βούλου χρήσιμον προσμανθάνειν.

17 Φιλήμονος.

Ἤκουσα τούτων αὐτὸς, οὐδὲ φύεται
αὐτόματον ἀνθρώποισιν, ὦ βέλτιστε, νοῦς,
ὥσπερ ἐν ἀγρῷ [o]θύμος· ἐκ δὲ τοῦ λέγειν τι καὶ
ἑτέρων ἀκούειν καὶ θεωρῆσαι . .
κατὰ μικρὸν ἀεὶ, φασὶ, φύονται φρένες.

18 Μενάνδρου.

Ὅτ' ἂν λέγῃς μὲν πολλὰ, μανθάνῃς δὲ μὴ,
τὸ σὸν διδάξας τοὐμὸν οὐ μαθὼν ἔσῃ.

19 Τοῦ αὐτοῦ Καρχηδ[δ]ο.

Ἔργον ἐκ πολλοῦ χρόνου
ἄνοιαν ἡμέρᾳ μεταστῆσαι μιᾷ.

20 Τοῦ αὐτοῦ Φιλαδέλφοις.

Οὐ ῥᾴδιον
[p.416] ἄνοιαν ἐν μικρῷ μεταστῆσαι χρόνῳ.

21 Εὐριπίδου Μελεάγρῳ.

[p]Ἐκ γὰρ πατρὸς καὶ μητρὸς ὅστις ἐκπονεῖ
σκληρὰς διαίτας, οἱ [q]πόνοι βελτίονες.

22 [r]Ξενοκράτης νέον φιλοσοφεῖν βουλόμενον ἤρετο εἰ γεγεωμέτρηκε· τοῦ δ' ἀποφήσαντος, ἀλλ' εἰ ἠστρονόμηκε· καὶ τοῦτο ἀπειπόντος, ἀλλ' εἰ τὰ τῶν ποιητῶν ἀνέγνωκεν· ὁ δὲ καὶ τοῦτο ἔξαρνος ἦν· ἄλλως δὲ εἰ γράμματα οἶδε· ταῦτα

[n] φοιωτ δ ms.
[o] θύμιος—λέγειν τι καὶ ms.
[p] Ἐκ] εἰς ms.
[q] l. γόνοι ut Stob. 70, 6.
[r] Vide Diogen. Laert. IV. 13.

ἔφη ἐκεῖνος εἰδέναι. Πόκος τοίνυν, εἶπεν ὁ Ξενοκράτης, ὑπογραφέως οὐ πλύνεται.

23 Αἰσχίνου Σωκρατικοῦ.

Οὗτός ἐστι Μιλτιάδης ὁ Στησαγόρου, ὃς παῖς μὲν ὢν ἤσκει Ὀλύμπια, καὶ κρείσσων ἦν τοὺς πόνους πονῶν ἢ παιδοτρίβης ἐπιτάσσων· ἐκεῖ δὲ μείζους παῖδας αὐτοῦ καὶ πρεσβυτέρους [s]κατεμαχέσατο, καὶ ἀγωνιζόμενος ὑπὲρ τοῦ στεφάνου ἄκων ὑπὸ τοῦ παιδοτρίβου ἐξήχθη· ἔτι δὲ ἐπίτροποι αὐτοῦ ἐγένοντο οὔτε τὰς αὐτὰς ἡλικίας ἔχοντες, οὔτε τοὺς αὐτοὺς τρόπους, καὶ τούτων ἁπάντων ἦν κατήκοος· παιδαγωγὸς αὐτῷ ἠκολούθει οὐ πάνυ [t]σπουδαῖος, καὶ τούτῳ οὐδὲν πώποτε ἠναντιώθη. Ταῦτα μὲν παιδὶ ὄντι αὐτῷ ἐπιτετήδευται· ἐπεὶ δὲ μειράκιον ἤρχετο γίνεσθαι, σιωπᾶν καλὸν ἡγήσατο εἶναι, σεσιώπηται αὐτῷ μᾶλλον ἢ τοῖς χαλκέοις ἀνδριάσι· τοῦ σώματος αὐτῷ καλὸν ἐδόκει εἶναι ἐπιμελεῖσθαι, ἐπιμεμέληται τούτου, [y]ὥστ' ἔτι καὶ νῦν τῶν ἡλικιωτῶν ἄριστα ἔχει τὸ σῶμα.

24 [z]Εὐριπίδου Κωμικοῦ.

Ὅστις νέος ὢν μουσῶν ἀμελεῖ,
τόν τε παρελθόντ' ἀπόλωλε χρόνον,
καὶ τὸν μέλλοντα τέθνηκε.

25 Φύσιν ἔχειν ἄριστόν ἐστι· δεύτερον δὲ . . .

26 Πλάτωνος Νόμων ζ'.

Ἀγνοεῖται παρὰ τοῖς πᾶσιν ὀλίγου τὸ [a]ποῖον κ. τ. λ.

27 Κράντωρ ἔλεγε μήτε δύνασθαί τινα τὰ μεγάλα [b]πρὸ τῶν μικρῶν μυηθῆναι, μήτ' ἂν ἐπὶ φιλοσοφίαν ἐλθεῖν πρὶν ἐν τοῖς ἐγκυκλίοις διαπονηθῆναι.

[s] κατεμαχεύατο ms.
[t] σπαιδαῖος ms.
[y] ὥστέ τι ms.
[z] F. l. Σοφοκλέους Καμικίων. Valde amen dubito.
[a] ποῖον κ. τ. λ.] Plura non exscripsit Sartius.
[b] Maximus p. 207, 10.

28 Ἀρκεσίλαος ὁρῶν τινα νεανίσκον φιλοσόφων λόγων κατακούοντα πρὶν παιδευθῆναι, [c]Οὐδὲ τοὺς τῆς Δημητρὸς, ἔφη, καρποὺς καλλίστους καὶ τροφιμωτάτους ὄντας εὐθὺς ἐκ γενετῆς τοῖς παισὶν ἁρμόζειν, τὸ δὲ γάλα τῶν τιτθῶν.

29 Δημοσθένης ὁ ῥήτωρ ἔφη τὴν μὲν ῥίζαν τῆς παιδείας εἶναι πικρὰν, τοὺς δὲ καρποὺς γλυκεῖς.

30 Ἀριστοτέλης ὁ Περιπατητικὸς ἐρωτηθεὶς ὑπό τινος τί μάλιστα δεῖ ἀσκεῖν τοὺς νέους, εἶπε, παιδείαν.

31 Θεοφράστου.

Ἀναγκαιοτάτη δ' ἐπὶ γυναικῶν ἡ τῶν πραγμάτων δοκεῖ παίδευσις εἶναι, καὶ αὐτὴ μέχρι χρησίμου πρὸς οἰκονομίαν· τὸ δὲ ἐξακριβούμενον ἐπὶ πλέον ἀργοτέρας τε ποιεῖ πρός τε τἆλλα, καὶ λάλους καὶ περιέργους.

32 Ἰαμβλίχου ἐκ τοῦ περὶ Ψυχῆς.

Ἡ γὰρ συνακολουθοῦσα παντὶ τῷ βουλήματι τοῦ διδάσκοντος τῶν μανθανόντων, αὐτὴ πασῶν ἐστι μουσικωτάτη τε καὶ ἀρίστη ἀκρόασις.

33 Ἀντισθένης ὁ Σωκρατικὸς φιλόσοφος ἐρωτηθεὶς ὑπό τινος ποῖος στέφανος κάλλιστός ἐστιν, εἶπεν, Ὁ ἀπὸ παιδείας.

34 [d]Ὁ αὐτὸς ἐρωτηθεὶς τί ἀναγκαιότατον εἴη μάθημα, Τὸ ἀπομαθεῖν, εἶπε, τὰ κακά.

35 [e]Ἀριστοτέλης ἔφη τὴν παιδείαν εὐτυχοῦσι μὲν κόσμον εἶναι, πταίσασι δὲ καταφυγὴν ἐλευθέριον.

36 Πλάτωνος. [Legg. p. 728 C.]

Ψυχῆς ἀνθρώπῳ κτῆμα οὐκ ἔστιν εὐφυέστερον εἰς τὸ φυγεῖν μὲν τὸ κακὸν, ἰχνεῦσαι δὲ καὶ ἑλεῖν τὰ πάντων ἄριστα, καὶ ἑλόντα αὖ κοινῇ ξυνοικεῖν τὸν ἐπίλοιπον βίον.

[c] Οὐδὲ] οὐ δεῖ Halmius.
[d] Vide Maximum p. 208.
[e] Vide Maximum p. 207, 39.

37 Τοῦ αὐτοῦ. [Menex. p. 246.]

Πᾶσα ἐπιστήμη χωριζομένη δικαιοσύνης καὶ τῆς ἄλλης ἀρετῆς πανουργία ἀλλ' οὐ σοφία φαίνεται.

38 Αἰλιανοῦ.

Σωκράτης ὁ γενναῖος ἠτιᾶτο τῶν [f]πατερῶν ἐκείνους, ὅσοι (μὴ) παιδεύσαντες αὐτῶν τοὺς υἱεῖς, εἶτα ἀπορούμενοι ἦγον ἐπὶ τὰς ἀρχὰς τοὺς νεανίσκους, καὶ ἔκρινον αὐτοὺς ἀχαριστίας, ὅτι οὐ τρέφονται ὑπ' αὐτῶν· [g]ἔφη γὰρ ἀδύνατον ἀξιοῦν τοὺς πατέρας, μὴ γὰρ οἵους τε εἶναι τοὺς μὴ μαθόντας τὰ δίκαια ποιεῖν αὐτά.

39 Ἀντιφῶντος.

Πρῶτον, οἶμαι, τῶν ἐν [gg]οὐρανοῖς ἐστὶ παίδευσις· ὅτ' ἂν γάρ τις πράγματος κἂν ὁτουοῦν τὴν ἀρχὴν ὀρθῶς [h]ποιήσηται, εἰκὸς καὶ τὴν τελευτὴν ὀρθῶς γίγνεσθαι· καὶ γὰρ τῇ γῇ οἷον ἄν τις τὸ σπέρμα ἐναρόσῃ, τοιαῦτα καὶ τὰ ἔκφορα δεῖ προσδοκᾶν· καὶ ἐν νέῳ σώματι ὅτ' ἄν τις τὴν παίδευσιν γενναίαν ἐναρόσῃ, ζῇ τοῦτο καὶ θάλλει διὰ παντὸς τοῦ βίου, καὶ αὐτὸ οὔτε ὄμβρος οὔτε ἀνομβρία ἀφαιρεῖται.

40 Τοῦ αὐτοῦ.

Ἀναρχίας δ' οὐδὲν κάκιον ἀνθρώποις· ταῦτα γινώσκοντες οἱ πρόσθεν ἄνθρωποι, ἀπὸ τῆς ἀρχῆς εἴθιζον τοὺς παῖδας ἄρχεσθαι καὶ τὸ κελευόμενον ποιεῖν, ἵνα μὴ ἐξανδρούμενοι εἰς μεγάλην μεταβολὴν ἰόντες ἐκπλήσσοιντο.

41 Ὅτῳ τις ἂν τὸ πλεῖστον τῆς ἡμέρας συνῇ, τοιοῦτον ἀνάγκη γενέσθαι καὶ αὐτὸν τοὺς τρόπους.

42 Πλάτωνος Πολιτείας ζ. [p. 537.]

Κόποι καὶ ὕπνοι μαθήμασι πολέμιοι.

43 Ἐν ταυτῷ. [Rep. p. 537 C.]

[p. 146 b] [i]Τάτε χύδην μαθήματα ἐν τῇ παιδείᾳ γενόμενα τούτοις

[f] πατρῶν ms. ubi mox om. μή.
[g] ἔφη] εἰς ms.
[gg] ἀνθρώποις ?.
[h] ποιήσεται ms.
[i] τότε ms.

συνάκτεον εἰς ὄψιν οἰκειότητός τε ἀλλήλων τῶν μαθημάτων καὶ τῆς τοῦ ὄντος φύσεως.

44 Σωκράτους.

Πανήγυρίς ἐστι ψυχῆς ἡ παιδεία· πολλὰ γάρ ἐστιν ἐν αὐτῇ ψυχῆς θεάματα καὶ ἀκούσματα.

45 Τοῦ αὐτοῦ.

Τοῖς μὲν σταδιοδρομοῦσιν ἐπὶ τῷ τέρματι τὸ βραβεῖον τῆς νίκης, τοῖς δὲ φιλοπονήσασιν ἐπὶ τοῦ γήρως τὸ πρωτεῖον τῆς φρονήσεως ἀποκεῖται.

46 Τοῦ αὐτοῦ.

[k] Οὗτος ἰδὼν πλούσιον ἀπαίδευτον, ἔφη, Ἰδοὺ καὶ τὸ χρυσοῦν ἀνδράποδον.

47 Ἀριστοτέλους.

[l] Οὗτος ἐρωτηθεὶς τί τῶν ζώων κάλλιστον, ἔφη, Ἄνθρωπος τὴν ψυχὴν παιδείᾳ κεκοσμημένος.

48 [m] Ὁ αὐτὸς ὀνειδιζόμενος ὑπό τινος ὅτι βαρβαρίζει, ἔφη, Ἐγὼ μὲν τῷ λόγῳ, ὑμεῖς δὲ τῷ τρόπῳ.

49 Οὐ μικρὸν ὠφελεῖ τὸ τὰ βέλτιστα ἀκούειν ὑμᾶς συνεθίζειν.

50 Τοῦ αὐτοῦ.

Ἅπασα φύσις βελτίων γίνεται παιδείαν προσλαβοῦσα τὴν προσήκουσαν, πολὺ δὲ μάλιστα ὅσαις ἐξ ἀρχῆς εὐφυέστερον τῶν ἄλλων ἔχειν ὑπῆρξε· τοῖς μὲν γὰρ [n] αὐτῶν πόνῳ βελτίοσι γίγνεσθαι, τοῖς δὲ καὶ τῶν ἄλλων συμβαίνει διενεγκεῖν.

51 Θουκυδίδου.

Κράτιστον δὲ εἶναι ἐν τοῖς ἀναγκαίοις παιδεύεσθαι.

[k] Maximus p. 207, 54.
[l] Maxim. ibid.
[m] Maxim. ibid.
[n] αὐτῶν πόνῳ] αὐτῶν πολλῷ Halmius.

52 Εὐκλείδου.

Οὗτοι γὰρ τῶν ἀνθρώπων κάλλιστα μανθάνουσιν, οἵ τινες καὶ τὰ κάλλιστα μιμοῦνται.

53 [o]Δημώνακτος Ὑψαίου καὶ Σωκράτους.

[p]Τὰς μὲν πόλεις ἀναθήμασι, τὰς δὲ ψυχὰς μαθήμασι κοσμεῖν δεῖ.

54 Σωκράτης ἐρωτηθεὶς πῶς ἄν τις ἄγοι καλῶς τοὺς ἰδίους παῖδας, εἶπε, νέους μὲν ὄντας παιδεύσας, ἄνδρας δὲ γενομένους διδάξας συμπεριφέρεσθαι τοῖς ἀποβαίνουσι, καὶ τὴν οὐσίαν διανείμας αὐτοῖς ἵνα μὴ διὰ τοῦτο ἐχθροὶ γένωνται.

55 Ἰσοκράτους πρὸς Δημόνικον. [p. 4 C.]

Τὰ μὲν γὰρ σώματα τοῖς συμμέτροις πόνοις, ἡ δὲ ψυχὴ τοῖς σπουδαίοις λόγοις αὔξεσθαι πέφυκε.

56 Δημοκράτους.

Πάντων κάκιστον ἡ εὐπετεία παιδεῦσαι τὴν νεότητα, αὕτη γάρ ἐστιν ἣ τίκτει τὰς ἡδονὰς ταύτας, ἐξ ὧν ἡ κακότης γίνεται.

57 Τοῦ αὐτοῦ.

Ἐξωτικῶς μὴ πονεῖν παῖδες ἀνιέντες, οὔτε γράμματα μάθοιεν, οὔτε μουσικὴν, οὔτε ἀγωνίην, οὐδ' ὅπερ μάλιστα τὴν ἀρετὴν συνέχει, τὸ αἰδεῖσθαι· μάλα γὰρ ἐκ τούτων φιλεῖ γίγνεσθαι ἡ αἰδώς.

58 Τοῦ αὐτοῦ.

[q]Ἡ παιδεία εὐτυχοῦσι μέν ἐστι κόσμος, ἀτυχοῦσι δὲ καταφύγιον.

59 Τοῦ αὐτοῦ.

Κρείσσων ἐπ' ἀρετὴν φανεῖται προτροπῇ χρώμενος καὶ λόγου πειθοῖ ἤπερ λόγῳ καὶ ἀνάγκῃ. Λάθρη μὲν γὰρ ἁμαρτέειν εἰκὸς τὸν εἰργμένον ἀδικίης ὑπὸ νόμου, τὸν δὲ ἐς

o Δημόνακτος ms. p Maxim. p. 207, 41. q Ibid. p. 207, 39.

τὸ δέον ἡγμένον πειθοῖ οὐκ εἰκὸς οὔτε λάθρη οὔτε φανερῶς ἔρδειν τι πλημμελές· διόπερ συνέσει τε καὶ ἐπιστήμῃ ὀρθοπραγέων τις, ἀνδρεῖος ἅμα καὶ εὐθύγνωμος γίγνεται.

60 Πλάτωνος ἐκ τοῦ Θεαγένους (sic). [Theag. p. 121 init.]

Πάντα τὰ φυτὰ κινδυνεύει τὸν αὐτὸν τρόπον κ. τ. λ.

Plura non dedit Sartius.

61 Διογένους.

Ὅτ' ἂν ἄλλου τινος φροντίζῃς, τότ' ἀμελεῖς σαυτοῦ.

62 Πλάτων παρεκελεύετο τοῖς μαθηταῖς τρία ταῦτα ἔχειν· ἐν μὲν τῇ γνώμῃ σωφροσύνην, ἐπὶ δὲ τῆς γλώττης σιγὴν, ἐπὶ δὲ τῶν ὀφθαλμῶν αἰδῶ.

63 Κλεάνθης [r] ἑτέρου ἀπιέναι μέλλοντος καὶ ἐρωτῶντος πῶς ἂν ἥκιστα ἁμαρτάνοι, εἶπεν, [s] Εἰ παρ' ἕκαστα ὧν πράττεις δοκοίης με παρεῖναι.

64 Ὁ αὐτὸς ἔφη τοὺς ἀπαιδεύτους μόνῃ τῇ μορφῇ τῶν θηρίων διαφέρειν.

65 Δημοκράτους.

Ἡ φύσις καὶ ἡ διδαχὴ παραπλήσιόν ἐστι· καὶ γὰρ ἡ διδαχὴ μετὰ ῥυσμοῦ τὸν ἄνθρωπον, μετὰ ῥυσμοῦ δὲ φύσις ποιεῖ.

66 Τοῦ αὐτοῦ.

Τὰ μὲν καλὰ χρήματα τοῖς πόνοισιν ἡ μάθησις ἐξεργάζεται, τὰ δ' αἰσχρὰ ἄνευ πόνων αὐτόματα καρποῦται· καὶ γὰρ οὖν οὐκ ἐθέλοντα πολλάκις ἐξείργει τοιοῦτον εἶναι· οὕτω μεγάλης τε τῆς φυτικῆς ἐστι.

67 Ἡροδώρου.

Νέος ἐν πολυτέλεσι βρώμασι καὶ ποτοῖς ἔτι δὲ ἀφροδισίοις ἀνατρεφόμενος, λέληθεν ἑαυτὸν ἐν τῷ θέρει τὴν χλαῖναν κατατρίβων.

[r] ἑτέρου] ἑταίρου Boissonad. Anecd. I. p. 43. qui in extr. μοι παρεῖναι. Halmius item μοι.

[s] Εἰ παρ'] εἴπερ ms.

68 Ἀντισθένους.

Δεῖ τοὺς μέλλοντας ἀγαθοὺς ἄνδρας γενήσεσθαι, τὸ μὲν σῶμα γυμνασίοις ἀσκεῖν, τὴν δὲ ψυχὴν [t] παιδεύειν.

69 Δημοσθένης Φιλιππικῶν. [p. 173, 22.]

Ἔστι δ' οὐδέποτ', οἶμαι, δυνατὸν μικρὰ καὶ φαῦλα πράττοντας μέγα καὶ νεανικὸν φρόνημα λαβεῖν, ὥσπερ οὐδὲ λαμπρὰ καὶ καλὰ πράττοντας μικρὸν καὶ ταπεινὸν φρονεῖν. Ὁποῖα γὰρ ἂν τὰ ἐπιτηδεύματα τῶν ἀνθρώπων ᾖ τοιοῦτον ἀνάγκη καὶ τὸ φρόνημα ἔχειν.

[p.147] 70 Ξενοφῶντος.

Κράτιστον μέν ἐστιν παρὰ τῆς ἑαυτοῦ φύσεως τὸ ἀγαθὸν διδάσκεσθαι· δεύτερον δὲ παρὰ τῶν ἀληθῶς ἀγαθῶν.

71 Δημοκράτους.

Οὔτε τέχνη οὔτε σοφίη ἐφικτὸν, ἢν μὴ μάθησις.

72 Τοῦ αὐτοῦ.

[u] Ἔστι που νέου ξύνεσις, καὶ γερόντων ἀξυνεσίη· χρόνος γὰρ οὐ διδάσκει φρονεῖν, ἀλλ' ὡραίη τροφὴ καὶ φύσις.

73 Τοῦ αὐτοῦ.

Ὁ ἀντιλεγόμενος καὶ πολλὰ [x] λεσχηνευόμενος ἀφυὴς ἐς μάθησιν.

74 Διογένης ἄτοπον ἔφησεν εἶναι ἐπὶ μὲν τὸν λύχνον ἐπιχεῖν ἐλαῖον ἵνα ἐπὶ τῆς τραπέζης ὁρῶμεν, ὅπως δὲ τῇ διανοίᾳ φρονιμώτεροι γινόμενοι κατανοήσωμεν τὰ τῷ βίῳ βέλτιστα, μηδὲν ἐθέλειν ἀναλίσκειν.

75 [y] Ὁ αὐτὸς ἐρωτηθεὶς τί ἡ γῆ βαστάζει βαρύτερον, ἔφη, Ἄνθρωπον ἀπαίδευτον.

76 Ἀντισθένης ἐρωτηθεὶς ὑπό τινος τί διδάξει τὸν υἱὸν, εἶπεν, Εἰ μὲν θεοῖς μέλλει συμβιοῦν, φιλόσοφον, εἰ δὲ ἀνθρώποις, ῥήτορα.

[t] παιδεύσεσιν Halmius.
[u] Vid. supra p. 4.
[x] λεσχηλευόμενος ms.
[y] Maxim. p. 209, 44.

77 Σόλων ἐπετίμα τινὶ κυβεύοντι· τοῦ δὲ λέγοντος περὶ μικροῦ παίζειν, ἀλλὰ τὸ ἔθος οὐ μικρὸν, ἔφη.

78 Ὑπερίδης ὁ ῥήτωρ ἔλεγε μὴ δύνασθαι καλῶς ζῆν, μὴ [z] μαθὼν τὰ καλὰ τὰ ἐν τῷ βίῳ.

79 Σωκράτης ἐρωτηθεὶς τί ἐπιστήμη, ἔφη, Ἐπιμέλεια ψυχῆς. Πόθεν δὲ μάλιστα κακοὶ γίνονται, Ἐξ ἀγωγῆς κακῆς καὶ ὁμιλίας πονηρῶν, ἔφη.

80 Πλάτων εἶπε τὴν παιδείαν τοῖς ἀνθρώποις δεύτερον ἥλιον εἶναι.

81 Ζήνων ἐρωτηθεὶς πῶς ἄν τις νέος ἐλάχιστα ἁμαρτάνοι, Εἰ πρὸ ὀφθαλμῶν [a] ἔχοι, ἔφη, οὓς μάλιστα τιμᾷ καὶ αἰσχύνεται.

82 [b] Ἐκ τῆς περὶ Φιλίας ἐπιστολῆς.

Ἡ παιδεία κἂν μηδὲν ἕτερον ἀγαθὸν ἔχοι, τό γε συμφοιτᾶν αὐτὴν νυκτὸς καὶ ἡμέρας ἔξω κακίας, οἷς ἂν ᾖ τις αἰδῶς, καὶ πολλοὶ σφᾶς αὐτοὺς καὶ ἄλλους.

83 Ἐκ τῶν Ἀρίστωνος Ὁμοιωμάτων.

Τὸ κύμινον, φασὶ, δεῖ σπείρειν βλασφημοῦντας, οὕτω γὰρ καλὸν φύεσθαι· καὶ τοὺς νέους χρὴ παιδεύειν ἐπισκώπτοντας, οὕτω γὰρ χρήσιμοι ἔσονται.

84 Πλάτωνος. [Legg. VII. p. 791 B.]

Πᾶσα ψυχὴ δείμασι συνοῦσα ἐκ νέων μᾶλλον ἂν διὰ φόβων ἐθίζοιτο γίγνεσθαι· τοῦτο δέ που πᾶς ἂν φαίη δειλίας [c] ἄσκησιν ἀλλ' οὐκ ἀνδρίας εἶναι. Τὸ δ' ἐξ ἐναντίας ἀνδρίας ἂν φαῖμεν ἐκ νέων εὐθὺς ἐπιτήδευμα εἶναι, τὸ νικᾶν τὰ προσπίπτοντα ἡμῖν δείματά τε καὶ φόβους.

85 Ἐκ τῶν Ἀριστωνύμου Τομαρίων καὶ Σωκράτους.

[d] Ταῖς μὲν πόλεσι τὰ τείχη, ταῖς δὲ ψυχαῖς ὁ ἐκ παιδείας νοῦς κόσμον καὶ ἀσφάλειαν παρέχει.

[z] μαθόντα Halmius.
[a] ἔχει ms.
[b] Plutarch. fr. XVIII. 15. Mox τότε ms.
[c] ἄσκησις ms.
[d] Maxim. p. 207, 43.

86 Φιλόξενος ὁ Μουσικὸς ἐρωτηθεὶς τί μᾶλλον συνεργεῖ παιδεία, εἶπε, Χρόνος.

87 Διογένης ἔλεγε τὴν τῶν παίδων ἀγωγὴν ἐοικέναι τοῖς τῶν κεραμέων πλάσμασιν· ὡς γὰρ ἐκεῖνοι ἁπαλὸν μὲν τὸν πηλὸν ὄντα ὅπου θέλουσι σχηματίζουσι καὶ ῥυθμίζουσι, ὀπτηθέντα δ' οὐκέτι δύνανται πλάσσειν, οὕτω καὶ τοὺς ἐν νεότητι μὴ διὰ πόνων παιδαγωγηθέντας, τελείους γενομένους ἀμεταπλάστους γίνεσθαι.

88 Μόνιμος ὁ Κυνικὸς φιλόσοφος ἔφη κρεῖττον εἶναι τυφλὸν ἢ ἀπαίδευτον· τὸν μὲν γὰρ εἰς τὸν βόθρον, τὸν δ' εἰς τὸ βάραθρον ἐμπίπτειν.

89 Ἐκ τῶν Δίωνος Χρειῶν.

Ἀθηναίοις ἐρομένοις ὅπως λώϊον αὐτοῖς γίγνοιτο, ἔχρησεν ἡ Πυθία εἰ τὸ κάλλιστον εἰς τὸ δεξιὸν οὖς τῶν παίδων ἐντιθέναι βούλοιντο· οἱ δὲ τρήσαντες [d] ἐς αὐτὸ χρυσίον ἔβαλλον, ἀγνοήσαντες, ὅτι τὸν φιλόσοφον λόγον ἐμήνυσε.

90 Δημοκράτους.

Φαύλων ὁμιλίη συνεχὴς ἕξιν κακίης συναύξει.

91 Πλάτωνος Νόμων α'. [p. 641 B.]

Εἰ τοῦτο οὕτως ἐρωτηθέντες εἴπομεν, ὡς ἑνὸς μὲν βραχὺ τῇ πόλει γίγνοιτ' ἂν ὄφελος. Plura non exscripsit Sartius.

92 Διογένους.

Ἡ παιδεία ὁμοία ἐστὶ χρυσῷ στεφάνῳ· καὶ γὰρ τιμὴν ἔχει καὶ πολυτέλειαν.

93 Ἰσοκράτους πρὸς Δημόνικον. [p. 10 E.]

[c] Πάντων μὲν ἐπιμελοῦ τῶν περὶ τὸν βίον, μάλιστα δὲ τὴν σαυτοῦ φρόνησιν ἄσκει· μέγιστον γὰρ ἐν ἐλαχίστῳ νοῦς ἀγαθὸς ἐν ἀνθρώπου σώματι. [p. 5 E.] Ἡγοῦ τῶν ἀκουσάντων πολλὰ πολλῶν εἶναι χρημάτων κρείττω· τὰ μὲν γὰρ ταχέως ἀπολείπεται, τὰ δὲ πάντα τὸν χρόνον παραμένει· σοφία γὰρ

[d] ἐς addidi monente Halmio. [c] Vid. Maxim. p. 209, 17.

μόνη τῶν κτημάτων ἀθάνατος. p. 13 b. Ὥσπερ τὴν μέλισσαν ὁρῶμεν ἐφ' ἅπαντα μὲν τὰ βλαστήματα καθιζάνουσαν, ἀφ' ἑκάστου δὲ τὰ χρήσιμα λαμβάνουσαν, οὕτω χρὴ καὶ τοὺς παιδείας ὀρεγομένους μηδενὸς μὲν ἀπείρως ἔχειν, πανταχό-
[p. 147b] θεν δὲ τὰ χρήσιμα συλλέγειν. p. 6 d. Μᾶλλον τήρει τὰς τῶν λόγων, ἢ τὰς τῶν χρημάτων παρακαταθήκας.

94 Δημοκράτους.

Κρέσσονές εἰσιν αἱ τῶν πεπαιδευμένων ἐλπίδες ἢ ὁ τῶν ἀμαθῶν πλοῦτος.

95 Ἐκ τῶν Ἀρίστωνος Ὁμοιωμάτων.

Κυβερνήτης μὲν οὔτε ἐν μεγάλῳ πλοίῳ οὔτε ἐν μικρῷ ναυτιάσει, οἱ δ' ἄπειροι ἐν ἀμφοῖν· οὕτως ὁ μὲν πεπαιδευμένος καὶ ἐν πλούτῳ καὶ ἐν πενίᾳ οὐ ταράττεται, ὁ δ' ἀπαίδευτος ἐν ἀμφοῖν.

96 Πυθαγόρου.

Ἀπαιδευσία πάντων τῶν παθῶν μήτηρ· τὸ δὲ πεπαιδεῦσθαι οὐκ ἐν πολυμαθείας λόγων ἀναλήψει, ἐν ἀπαλλάξει δὲ τῶν φύσει παθῶν θεωρεῖται.

97 Δίων ἔλεγε κατὰ Ἡσίοδον τρία γένη εἶναι μαθημάτων, χρυσοῦν, ἀργυροῦν, χαλκοῦν· χρυσοῦν μὲν τὸ τῶν διδόντων καὶ μὴ μανθανόντων· ἀργυροῦν δὲ, τὸ τῶν διδόντων καὶ μανθανόντων· χαλκοῦν δὲ, τὸ τῶν μανθανόντων μὲν, οὐ διδόντων δέ.

98 [f]Σωκράτης παρήνει τοῖς νέοις πολλάκις ἐσοπτρίζεσθαι, καὶ τοὺς μὲν εὐπρεπεῖς ὅμοιον ποιεῖν τῷ εἴδει [g]τὸν τρόπον, τοὺς δὲ ἀμόρφους περιστέλλειν τὸ δυσειδὲς τῇ εὐτροπίᾳ.

99 Ὁ αὐτὸς ἐρωτηθεὶς τί ἥδιστον ἐν τῷ βίῳ, ἔφη, παιδεία καὶ ἀρετὴ καὶ ἱστορία τῶν ἀγνοουμένων.

100 Πιττακὸς συνεβούλευε πρὸς τὸ γῆρας ἐφόδια παρατί-

[f] Vid. Plutarch. II. p. 141 D. [g] καὶ τρόπων ms.

θεσθαι παιδείαν· [h]γηροκομικωτάτη γὰρ αὕτη, καὶ εὐκόλως ποιοῦσα ὑποφέρειν τὰς τοῦ γήρως δυσκολίας.

101 Σωκράτης Ξενοφῶντα νέον ὁρῶν εὐφυῆ ἠρώτησεν εἰ οἶδεν ὅπου τῆς ἀγορᾶς οἱ ἰχθύες εἶεν, τοῦ δ' εἰπόντος, ναὶ, ἐξῆς ἤρετο, τί δὲ, τὰ λάχανα; ὡς δ' εἶπε καὶ τοῦτο καὶ τἄλλα, ἐπὶ πᾶσιν ἤρετο, εἰ οἶδεν ὅπου οἱ καλοὶ κἀγαθοὶ διατρίβουσι· σιωπῶντος δὲ, ἐπιπλήξας αὐτὸν κατέλιπεν· ὁ δὲ διατραπεὶς ἀπ' ἐκείνου ἤρξατο φιλοσοφεῖν.

102 Σωκράτης πρός τινα πάντα εἰδέναι φάσκοντα καὶ πολυμάθειαν ὑπισχνούμενον, ἐτύγχανε δὲ εἰς Ἀκαδημίαν συγκατιὼν αὐτῷ, ἐπιστὰς χωρίῳ πεφυτευμένῳ, ἤρετο αὐτὸν [i]εἰ δοκεῖ σοι ὁ γεωργὸς ἀμελῆσαι μὴ καταφυτεύσας πᾶσαν τὴν γῆν, ἀλλὰ διαλείμματα μεταξὺ τῶν δένδρων καταλιπών· τοῦ δὲ εἰπόντος, καὶ μὴν εἰ μὴ τοῦτο ἐποίησεν οὐδὲν ἂν τούτων ἐπεβίω, ἀλλ' ὑπ' ἀλλήλων ἀπώλετο· εἶτα, ἔφη, σὺ ἐν τῇ σαυτοῦ ψυχῇ οὐδὲ μικρὸν τόπον παραλιπὼν, [k]ἀλλὰ αἰεὶ ἄλλοις μαθήματα σωρεύων, οἴει τινα καρπὸν ἐξ αὐτῶν δρέψασθαι;

103 Τοῦ αὐτοῦ.

Ἡ παιδεία καθάπερ εὐδαίμων χώρα πάντα τὰ ἀγαθὰ φέρει.

104 Τῷ μὲν Ὀρέστῃ μαινομένῳ τὴν Ἠλέκτραν ὁ μῦθος, τῇ δὲ τῶν νέων ὁρμῇ τὴν εὐβουλίαν ὁ κατὰ φιλοσοφίαν λόγος παρίστησιν εἰς ἀντίληψιν.

105 Ἐν τῷ βίῳ, καθάπερ ἐν ὁδῷ μακρᾷ, δεῖ που καὶ ἀνάπαυσιν εὐσχήμονα εἶναι.

106 Πλείω τε ἕκαστα γίνεται καὶ [l]ῥᾷον καὶ κάλλιον, ὅτ' ἂν εἰς ἓν κατὰ φύσιν καὶ ἐν καιρῷ σχολὴν τῶν ἄλλων ἄγων πράττῃ.

[h] γηρωκομικωτάτη ms.
[i] εἰ] ἢ Halmius. Supra αὐτοῦ ms.
[k] ἄλλα Halmius.
[l] ῥᾴονα καὶ καλλίονα Halmius.

107 [m] Δύο ἐπιτηδεύματα ἢ δύο τέχνας ἀκριβῶς διαπονεῖσθαι σχεδὸν οὐδεμία φύσις ἱκανὴ τῶν ἀνθρωπείων· οὐδ' αὖ τὴν μὲν αὐτὸς ἱκανὸς ἀσκεῖν, τὴν δὲ ἄλλον ἀσκοῦντα ἐπιτροπεύειν· τὰ γὰρ ἐναντία ἄλληλα ταράττοντα δυσμάθειαν παρέχει.

108 Πολλὰ ὁ αὐτὸς μιμεῖσθαι, ὥσπερ [n] ἦν, οὐ δυνατός.

109 [o] Ὅσα δ' αὖ τῶν μεγάλων δεῖ διαπονεῖσθαι καλῶς, περὶ τούτων δέδοκται πᾶσιν, καὶ πάλαι τὸ πρότερον ἐν σμικροῖς καὶ ῥᾴοσιν αὐτὰ δεῖν μελετᾶν πρὶν ἐν αὐτοῖς τοῖς μεγίστοις. [p] Ῥᾷον δ' ἐν τοῖς ἐλάττοσι μελέτη παντὸς πέρι μᾶλλον ἢ περὶ τὰ μείζω. [q] Κρεῖττον γάρ που σμικρὸν εὖ, ἢ πολὺ μὴ ἱκανῶς περάναι.

110 Πλάτωνος Νόμων ζ'. [p. 791.]

Ἡ μὲν τρυφὴ δύσκολα καὶ ἀκρόκολα καὶ σφόδρα ἀπὸ σμικρῶν κινούμενα τὰ τῶν νέων ἤθη ἀπεργάζεται κ. τ. λ. Plurima sequuntur Excerpta ex Platonis Libris de Legibus, de Republica, Euthyphrone, Timæo, usque ad p. 149. ubi post verba, μὴ τοίνυν βίᾳ, εἶπον, ὦ ἄριστε, τοὺς παῖδας ἐν τοῖς μαθήμασιν, ἀλλὰ παίζοντας τρέφε, ἵνα καὶ μᾶλλον οἷός τε ἦς καθορᾶν ἐφ' ᾧ ἕκαστος πέφυκε, ex Lib. VII. Πολιτικῶν desumpta ita prosequitur: SARTIUS.

111 Ξενοκράτης, ὁπότε τις αὐτῷ σχολάζειν ἤθελεν οὐδενὸς τῶν ἐγκυκλίων μαθημάτων μετειληφὼς, Ἄπιθι, εἶπε, λαβὰς οὐκ ἔχεις πρὸς φιλοσοφίαν· δεῖ γὰρ προμεμαλάχθαι διὰ τούτων τὴν ψυχήν.

112 Ἰσοκράτης τοῖς μαθηταῖς παρεκελεύετο μὴ πράγματα λέγειν ἀλλὰ πράγματα παρέχειν τοῖς ἀκροωμένοις.

113 Ἀγησίλαος ἐρωτηθεὶς τίνα χρὴ τοὺς ἐλευθέρους παῖδας ἐκμανθάνειν, Ἃ αἰσχρὸν, ἔφη, γέροντας μὴ εἰδέναι.

[m] Plato Legg. VIII. p. 846. v. Stobæi 43, 145
[n] ἦν] ἓν Halmius.
[o] Plato Sophist. p. 118 C.
[p] Plato Polit. p. 286 A.
[q] Plato Theæt. p. 187 E.

114 Ἐκ τῶν Σερίνου.

Παρ' Εὐκλείδῃ τις ἀρξάμενος γεωμετρεῖν ὡς τὸ πρῶτον θεώρημα ἔμαθεν, ἤρετο τὸν Εὐκλείδην τί δέ μοι πλέον ἔσται ταῦτα μανθάνοντι· καὶ ὁ Εὐκλείδης τὸν παῖδα καλέσας, Δὸς, ἔφη, αὐτῷ τριώβολον, ἐπειδὴ δεῖ αὐτῷ ἐξ ὧν μανθάνει κερδαίνειν.

115 [o]Μέναιχμον τὸν γεωμέτρην Ἀλέξανδρος ἠξίου συντόμως αὐτῷ παραδοῦναι τὴν γεωμετρίαν· ὁ δὲ, Ὦ Βασιλεῦ, εἶπε, κατὰ μὲν τὴν χώραν ὁδοὶ εἰσὶν ἰδιωτικαὶ καὶ βασιλικαὶ, ἐν δὲ τῇ γεωμετρίᾳ πᾶσίν ἐστιν ὁδὸς μία.

116 Ἐκ τῶν Σερίνου.

Ἡράκλειτος μὲν ἔλεγε πολυμάθειαν νοῦν μὴ ἐμποιεῖν· Ἀνάξαρχος δὲ, πολυμάθειαν κάρτα μὲν ὠφελεῖν, κάρτα δὲ βλάπτειν.

117 Ἰαμβλίχου Εὐσταθίῳ περὶ Μουσικῆς.

Ἐν ἐκεῖνο εἰδότας, ὡς αἴτε μεγάλαι φύσεις τὰ μεγάλα κακὰ γεννῶσι διαφθαρεῖσαι, καὶ τὰ κράτιστα ἐπιτηδεύματα πάντων ἐστὶ βλαβερώτατα ἐπὶ τὸ κακὸν ῥέψαντα.

118 Γεωμέτρης τις τὸν Διογένην ἀπαίδευτον καὶ ἀμαθῆ ἐκάλει· ὁ δὲ, Συγγίνωσκέ μοι, ἔφη, μὴ μαθόντι ἀ μηδὲ Χείρων τὸν Ἀχιλλέα ἐδίδαξε, τουτέστι γεωμετρεῖν.

119 Ἐκ τῶν Ἀριστοξένου Πυθαγορικοῦ Ἀποφάσεων.

Ἔφασκον δὲ καὶ τὰς μαθήσεις πάσας τῶν τε ἐπιστημῶν καὶ τῶν τεχνῶν τὰς μὲν ἑκουσίους ὀρθάς τε εἶναι καὶ

[o] Ms. tantum ἐναῖχμ. Proclus Comment. in Euclidem pag. 20. historiolam hanc ita tradit: Καὶ μέντοι καὶ φασὶν ὅτι Πτολεμαῖος ἤρετο αὐτὸν (Euclidem scil.) εἴ τίς ἐστι περὶ (l. ἐπὶ) γεωμετρίαν ὁδὸς συντομωτέρα τῆς στοιχειώσεως· ὁ δὲ ἀπεκρίνατο (μίαν ms. in marg.) μὴ εἶναι βασιλικὴν ἀτραπὸν ἐπὶ γεωμετρίαν. quem locum in editione Basiliensi mutilum supplevi e ms. Barocc. 161. fol. λ'. At vero quid simile Alexandro Magno accidisse arguitur ex Senecæ Ep. XCI. *Alexander Macedonum rex discere Geometriam infelix cœperat*——Facilia *inquit* me doce. *Cui præceptor*, Ista, *inquit*, omnibus eadem sunt, æque difficilia.

εἰς τέλος ἀφικνεῖσθαι, τὰς δὲ ἀκουσίους φαύλους τε καὶ ἀτελεῖς γίνεσθαι.

120 Ἀρχύτα Πυθαγορείου ἐκ τοῦ Περὶ Παιδεύσεως ἠθικῆς.

Φιλοσοφίαν φάντι ὄρεξιν εἶμεν τῶ ἀναλαμβάνειν ἢ συνέχειν [p] αὔταυτον ἐν ἀρετᾷ πρακτικᾷ καττὰν ἔφεσιν τᾶς σοφίας διὰ ταύταν· ταύτας δ' ἀρχὰν μὲν τὰν φύσιν προειδέμεν, μέσα δὲ τὰν ἄσκησιν, τέρμα δὲ τὰν εἴδησιν φέρειν. Εὐτυχὲς μὲν ὦν εἶμεν φῦναι εὖ, τραφῆναί τε καὶ ἀχθῆμεν καττὸν ὀρθὸν νόμον [q] καθ' ὁμόλογά τε τᾷ φύσει ἔθεα· δεῖ δ' ἀσκηθῆμεν ὑπό τε γενέτορας ἢ ἐπιτρόπους, παιδευτάς τε σώφρονας γενέσθαι· καλὸν δὲ τὸν αὐτὸν αὐτῷ προστάσσεν τὰ ἄριστα, μηδὲ [r] ποτεδέεσθαι ἀνάγκας, εὐπειθέα δ' εἶμεν τοῖς ὑφαγεομένοις τὰ ἄριστα ποτὶ πρᾶξιν καὶ εἴδησιν· [s] ταὶ γὰρ εὐφυΐαι καὶ ταὶ καλαὶ τροφαὶ πολλάκις φθάνοντι τὰς
[p. 149 b] διδασκαλίας ἐς ὀρθότατα ἄγοισαι, ἀποδέοντι δὲ μόνον λόγω ἀγεμόνος [t] τὸν ἐν τήθῃ τῇ ἐπιστάμᾳ. Δύο μὲν ὦν [u] ἔντι βίοι ἀντίπαλοι, τοὶ τῶν πρατήων ἀντιποιεύμενοι, πρακτικός τε καὶ φιλόσοφος· πολὺ δὲ κάρρων δοκέει εἶμεν ὁ ἐξ ἀμφοτέρων κεκραμένος ποτὶ καιρὼς τὼς ἁρμόσδοντας συντεταγμένος καθ' ἑκατέραν διέξοδον. Γεγόναμες γὰρ ποτ' ἐνέργειαν νοερὰν, ἂν καλέομες πρᾶξιν· τᾶς δὲ διανοίας ἁ μὲν πρακτικὰ ἐπὶ τὰν πολιτικὰν φέρεται, ἁ δὲ ἐπιστημονικὰ ἐπὶ τὰν θέαν τῶν συμπάντων, αὐτὸς δ' ὁ [v] καθόλω νόος ταύτας τὰς δύο δυνάμιας ἀμπέχων ἐπὶ τὰν εὐδαιμονίαν, τὰν φάμες ἐνέργειαν ἀρετᾶς ἐν εὐτυχίᾳ εἶμεν, οὔτε πρακτικὰν ἔαταν μόνον ὥστε καὶ μὴ τὰν ἐπιστήμαν περιέχεν, οὔτε θεωρητικὰν ὡς ἄπρακτον εἶμεν· ἁ γὰρ [x] τέλος διάνοια

[p] ἂν ταυτὸν ms.

[q] καθομολογᾶ τε καὶ τὰ ms.

[r] ποτεδέεσθαι apogr. Elmsl. ποτιδεύσθαι Sart. Mox ὑφαγεαμένοις Elmsl. ὑφαγεσμένοις Sart.

[s] Sic dedi pro lectione msti τᾷ γ. εὐφυίᾳ κ. τᾷ καλᾷ τροφᾷ—ἄγοισε.

[t] Sic fere ms. an leg. τὸν εὐπειθῆ?

[u] Ms. ε ἀντιβίοι ἀντὶ πολλοί. Correxit Wyttenbachius ad Plutarch. p. 8 A. ἔντι βίοι ἐν τοῖς πολλοῖς.

[v] καθόλων apogr. Elmsl.

[x] Hoc vocabulum in ms. com-

ποτὶ δύο ἀρχὰς ἐπικρατέας ῥέπει, ποθ' ἃς καὶ ὁ ἄνθρωπος πέφυκε, τάν τε [u]κοινωνατικὰν, καὶ τὰν εἰδημονικάν· καὶ γὰρ αἱ κατὰ τοίας ἀντιλήψιας δοκέοντι [v]ἀντιθλίβεν ἀλλάλας τᾷ ἀγωγᾷ, τᾷ μὲν γὰρ πολιτικᾷ [w]ἀφέλκοισαι τᾶς θεωρίας, τᾷ δὲ θεωρητικᾷ ἀπὸ τᾶς πολιτείας μετάγοισαι ἐς ἀσυχίαν, ἄλλων τὰ πέρατα, ὧν ἀψαμένα ἁ φύσις ἀπέδειξεν ἐν τωυτῷ ἀλωμένα· οὐ γὰρ ἀντιπαθέες ἔντι τᾷ ἀρετᾷ, ἀλλ' ἁρμονίας ἁπάσας συμφωνότεραι. Αἰ δὲ κά τις ἐκ νέων ὁρμαθεὶς αὐτὸς ἁρμόζηται εἰς τὰς ἀρχὰς τὰν ἀρετὰν καὶ τὸν θεῖον νόμον τᾶς τῶ κόσμω ἁρμονίας, εὔροον βίον διεξάγει· αἰ δέ [x]κα αὐτὸς καθ' αὐτὸν πλαζόμενος τύχῃ ἀγεμόνων καρρόνων, ἀπευθύνειν τὸν δρόμον δυνάσεται ποτὶ μακαριότατα, ὥσπερ τοὶ εὐτυχέοντες ἐν πλοίῳ ἀνύοντι τὰν θάλασσαν διὰ τᾶς κυβερνητικᾶς εὐπλοίας ἐφιέμενοι, ὅπερ ἐν βίῳ τᾶς εὐδαιμονίας. Αἰ δὲ μήτ' αὐτὸς νέοιτο ποτίφορα, μήτ' ἐπιτρόπων τύχοι ἐμφρόνων, οὐδὲν ὄφελος χοραγίας ἀφθόνω· ἀφροσύνα γὰρ, αἴκα ἐς τἄλλα εὐτυχῇ, κακοδαίμων ἐσαεί ἐστιν. Ἐπεὶ δ' ἐν ἅπαντι πρᾶτον ἀνάγκα σκοπῆν μὲν τὸ τέλος· τοῦτο γὰρ ποιέοντι κυβερνᾶται μὲν λιμένα νεὼς ἐς ὃν καταχθήσονται προτιθέμενοι, ἀνίοχοι δὲ τέρμα δρόμω, τοξόται δὲ καὶ σφενδονᾶται σκοπὸν ποθ' ὃν πάντα ἁρμόσδονται· ἀνάγκα καὶ τᾷ ἀρετᾷ προκέεσθαί τινα ὥσπερ τέχναν τῶ βίω σκοπὸν ἢ πρόθεσιν, ταῦτα γὰρ [y]ὀνυμαίνω καθ' ἑκατέρων· τοῦτο δὲ φαμὶ εἶμεν τὸν μὲν πρακτικῶν τὸ κράτιστον, τῶ δὲ βίω τὸ τέλειον ἀγαθὸν, [z]τῶ λέγοντι τἀνθρωπεία σοφοὶ εὐδαιμονίαν. Ταύταν δὲ οὔτε καττὰν ἀλήθειαν κρίνειν δύνανται τοὶ κακῶς ἔχοντες, οὔτε

pendiose exaratum nescio an recte interpretatus sit is, qui apographum fecit. An τελῇος?

[u] κοινὰν νίκας νικαν ms. Elmsl.

[v] ἀντεθλίβεν ἀλλάλοις ap. Elmsl. ἀντεθλίβεν ἀλλάλας Sart.

[w] ἀφέλκοισα—μετάγοισα—ἄλλως τὰ ap. Elmsl.

[x] καὶ ms.

[y] Ms. ὀνυμ$^{\omega}$. Mox forte τῶ μὲν πρ. τ. κ. τῷ δὲ φιλοσόφω β. τ. τ. ἀ. —τὸ λέγοντι.

[z] τῶ λ. τἀνθρωπία] τὸ λ. τοι τἀνθρώπεια Halmius. τἀνθρωπεία Sart.

ἐλέσθαι ἰσχύοντι τοὶ μὴ ἐκδαλότατα ὀρέοντες αὐτήν· τίνουσι δὲ δίκας ἀφροσύνας τοὶ ἀδονᾷ τὸ ἄριστον διδόντες, κολάζονται τοὶ τὰν ἀναλγησίαν πάντων προτιμῶντες, [a]καθόλω δ' εἰπὲν, ἄγχονται ἐν κακᾷ ζάλᾳ τοὶ ἐν εὐπαθείᾳ σωμάτων, ἢ ἐν ψυχᾶς ἀλόγῳ κατασκευᾷ ἀπολιπόντες τὰν εὐδαίμονα ζωάν· οὐδὲ πολλὸν ἀπὸ τούτων εὐτυχέστεροί ἐντι τοὶ ἐξαίροντες μὲν τὸ καλὸν, ὡς κατταῦτα τὶ μὴ λέγεν, ὁμότιμον δὲ αὐτῷ τὰν ἀδονὰν καὶ τὰν ἀναλγησίαν καὶ τὰς εὐπαθείας τὰς πρώτας καὶ φυσικὰς καὶ ἀλόγως ὁρμὰς, ἢ σώματος ἢ ψυχᾶς ἀντέχοντες· ἑκάτερα γὰρ ἀδικέοντι, τὰν μὲν ψυχικὰν ἀκρότατα καὶ τὰ ἔργα αὐτᾶς κατάγοντες εἰς ἰσότατα ποττὰν τοῦ σώματος [b]τελεότατα, τὰν δὲ σωματικὰν εὐεξίαν ἐς ὕψος ἀντικαθιστάντες τᾷ ψυχικᾷ ἀδονᾷ· ἢ [c]ἐμέσης δὴ δὲ καὶ ἀ φύσις καὶ τὸ θεῖον τᾷ τούτων διακρίσει· οὐ γὰρ φυλάσσοντι τὰν ἀξίαν τῶ κάρρονος πρὸς τὸ χεῖρον· ἀλλ' ἡμεῖς γε λέγοντες σῶμα μὲν εἶμεν ψυχᾶς ὄργανον, νόον δὲ ἀγεμόνα τᾶς τε ἄλλας ψυχᾶς καὶ τῶ σκάνεος αὐτᾶς, τὰν δ' ἐς τἄλλα εὐτυχίαν φυσικὰν ὀργανικὰν τᾷ νοερᾷ ἐνεργείᾳ εἶμεν, αἴκα παντελὴς δυνάμει τε καὶ χρόνῳ καὶ χοραγίᾳ ᾖ.

121 [d]Ἱερωνύμου.

Δεῦρο δὴ, καὶ σκεψώμεθα περὶ τῆς τῶν παίδων ἀγωγῆς, τίνα τρόπον διειλήφασιν οἱ πατέρες· οὐ γὰρ μόνον ἐν τοῖς πρότερον, ἀλλὰ καὶ ἐν τούτοις εὑρήσομεν αὐτοὺς οὐ μικρὰ διαφωνοῦντας· οἵτινες πρῶτον μὲν βαρβάροις παραβάλλοντες παιδαγωγοῖς, καὶ τούτων ἀκούειν κελεύσαντες, ἱκανῶς ἐπιμελεῖσθαι νομίζουσιν, ὥσπερ τοῦ κατὰ πόδας [e]ἀκολουθήσαντος, ἀλλ' οὐ τοῦ καλῶς [f]ἡγησαμένου δεομένων τῶν παίδων, καὶ τοῦ φυλάττοντος καθάπερ συβώτου [g]εἰ πλα-

[a] καθόλα ms.
[b] τελεώτατα ms.
[c] Forte νεμεσῇ δὲ.
[d] Scil. Rhodii. v. Wyttenbach. ad Plutarch. p. 4 A.
[e] Leg. ἀκολουθήσοντος. WYTT.
[f] Leg. ἡγησομένου. WYTT.
[g] F. μὴ. WYTT.

[p. 150] νηθῇ, ἀλλ' [f] οὐχὶ . . . διὸ καὶ τὸν ἐκ τῶν [g] ἔργων ἀποδοκιμασθέντα, τοῦτον ἐπὶ παιδαγωγίᾳ κατατάττουσι, τὰ φύσει τιμιώτερα τοῖς εὐτελεστάτοις διδόντες· ὅθεν καὶ Περικλῆς, οἰκέτου ποτὲ πεσόντος ἀπὸ ἐλαίας καὶ τὸ σκέλος συντρίψαντος, νέε ὅρα, ἔφη, παιδαγωγὸς [h] πέφηνεν· οὐκ ἀπιθάνως τῆς ὑπουργίας τὴν ἀτιμίαν σκώψας.

122 Ἐκ τῆς Ἰαμβλίχου ἐπιστολῆς Σωπάτρῳ περὶ Παίδων Ἀγωγῆς.

Παντὸς ζώου καὶ φυτοῦ ἡ πρώτη βλάστη καλῶς ὁρμηθεῖσα πρὸς τὴν ἑκάστου ἀρετὴν κυριωτάτη πασῶν ἐστὶ τέλος ἐπιθεῖναι τὸ πρόσφορον, καὶ τῆς τῶν παίδων τοίνυν εὐεξίας ἡ πρώτη βελτίστη τῆς φύσεως πρόοδος ὁδῷ πρόεισιν ἐπὶ τὴν τελειότητα τεταγμένως, ἐφ' ἥνπερ αὐτὴν [i] προσχωρεῖν ἄξιον· ταύτην τοίνυν ἡ ὀρθὴ παιδεία δεόντως προοδηγεῖ, σπέρματα τῶν ἀρετῶν ἤδη προκαταβαλλομένη, καὶ ἐν ἀπαλαῖς ἔτι καὶ [k] ἀβάτοις ψυχαῖς θαυμαστὴν οἰκείωσιν ἐμποιοῦσα πρὸς τὴν τῶν καλῶν ἐπιτήδευσιν. Πρῶτον μὲν οὖν διὰ τῶν αἰσθήσεων ἐν πατρὶ καὶ μητρὶ καὶ παιδαγωγῷ καὶ διδασκάλῳ προτείνει παράδειγμα τῶν καλῶν ἔργων, ἵνα οἱ θεώμενοι παῖδες αὐτὰ ζηλῶσι τὴν πρὸς αὐτὸν ἀφομοίωσιν· ἔπειτα τοῖς ἔθεσιν ἄγει καλῶς, καὶ ἐμποιεῖ τὰ σπουδαῖα ἤθη, μήπω δυναμένων αὐτῶν λόγῳ λαμβάνειν, διά τε τῆς συνηθείας τῶν καλῶν τρέπουσα αὐτῶν τὰς ψυχὰς πρὸς τὸ βέλτιον, ἐπὶ δὲ τούτοις συμφωνίαν ἡδονῆς καὶ λύπης πρὸς τὰ καλὰ ἔργα παρασκευάζει· ὥστε μὴ μόνον πράττειν τὰ καλὰ ἔργα, ἀλλὰ καὶ χαίρειν ἐπ' αὐτοῖς συμμέτρως, μηδὲ ἀποφεύγειν μόνον τὰ αἰσχρὰ, ἀλλὰ καὶ δυσχεραίνειν αὐτὰ ἐγκαιρότατα· προάγουσι δὲ αὐτοῖς ἐνταῦθα, ὃ χρὴ ἡγεῖσθαι παντὸς τοῦ ὀρθοῦ βίου, τὴν ἐπὶ τοῖς αἰσχροῖς αἰσχύνην καὶ ἐπὶ τοῖς

[f] Deest quid. WYTT.
[g] ἐργατῶν ms.
[h] F. πέφηνας. WYTT.
[i] προχωρεῖν Halmius.
[k] ἐνβατοῖς Halmius.

καλοῖς φιλοτιμίαν ἐντίθησι, δι' ὧν ἀπάγονται μὲν πάντων τῶν αἰσχρῶν, καὶ εὐλάβειάν τινα πρὸς αὐτὰ κτῶνται, ἐφίενται δὲ τῶν ἀγαθῶν, καὶ πρὸς αὐτὰ σύντονον ὁρμὴν προσλαμβάνουσι· μετὰ δὴ ταῦτα προστάγματά τινα νομοθετικὰ, μικρὰ μὲν ὄντα τοῖς ῥήμασι, μεγάλην δέ τινα δύναμιν τοῖς τηλικούτοις παρεχόμενα, οἷον τὸ δεῖ καί ποτε οὐ δεῖ, καὶ τὸ μέχρι πόσου, καὶ ποῖόν τι τὸ ἀόριστόν ἐστι μέτρον, καί [1]τις τὰ τοιαῦτα, συμμετρίαν αὐτοῖς συναρμόζει τὴν πρὸς ἀλλότριον λόγον συνταττομένην, οἷον τοῦ νομοθέτου καὶ διδασκάλου· καί ποτε δὴ κράτιστόν ἐστι τὰ οἰκεῖα παραγγέλματα καὶ νουθετήματα φέροντα πρὸς ἑκάστην ἀρετὴν παραδιδόναι δεόντως, τὰ μὲν ἐν κοιναῖς γνώμαις, τὰ δ' ἐν ἔργων ἀσκήσει, τὰ δ' ἐν τῇ τῶν λόγων μελέτῃ, τὰ δὲ ἐν ταῖς ὑποθήκαις περὶ τῶν πρακτέων ἢ μὴ πρακτέων, τὰ δὲ ἐν ταῖς τῆς ζωῆς κατασκευαῖς. Ἐπειδ' ἂν δὲ τούτων ἕνεκα ἱκανῶς ἔχωσι, τοῖς λόγοις αὐτοὺς παιδευτέον, ἀρχομένους ἀπὸ τῶν ἁπλουστέρων καὶ γνωριμωτέρων· ἔπειτα προϊόντες ὀσημέραι καὶ κατὰ βραχὺ πρὸς τοὺς τῆς αἰτίας ἀπολογισμοὺς, καὶ ἐπὶ τούτων τὸ μὲν δι' εὐκρινείας ἐπιστημονικῆς τελέως φυλακτέον ἔτι εὐτελέσι διανοίαις παρακατατίθεσθαι, τὸ δ' ὡς ἔπος εἰπεῖν καὶ διὰ πειθοῦς ἐμμελὲς καὶ προσαγόμενον τῇ διανοίᾳ τῶν ἀκουόντων καταβλητέον εἰς αὐτοὺς ὡς οἷόν τ' ἐστὶ μάλιστα· γυμνασαμένων δὲ αὐτῶν ἱκανῶς ἐν τούτοις ἐπὶ τῷ τέλει τῆς εἰς ἀρετὴν ἀγωγῆς, οἱ ὅροι τῶν ἀρετῶν ἀφοριζέσθωσαν, καὶ τῆς αἰτίας ἡ ἀκροτάτη παραδιδόσθω θεωρία, τελειότης τε τῶν λογισμῶν καὶ ἀναμάρτητος καὶ ἀνέλεγκτος ἐπιστήμη· βεβαιότης ἐντιθέσθω τῆς γνώσεως ἀλήθεια· ἡ γὰρ εἰς τοῦτο ἀγωγὴ τῆς παιδείας τέλος ἔχει τῆς τῶν παίδων ἀγωγῆς τὸ κράτιστον.

[1] F. τινα.

123 Μουσώνιου ἐκ τοῦ, Εἰ παραπλησίως παιδευτέον τὰς θυγατέρας τοῖς υἱοῖς.

Λόγου δέ ποτε τινὸς ἐμπεσόντος, [m]εἰ τὴν αὐτὴν παιδείαν παιδευτέον τοὺς υἱέας καὶ τὰς θυγατέρας· Ἵππους μέν, ἔφη, καὶ κύνας ὁμοῦ οὐδὲν διαφερόντως παιδεύουσιν οἵ τε ἱππικοὶ καὶ οἱ κυνηγετικοὶ τοὺς ἄρρενας τῶν θηλειῶν· ἀλλ' αἵ τε κύνες αἱ θήλειαι παραπλησίως τοῖς ἄρρεσι διδάσκονται θηρᾶν· ἵππους τε θηλείας ἄν τις [n]θέλῃ τὰ ἵππων ἔργα ἀποτελεῖν καλῶς, οὐ διάφορον τῶν ἀρρένων διδασκαλίαν διδασκομένας ἰδεῖν ἐστίν· ἀνθρώπους δὲ τοὺς ἄρρενας ἐξαίρετόν τι ἄρα δεήσει ἔχειν ἐν τῇ παιδείᾳ καὶ τροφῇ παρὰ τὰς θηλείας, ὥσπερ οὐχὶ τὰς αὐτὰς παραγίνεσθαι δέον ἀρετὰς ἀμφοῖν ὁμοίως ἀνδρὶ καὶ γυναικί, ἢ ἐπὶ τὰς αὐτὰς ἀρετὰς μὴ διὰ τῶν αὐτῶν παιδευμάτων ἀλλὰ δι' ἑτέρων οἷόν τε [o]ὂν ἐλθεῖν. Ὅτι δὲ οὐκ ἄλλαι ἀρεταὶ ἀνδρὸς, ἄλλαι δὲ γυναικὸς, ῥᾴδιον μαθεῖν. Αὐτίκα, φρονεῖν δεῖ μὲν τὸν ἄνδρα, δεῖ δὲ καὶ τὴν γυναῖκα· ἢ τί ὄφελος εἴη ἂν ἄφρονος ἀνδρὸς ἢ γυναικός. Εἶτα δικαίως βιοῦν οὐδέτερον ἧττον θατέρου· ἀλλ' ὅ τε ἀνὴρ οὐκ ἂν εἴη πολίτης ἀγαθὸς, ἄδικος ὤν, ἥ τε γύνη οὐκ ἂν [p]οἰκονομοίη χρηστῶς [q]μὴ δίκαιος ἀλλ'
[p.150b] ἄδικος οὖσα· [r]πρῶτον ἀδικήσει τὸν ἄνδρα, ὥσπερ τὴν Ἐριφύλην [s]φασί. Σωφρονεῖν μὲν αὖ καλὸν τὴν γυναῖκα, καλὸν δ' ὁμοίως καὶ τὸν ἄνδρα· τὸ γοῦν μοιχεύειν τῷ μοιχεύεσθαι ἐπίσης κολάζουσιν οἱ νόμοι. Καὶ λιχνεῖαι καὶ οἰνοφλυγίαι, καὶ ἄλλα παραπλήσια κακὰ, ἀκολαστήματα ὄντα καὶ καταισχύνοντα μεγάλως τοὺς ἐνεχομένους αὐτοῖς ἀποφαίνει τὴν σωφροσύνην ἀναγκαιοτάτην οὖσαν ἀνθρώπῳ παντὶ, τῷ τε

m Ms. ἐπὶ. WYTT
n Ms. θέλω. WYTT.
o Ms. οὖν. WYTT.
p Ms. οἰκονομίῃ. WYTT.
q Ms. ἡ μὴ. WYTT.
r πρῶτον δ' Halmius.
s Deesse quid videtur. WYTT.

θήλει καὶ τῷ ἄρρενι· διὰ γὰρ σωφροσύνης μόνης ἐκφεύγομεν ἀκολασίαν, ἄλλως δ' οὐδαμῶς. Τὴν ἀνδρίαν φαίη τις ἂν ἴσως μόνοις προσήκειν τοῖς ἀνδράσιν· ἔχει δὲ οὐδὲ τοῦτο ταύτῃ. Δεῖ γὰρ ἀνδρίζεσθαι τὴν γυναῖκα [t] καὶ καθαρεύειν δειλίας τήν γε ἀρίστην, ὡς μήθ' ὑπὸ πόνου μήθ' ὑπὸ φόβου κάμπτηται· εἰ δὲ μή, πῶς ἔτι [u] σωφρονήσειεν, ἄν τις ἢ φοβῶν, ἢ προσάγων πόνους, βιάσασθαι δύνηται αὐτὴν ὑπομεῖναί [x] τι τῶν αἰσχρῶν. Δεῖ δὲ δὴ καὶ [y] ἀμυντικὸν ἔχειν τὰς γυναῖκας, εἰ μὴ νὴ Δία φαίνεσθαι μέλλουσι κακίους ἀλεκτορίδων καὶ ἄλλων [z] ὀρνίθων θηλειῶν, αἳ πολὺ μείζοσι ζώοις ἑαυτῶν ὑπὲρ τῶν νέων [a] διαλλάττονται. Πῶς οὖν οὐκ ἂν ἀνδρίας αἱ γυναῖκες δέοιντο; Ὅτι δὲ καὶ ἀλκή τις δι' ὅπλων μέτεστιν αὐταῖς, ἐδήλωσε τὸ Ἀμαζόνων γένος, ἔθνη πολλὰ δι' ὅπλων καταστρεψάμενον· ὥστ' εἴ τι ἐνδεῖ πρὸς τοῦτο ταῖς ἄλλαις γυναιξὶν, [b] ἀνασκησία μᾶλλον ἢ τὸ μὴ πεφυκέναι ἀρετὰς ἀνδρὸς καὶ γυναικὸς, ἀνάγκη πᾶσα καὶ τροφὴν καὶ παιδείαν τὴν αὐτὴν προσήκειν ἀμφοῖν. Παντὶ γὰρ δὴ ζώῳ καὶ φυτῷ τὴν ἐπιμέλειαν τὴν προσαγομένην ὀρθῶς ἐμποιεῖν χρὴ τὴν [c] ἐκείνων προσήκουσαν ἀρετήν. Ἢ εἰ μὲν ἔδει αὐλεῖν δύνασθαι παραπλησίως ἄνδρα καὶ γυναῖκα, καὶ εἰ τοῦθ' ἑκατέρῳ αὐτοῖν ἀναγκαῖον ἦν πρὸς τὸν βίον, ἀμφοτέρους ἂν ἐπ' ἴσον τὴν αὐλητικὴν τέχνην ἐξεδιδάσκομεν, καὶ εἰ κιθαρίζειν ἔδει ἑκάτερον· ἀμφοτέρους δὲ εἰ δεῖ γενέ-

[t] καὶ abest in ms. WYTT. καὶ τὴν γυναῖκα ms. Dedi supra ταύτῃ pro ταυτί.

[u] σωφρονήσειεν ἂν, ἄν Halmius.

[x] τι τῶν] τι om. ms.

[y] Forte, ἀμυντικῶς. WYTT.

[z] Ex Platone ductum Leg. VII. p. 638 A.: πολλή που κακία πολιτείας, οὕτως αἰσχρῶς τὰς γυναῖκας εἶναι τεθραμμένας, ὡς μήθ' ὥσπερ ὄρνιθας περὶ τέκνων μαχομένας πρὸς ὁτιοῦν τῶν ἰσχυροτάτων θηρίων θέλειν ἀποθνήσκειν τε καὶ πάντας κινδύνους κινδυνεύειν. WYTT.

[a] Forte, διαμάχονται. WYTT.

[b] Forte corrigendum, ἀνασκησίᾳ μᾶλλον συμβαίνοι ἢ τῷ μὴ πεφυκέναι τὰς αὐτὰς ἀρετὰς ἀνδρὸς καὶ γυναικός. Ἀνάγκη οὖν πᾶσα καὶ τροφὴν κ. τ. λ. WYTT. Tentat Halmius: ἀνασκησίᾳ μᾶλλον (sc. ἐνδεῖ) ἢ τῷ μὴ πεφυκέναι πρὸς ἀρετὰς ἀνδρὸς (ἀνδρικὰς?) καὶ γυναῖκας. Ἀνάγκη οὖν . .

[c] Legendum ἐκείνῳ. WYTT.

σθαι ἀγαθοὺς τὴν ἀνθρώπῳ προσήκουσαν ἀρετὴν, καὶ φρονεῖν ὁμοίως δύνασθαι καὶ σωφρονεῖν, καὶ ἀνδρίας μετέχειν καὶ δικαιοσύνης μηδὲν ἧττον θατέρου θάτερον, οὐ [d]γὰρ ὁμοίως ἑκάτερον παιδεύσομεν; οὐδὲ τὴν τέχνην, ἀφ' ἧς γένοιτ' ἂν ἄνθρωπος ἀγαθὸς, ἐπ' ἴσον ἀμφοτέρους διδάξομεν; Ἀλλὰ χρὴ οὕτω ποιεῖν, καὶ οὐχ ἑτέρως. Τί οὖν, καὶ ταλασίαν, φησί τις, ἴσως ἀξιοῖς σὺ παραπλησίως ἐκμανθάνειν ταῖς γυναιξὶν τοὺς ἄνδρας, καὶ γυμναστικὴν μετέρχεσθαι τοῖς ἀνδράσιν ὁμοίως τὰς γυναῖκας; Τοῦτο μὲν οὐκέτι ἀξιώσω ἐγώ· φημὶ δὲ ὅτι οὔσης ἐν τῷ γένει [e]τῷ ἀνθρωπίνῳ τῆς μὲν ἰσχυροτέρας φύσεως τῆς τῶν ἀρρένων, τῆς δ' ἀσθενεστέρας τῆς τῶν θηλειῶν, ἑκατέρᾳ φύσει τῶν ἔργων ἀπονεμητέον τὰ προσφορώτατα, καὶ τὰ μὲν βαρύτερα τοῖς ἰσχυροτέροις ἀποδοτέον, τὰ δὲ ἐλαφρότερα τοῖς ἀσθενεστέροις· διὰ τοῦτο ταλασία μὲν ταῖς γυναιξὶ μᾶλλον πρέποι ἂν ἤπερ ἀνδράσιν, ὥσπερ οἰκουρία· γυμναστικὴ δὲ ἀνδράσι μᾶλλον ἢ γυναιξὶν, ὥσπερ καὶ θυραυλία· εἶναι δ' ὅτε μέντοι καὶ ἄνδρες τινὲς τῶν ἐλαφροτέρων ἔργων ἔνια καὶ δοκούντων γυναικείων [f]μεταχειρίσαιντ' ἂν εἰκότως, καὶ γυναῖκες αὖ τῶν σκληροτέρων καὶ δοκούντων μᾶλλον προσήκειν ἀνδράσιν ἐργάσαιντ' ἄν, ὅταν ἢ τὰ τοῦ σώματος οὕτως ὑφηγῆται, ἢ τὰ τῆς χρείας, ἢ τὰ τοῦ καιροῦ. Πάντα μὲν γὰρ ἴσως ἐν κοινῷ κεῖται τὰ ἀνθρώπεια ἔργα, καὶ ἐστὶ κοινὰ ἀνδρῶν καὶ γυναικῶν, καὶ οὐδὲν ἀποτακτὸν ἐξ ἀνάγκης τῷ ἑτέρῳ, [g]μὴ δὴ δὲ ἐπιτηδειότερα τὰ μὲν τῇδε τῇ φύσει, τὰ δὲ τῇδε· δι' ἃ τὰ μὲν ἀνδρῷα καλεῖται, τὰ δὲ γυναικεῖα· ὅσα μέντοι τὴν ἀναφορὰν ἔχει εἰς ἀρετὴν, ταῦτα φαίη τὶς ἂν ὀρθῶς ἐπ' ἴσον ἑκατέρᾳ προσήκειν φύσει, [h]εἴτε καὶ τὰς ἀρετὰς προσήκειν φαμὲν οὐδὲν τοῖς ἑτέροις μᾶλλον [i]καὶ τοῖς ἑτέροις. Ὅθεν εἰκότως

[d] Videtur requiri οὐκ ἄρ'. WYTT.
[e] τῷ om. ms.
[f] Sic ms. diserte.
[g] πλὴν δὲ Halmius.
[h] Legendum εἴγε. WYTT.
[i] Lege ἢ. WYTT.

οἶμαι καὶ παιδευτέον ὅσα πρὸς ἀρετὴν παραπλησίως τό τε θῆλυ καὶ τὸ ἄρρεν· καὶ ἀρξαμένους ἀπὸ νηπίων εὐθὺς διδακτέον, ὅτι τοῦτο μὲν ἀγαθὸν, τοῦτο δὲ [k] κακὸν (κακὸν ταυτὸν ἀμφοῖν) καὶ τοῦτο μὲν ὠφέλιμον, τοῦτο δὲ βλαβερὸν, καὶ τόδε μὲν πρακτέον, τόδε δὲ οὔ· ἐξ ὧν ἐπιγίνεται φρόνησις τοῖς μανθάνουσιν ὁμοίως κόραις καὶ κούροις, καὶ οὐδὲν διαφορώτερον τοῖς ἑτέροις· εἶτα δὲ ἐμποιητέον [l] αἰδῶ πρὸς ἅπαν αἰσχρόν· [m] ὧν ἐγγενομένων ἀνάγκη σώφρονας εἶναι καὶ ἄνδρα καὶ γυναῖκα. Καὶ μὴν τὸν παιδευόμενον ὀρθῶς, ὅστις ἂν ᾖ, εἴτε ἄρρην εἴτε θήλεια, ἐθιστέον μὲν ἀνέχεσθαι πόνου, ἐθιστέον δὲ μὴ φοβεῖσθαι θάνατον, ἐθιστέον δὲ μὴ ταπεινοῦσθαι πρὸς συμφορὰν μηδεμίαν· δι' ὅσων ἄν τις εἴη
[p. 151] ἀνδρεῖος. Ἀνδρίας δὲ μικρῷ πρότερον ἐδείχθη δεῖν μετεῖναι καὶ γυναιξίν. Ἔστι τοίνυν πλεονεξίαν μὲν φεύγειν, ἰσότητα δὲ τιμᾶν, καὶ εὐποιεῖν μὲν θέλειν, κακοποιεῖν δὲ μὴ θέλειν ἄνθρωπον ὄντα ἀνθρώπους· ἔστι μὲν [n] δίδαγμα κάλλιστον καὶ δικαίους [o] ἐπιτελεῖ τοὺς μανθάνοντας. Τί δὲ μᾶλλον ἄνδρα μεμαθηκέναι χρὴ ταῦτα ἢ γυναῖκα; [p] ἅπερ νὴ Δία πρέπει δικαίας εἶναι γυναῖκας, καὶ ταῦτα δεῖ μεμαθηκέναι ἄμφω τά γε καιριώτατα καὶ μέγιστα. Εἰ γάρ τι που μικρὸν ὁ μὲν εἴσεται, ἡ δὲ οὔ, ἢ ἀνάπαλιν, ἡ μὲν εἴσεται, ὁ δὲ οὔ, τεχνίτου τινὸς ἐχόμενον, οὐ τοῦτο διάφορον ἀποφαίνει τὴν ἑκατέρου παιδείαν· μόνον περὶ μηδενὸς τῶν μεγίστων ἕτερος ἕτερα μεμαθηκέτω, ἀλλὰ [q] ταῦτα. Ἂν δέ τις ἐρωτᾷ με, τίς ἐπιστήμη τῆς παιδείας ταύτης ἐπιστατεῖ, λέξω πρὸς αὐτὸν ὅτι φιλοσοφίας ἄνευ ὥσπερ ἀνὴρ οὐκ ἂν οὐδεὶς, οὕτως οὐδ' ἂν γύνη παιδευθείη ὀρθῶς. Καὶ οὐ τοῦτο βούλομαι

[k] Temere positum, sic ponendum videtur—εὐθὺς διδακτέον ταυτὸν ἀμφοῖν, ὅτι τοῦτο μὲν ἀγαθὸν, τοῦτο δὲ κακόν κ. τ. λ. WYTT.

[l] δίδω] Lege αἰδῶ. WYTT.

[m] Videtur quid deesse. WYTT.

[n] δίδασμα ms.

[o] Lege ἀποτελεῖ. WYTT.

[p] Forte, εἰ γὰρ. WYTT.

[q] Forte τὰ αὐτὰ. WYTT.

λέγειν, ὅτι τρανότητα περὶ λόγους καὶ δεινότητά τινα περιττὴν χρὴ προσεῖναι ταῖς γυναιξίν, εἴπερ φιλοσοφήσουσι καὶ γυναῖκες· οὐδὲ γὰρ ἐπ' ἀνδρῶν ἐγὼ πάνυ τι τοῦτο ἐπαινῶ· ἀλλ' ὅτι ἤθους χρηστότητα καὶ καλοκαγαθίαν τρόπου κτητέον ταῖς γυναιξίν· ἐπειδὴ καὶ φιλοσοφία καλοκαγαθίας ἐστὶν ἐπιτήδευσις, καὶ οὐδὲν ἕτερον.

124 Θεοφράστου.

Δοκεῖ γὰρ ἡ παιδεία, καὶ τοῦτο πάντες ὁμολογοῦσιν, [r]ἡμεροῦν τὰς ψυχὰς, ἀφαιροῦσα τὸ θηριῶδες καὶ ἄγνωμον, ὅθεν καὶ τὰ ἤθη κοινότερα καὶ ὑγρότερα γίνεται· τοῖς μὲν γὰρ πολλοῖς οὐκ ἄν τις ἴσως ἐπιτιμώη διὰ τὸ μὴ ἔχειν ἐξουσίαν, ὅσοι δὲ τραφέντες ἐλευθέρως, καὶ χορηγίαν ἔχοντες ἱκανὴν ὡς εἰς ὁποιονοῦν βίον ἐλθεῖν, ἄσκεπτοι περὶ τοῦ ἀρίστου τυγχάνουσι, τούτοις ἤδη δίκαιον ἐγκαλεῖν. Ἄτοπον γὰρ ὡς ἀληθῶς, [s]εἰ αἱρέσεως αὐτοῖς διδομένης πόλιν μὲν ἂν ἕλοιντο τὴν ἐνδοξοτάτην, καὶ φίλους καὶ οἰκείους τοὺς ἀρίστους, βίον δὲ ἐξὸν ἑλέσθαι τὸν ἄριστον, κατολιγωρήσαντες τούτου, πρὸς τὸ τυχὸν τὰ ἑαυτῶν ἀποδιδοίησαν, μηδὲ εἰς αὐτὸ τὸ κρίνειν καὶ σκοπεῖν ἐλθόντες· ἀλλ' ὁδὸν μὲν βαδίζειν εἰ δέοι, ἄλλων πύθοιντ' ἂν πολλάκις, καὶ ἀναζητήσαιεν ἡγεμόνα μεθ' οὗ ποιήσαιντο τὴν κομιδὴν ἀσφαλῶς, ὑπὲρ δὲ τοῦ βίου παντὸς, τὸ λεγόμενον δὴ τοῦτο, κινδυνεύοντες, οὐδενὶ [t]κοινωσόμενοι πρὸς τὸν χείριστον, ἂν οὕτω τύχῃ, προσπίπτουσι· καὶ μὴν καὶ πολλῷ γ' [u]ἐπισφαλεστέρα τῆς διαιρέσεως ἡ ἐκτροπὴ τῷ μὴ τὴν ὀρθὴν βαδίζοντι· καὶ γὰρ αἱ βλάβαι μεγάλαι, καὶ ἡ ἀναστροφὴ χαλεπὴ, μᾶλλον δὲ σχέδον [x]ἀδύνατος· οὐδὲ γὰρ ὁ χρόνος δίδωσιν ἐξουσίαν μεταθέσεως, οὔθ' ἡ φύσις δύναται μεταμανθάνειν τὸ βέλτιον ὅτ' ἂν ἐντραφῇ τοῖς χείροσιν, ἀλλὰ προαιρεῖται καὶ ἑτερά γε

[r] ἡμεροῦς ms.
[s] ἢ αἱρέσεως ὡς αὐτοῖς ms.
[t] κοινωσάμενοι ms.
[u] ἐπασφαλεστέρα ms.
[x] ἀδυνάτως· οὔτε ms.

προκρίνει βελτίω· καταζῇ δὲ ὅμως ἐν τοῖς εἰωθόσιν· ἀλλ' ὅπερ πολλάκις λέγεται, τοῦτο ἀληθὲς [y]ἔοικεν εἶναι, διότι πάντες ἥκιστα περὶ ἑαυτῶν βουλεύονται.

125 Μουσωνίου ἐκ τοῦ, Ὅτι οὐ δεῖ πολλαῖς ἀποδείξεσι πρὸς ἓν πρᾶγμα χρήσασθαι.

Λόγου δέ ποτε γενομένου περὶ ἀποδείξεων, [z]ἃς χρὴ ἀκούειν τοὺς νέους παρὰ τῶν φιλοσόφων πρὸς κατάληψιν ὧν μανθάνουσιν, ἔφη ὁ Μουσώνιος, οὐχὶ πολλὰς ἐφ' ἑκάστου πράγματος ζητεῖν [a]ἀποδείξεις προσήκειν, ἀλλ' ἀνυσίμους καὶ ἐναργεῖς. Οὔτε γὰρ ἰατρὸς ἐκεῖνος, ἔφη, ἐπαινετὸς ὁ φάρμακα πολλὰ προσφέρων τοῖς νοσοῦσιν, ἀλλ' ὁ δι' ὀλίγων ὧν προσφέρει λόγου ἀξίως ὠφελῶν· οὔτε φιλόσοφος ὁ διὰ πολλῶν ἀποδείξεων διδάσκων τοὺς ἀκούοντας, ἀλλ' ὁ δι' ὀλίγων ἐπάγων αὐτοὺς ἐφ' ὃ μέντοι βούλεται· καὶ ὁ ἀκουστὴς ὅσῳπερ ἂν ᾖ συνετώτερος, τοσούτῳ μειόνων δεήσεται τῶν ἀποδείξεων, καὶ τοσοῦτον θᾶττον συναινέσει τῷ κεφαλαίῳ τοῦ λόγου, ὄντί γε ὑγιῶς[b]. Ὅστις [c]δὲ πανταχοῦ δεῖται ἀποδείξεως, καὶ ὅπου σαφῆ τὰ πράγματά ἐστιν, εἰ διὰ πολλῶν ἀποδείκνυσθαι βούλεται αὐτῷ τὰ δι' ὀλίγων δυνάμενα, παντάπασιν ἄτοπος καὶ δυσμαθής. Θεοὺς μὲν οὖν [d]οὐκ εἰκὸς οὐδεμιᾶς ἀποδείξεως δεῖσθαι πρὸς οὐδέν, ὅτι μήτε ἀσαφὲς μήτε ἄδηλόν ἐστιν αὐτοῖς μηδέν· [e]πρὸς μόνα δὲ τῶν ἀποδείξεων· τοὺς δὲ ἀνθρώπους ἀνάγκη τὰ μὴ φανερὰ μηδ' αὐτόθεν γνώριμα διὰ τῶν φανερῶν καὶ προδήλων

y ἔοικεν] εἴοκεν ms.

z ἃς] ἃ ms.

a Sic plane ms. non ἐπιδείξεις ut ex eo Wyttenbach.

b ὄντί γε ὑγιῶς· legendum vel ἔχοντί γε ὑγιῶς, vel ὄντί γε ὑγιεῖ. i. e. *eo citius assentietur placito, siquidem verum sit.* WYTT. Supra l. τοσούτῳ.

c δὴ ms.

d οὐκ delendum. WYTT.

e πρὸς μόνα δὲ τῶν ἀποδείξεων. Legendum videtur, πρὸς ἃ μόνα δεῖ τῶν ἀποδείξεων· i. e. *ad quæ, nimirum incertas et obscuras res, sola opus est demonstrationibus.* WYTT.

ζητεῖν ἀνευρίσκειν, ὅπερ ἔργον ἀποδείξεώς ἐστιν. Οἷον, ὅτι ἡδονὴ οὐκ ἔστιν ἀγαθὸν, αὐτόθεν μὲν οὐ δοκεῖ εἶναι γνώριμον, ἐπείπερ ἔργῳ προσκαλεῖται ἡμᾶς, ὡς ἀγαθὸν οὖσα, ἡ ἡδονή· λαβόντος δέ τινος λῆμμα γνώριμον, τὸ, πᾶν ἀγαθὸν αἱρετὸν εἶναι, καὶ προσλαβόντος ἕτερον γνώριμον τούτῳ, τὸ, τινὰς ἡδονὰς οὐχ αἱρετὸν εἶναι, ἀποδεικνύομεν τὸ μὴ ἀγαθὸν εἶναι τὴν ἡδονὴν, διὰ τῶν γνωρίμων τὸ μὴ γνώριμον. Πάλιν ὡς ὁ πόνος οὐκ ἔστι κακὸν, αὐτόθεν μὲν οὐ φαίνεται πιθανόν· τοὐναντίον γὰρ τούτου δοκεῖ πιθανώτερον, τὸ κακὸν εἶναι τὸν πόνον· τεθέντος δὲ φανεροῦ λήμματος, τοῦ, πᾶν τὸ κακὸν
[p. 151 b] φευκτὸν εἶναι, καὶ προστεθέντος αὐτῷ φανερωτέρου, τοῦ, πόνους πολλοὺς οὐκ εἶναι φευκτοὺς, περαίνεται τὸ μὴ κακὸν εἶναι τὸν πόνον. Τοιούτου δ' ὄντος τοῦ γένους τοῦ τῆς ἀποδείξεως, ἐπειδὴ τῶν ἀνθρώπων οἱ μὲν ὀξύτεροι οἱ δ' ἀμβλύτεροί εἰσι, καὶ οἱ μὲν ἐν ἔθεσι κρείττοσιν, οἱ δὲ ἐν χείροσι τεθραμμένοι, οἱ μὲν ἤθους ἢ φύσεως ὄντες χειρόνων, πλειόνων δέοιντ' ἂν ἀποδείξεων καὶ πραγματείας μείζονος, ὥστε δέξασθαι ταυτὶ τὰ δόγματα καὶ τυπωθῆναι κατὰ ταῦτα, καθάπερ οἶμαι καὶ τὰ πονηρὰ τῶν σώματων, ὁπόταν μέλλοι [f] κακῶς ἕξειν, πάνυ πολλῆς ἐπιμελείας δεῖται· ὅσοι δὲ τῶν νέων εὐφυέστεροι καὶ ἀγωγῆς μετεσχηκότες κρείττονος, οὗτοι ῥᾴον τε καὶ θᾶττον καὶ δι' ὀλίγων ἀποδείξεων συναινοῖεν ἂν τοῖς λεγομένοις ὀρθῶς καὶ ἀκολουθοῖεν. Ὅτι δ' οὕτως ἔχει ταῦτα, γνοίημεν ἂν ῥᾳδίως, εἰ νοήσαιμεν μειράκιον ἢ νεανίαν, τὸν μὲν ἐν τρυφῇ πάσῃ τεθραμμένον καὶ τό τε σῶμα τεθηλυμένον καὶ τὴν ψυχὴν ἐκλελυμένον ὑπὸ ἐθῶν ἀγόντων εἰς μαλακίαν, ἔτι δὲ νωθῆ παρεχόμενον καὶ δυσμαθῆ τὴν φύσιν· τὸν δὲ αὖ Λακωνικῶς πως [g] ἠγωνισμένον,

[f] κακῶς. Immo καλῶς· *si debent se bene habere:* i. e. *si ad sanum habitum redigenda sunt.* WYTT.

[g] ἠγωνισμένον. Auctor scripsisse videtur ἠγμένον, *educatum.* WYTT.

καὶ τρυφᾶν οὐκ εἰθισμένον, καὶ καρτερεῖν μεμελετηκότα, καὶ τῶν λεγομένων ὀρθῶς εὐήκοον ὄντα· εἶτα τοὺς δύο τούτους νεανίας εἰ θείημεν ἀκούοντας φιλοσόφου λέγοντος περὶ θανάτου, περὶ πόνου, περὶ πενίας, περὶ τῶν ὁμοίων, ὡς οὐ κακῶν ὄντων· πάλιν δ' αὖ περὶ ζωῆς, περὶ ἡδονῆς, περὶ πλούτου, περὶ παραπλησίων τούτοις, ὡς οὐκ ἀγαθά ἐστιν, ἆρά γε ὁμοίως ἄμφω προσήσονται τοὺς λόγους, καὶ παραπλησίως ἑκάτερος πιθοῖτο τοῖς λεγομένοις; Οὐκ ἔστιν εἰπεῖν. Ἀλλ' ὁ μὲν μόγις καὶ βραδέως καὶ ὥσπερ μοχλευόμενος ὑπὸ μυρίων λόγων τάχ' ἂν ἐπινεύσειεν, ὁ νωθέστερος· ὁ δ' αὖ ταχέως καὶ ἑτοίμως δέξεται τὰ λεγόμενα ὡς οἰκεῖα καὶ προσήκοντα αὐτῷ, μήτε ἀποδείξεων δεόμενος πολλῶν, μήτε πραγματείας [h]μείζονος. [i]Ἡ ὁ τοιοῦτος παῖς ἐκεῖνος ὁ Λάκων, ὃς Κλεάνθην τὸν φιλόσοφον ἠρώτησεν εἰ ἀγαθὸν ὁ πόνος ἐστίν· οὕτω γὰρ ἐκεῖνος φαίνεται φύσει πεφυκὼς καλὸς καὶ τεθραμμένος εὖ πρὸς ἀρετήν, ὥστε ἔγγυον εἶναι νομίζειν τὸν πόνον τῆς τ' ἀγαθοῦ φύσεως καὶ τῆς τοῦ κακοῦ· ὥστε ὡς ὁμολογουμένου τοῦ μὴ κακὸν [k]ὑπάρχειν αὐτὸν ἢ ἀγαθόν, τυγχάνει ὧν ἐπυνθάνετο. Ὅθεν καὶ ὁ Κλεάνθης ἀγασθεὶς τοῦ παιδός, εἶπεν ἄρα πρὸς [l]αὐτόν,

Αἵματος εἰς ἀγαθοῖο, [m]φίλον τέκος, οἵ' ἀγορεύεις.

[h] Oratio multis partibus turbata. Primum, continuanda sic: μείζονος ἢ ὁ τοιοῦτος—i. e. *neque labore majore opus habebit, quam puer ille talis Laco.* Deinde, ὥστε ἔγγυον νομίζειν εἶναι τὸν πόνον τῆς τ' ἀγαθοῦ φύσεως καὶ τῆς τοῦ κακοῦ, legendum—τῆς τε τοῦ ἀγαθοῦ φ. κ. τ. τ. κ. *ut existimaret, laborem esse sponsorem naturæ et boni et mali hominis:* quod nec sic quidem pro solita Musonii perspicuitate dictum est. Tum, in τυγχάνει ὧν ἐπυνθάνετο, *adipiscitur, quæ interrogabat:* quod nullam habet idoneam sententiam: desideratur quid hujusmodi, τυγχάνει οἰκεῖος ὢν ὧν ἐπυνθάνετο, i. e.: *jam familiaris rei, de qua interrogabat.* Porro in Laconis ad Cleanthem *interrogatione*, non satis certa est significatio bonæ naturæ: at fuisset in *asseveratione:* quæ hic nulla apparet. Apud Diogenem Laertium eadem res brevius traditur VII. 172: Λάκωνος τινὸς εἰπόντος, ὅτι ὁ πόνος ἀγαθόν· διαχυθείς (Κλεάνθης) φησιν, Αἵματος εἰς ἀγαθοῖο, φίλον τέκος· WYTT.

[i] ἢ ὁ] ἦν Halmius.

[k] ὑπάρχειν αὐτὸν, εἰ ἀγαθὸν τυγχάνει ὤν, Halmius.

[l] Αἵματος—. Od. Δ. 611. WYTT.

[m] φίλος ms.

Πῶς οὖν ὁ τοιοῦτος οὐ ῥᾳδίως ἐπείσθη ἂν μήτε πενίαν, μήτε θάνατον δεδιέναι, μήτ' ἄλλο μηδὲν τῶν δοκούντων [n]φανερῶν, [o]μήτ' αὖ διώκειν πλοῦτον, ἢ ζωὴν, ἢ ἡδονήν;

Ἵνα δὲ ἐπὶ τὴν ἀρχὴν ἐπανέλθω τοῦ λόγου, φημὶ δεῖν τὸν διδάσκαλον τοῦ φιλοσόφου μὴ λόγων πλῆθος [p]μήτ' ἀποδείξεων ζητεῖν διεξιέναι πρὸς τοὺς μανθάνοντας, ἀλλὰ καιρίως περὶ ἑκάστου λέγειν καὶ καθικνεῖσθαι τῆς διανοίας τοῦ ἀκούοντος, καὶ [q]* * * στικὰ εἶναι λέγειν καὶ ἀνατραπῆναι μὴ ῥᾴδια· καὶ μάλιστά γε τῷ παρέχειν αὐτὸν περί γε τῶν χρησιμωτάτων λέγοντα, καὶ ὁμολογούμενα οἷς λέγει πράττοντα, τούτῳ μεταχειριζόμενον τοὺς ἀκούοντας· τὸν δὲ μαθητὴν ἐντετάσθαι πρὸς τὰ λεγόμενα, καὶ σκοπεῖν μὲν ὅπως μὴ λάθῃ ψεῦδός τι παραδεξάμενος· τῶν δὲ ἀληθῶν μὴ μὰ Δία πολλὰς ζητεῖν ἀποδείξεις ἀκούειν, ἀλλ' ἐναργεῖς· καὶ ἅπερ ἂν πεισθῇ τῶν παραινουμένων ἑαυτῷ εἶναι καὶ ἀληθῆ, τούτοις ἐπακολουθεῖν ἐν τῷ βίῳ. Οὕτω γὰρ μόνως ἔσται τις ἐκ φιλοσοφίας ὠφελημένος, ἂν οἷς παραδέδεκται λόγοις οὖσιν ὑγιέσι τὰ ἔργα παρέχηται συνῳδά.

126 Μουσωνίου ἐκ τοῦ Ὅτι καὶ γυναιξὶ φιλοσοφητέον.

Ἐπεὶ δ' ἐπύθετό τις αὐτοῦ, εἰ καὶ γυναιξὶ φιλοσοφητέον, οὕτω πως ἤρξατο διδάσκειν ὡς φιλοσοφητέον αὐταῖς. Λόγον μέν, ἔφη, τὸν αὐτὸν εἰλήφασι παρὰ θεῶν αἱ γυναῖκες τοῖς ἀνδράσιν, ᾧ τε χρώμεθα πρὸς ἀλλήλους, καὶ καθ' ὃν διανοούμεθα περὶ ἑκάστου πράγματος, [r]ἀγαθὸν ἢ κακόν ἐστι, καὶ καλὸν ἢ αἰσχρόν. Ὁμοίως δὲ καὶ [s]αἰσθήσεις τὰς αὐτὰς ἔχει τὸ θῆλυ τῷ ἄρρενι, ὁρᾶν, ἀκούειν, ὀσφραίνεσθαι,

[n] *φανερῶν*· Corrigendum, *φοβερῶν*. WYTT.

[o] *μηδὲ* ms.

[p] *μηδ'* ms.

[q] Lacuna exstat in codice scripto, cui explendæ quum multæ rationes excogitari possint, una ex his non inepta memoretur, *καὶ πείθειν τῷ κατασκευαστικὰ εἶναι ἃ λέγει καὶ ἀνατραπῆναι μὴ ῥ. et persuadeat per id, quod ea quæ dicit demonstrantia sint, nec facile refellantur*—. WYTT.

[r] *ὅτι* excidisse videtur. WYTT. *εἰ* Halmius.

[s] *αἰσθήσει* ms.

καὶ τὰ ἄλλα. Ὁμοίως δὲ καὶ μέρη σώματος τὰ αὐτὰ ὑπάρχει ἑκατέρῳ, καὶ οὐδὲν θατέρῳ πλέον. Ἔτι δὲ [t]ὀρέξεις καὶ οἰκειώσεις φύσει πρὸς ἀρετὴν οὐ μόνον γίνεται τοῖς ἀνδράσιν, ἀλλὰ καὶ γυναιξίν· οὐδὲν γὰρ ἧττον αὗταί γε τῶν ἀνδρῶν τοῖς μὲν καλοῖς καὶ δικαίοις ἔργοις ἀρέσκεσθαι πεφύκασι, τὰ δὲ ἐναντία τούτων προβάλλεσθαι. Τούτων δὲ ταύτῃ ἐχόντων, διὰ τί πρότερον τοῖς μὲν ἀνδράσι προσήκοι ἂν ζητεῖν καὶ σκοπεῖν ὅπως βιώσονται καλῶς, ὅπερ τὸ φιλοσοφεῖν ἐστὶ, γυναιξὶ δὲ οὐ πρότερον; ὅτι ἄνδρας μὲν προσ-
[p. 152] ήκει ἀγαθοὺς εἶναι, γυναῖκας δὲ οὔ; Σκοπῶμεν δὲ καὶ καθ' ἓν ἕκαστον τῶν προσηκόντων γυναικὶ τῇ ἐσομένῃ ἀγαθῇ· φανεῖται γὰρ [u]τὸ φιλοσοφίας τούτων ἕκαστον μάλιστ' ἂν αὐτῇ περιγενόμενον. Αὐτίκα δεῖ οἰκονομικὴν εἶναι τὴν γυναῖκα, καὶ ἐκλογιστικὴν τῶν οἴκῳ συμφερόντων, καὶ ἀρχικὴν τῶν οἰκετῶν. Ταῦτα δ' ἐγὼ φημὶ τῇ φιλοσοφούσῃ ὑπάρξαι ἂν μάλιστα· [x]εἴγε ἕκαστον μὲν τούτων μέρος τοῦ βίου ἐστὶν, ἐπιστήμη δὲ περὶ βίον οὐχ ἑτέρα τις [y]ἢ [z]φιλοσοφία ἐστὶ, καὶ ὁ φιλόσοφος, ὡς γὰρ ἔλεγε Σωκράτης, τοῦτο διατελεῖ σκοπῶν,

[a]Ὅττι τοι ἐν μεγάροισι κακόν τ' ἀγαθόν τε τέτυκται.

Ἀλλὰ δεῖ δὴ καὶ σώφρονα εἶναι τὴν γυναῖκα· οἵαν καθαρεύειν μὲν ἀφροδισίων παρανόμων, καθαρεύειν δὲ τῆς περὶ τὰς ἄλλας ἡδονὰς ἀκρασίας, μὴ δουλεύειν ἐπιθυμίαις, μηδὲ φιλόνεικον εἶναι, μὴ πολυτελῆ, μὴ καλλωπίστριαν. Ταῦτα μὲν ἔργα τῆς σώφρονός ἐστι· καὶ ἔτι πρὸς τούτοις ἐκεῖνα· κρατεῖν μὲν ὀργῆς, μὴ κρατεῖσθαι δὲ ὑπὸ λύπης, κρείττονα δὲ πάθους παντὸς εἶναι. Ταῦτα δ' ὁ φιλόσοφος παρεγγυᾷ λόγος· ὁ δὲ μαθὼν αὐτὰ καὶ ἀσκήσας, ἐμοὶ μὲν δοκεῖ γε-

[t] ὄρεξις et mox οἰκείωσις Halmius.
[u] Forte, γὰρ διὰ φιλοσοφίας. WYTT.
[x] μάλιστ' αἰεί γε ἕκαστον (sic) ms.
[y] Ms. ἡ. WYTT.
[z] ἢ φιλοσοφία. ὁ φιλόσοφος γὰρ ὡς ἔλεγε Σ. Halmius.
[a] Homer. Odyss. Δ. 392. ὅτι—μεγάροις ms.

νέσθαι ἂν κοσμιώτατος, [b]ἐπὰν ἀνὴρ [c]εἴη εἴτε γύνη. Τί οὖν; ταῦτα μὲν ταύτῃ ἔχει· δίκαια δ' οὐκ ἂν εἴη γύνη φιλοσοφοῦσα, οὐδ' ἄμεμπτος βίου κοινωνὸς, οὐδ' ὁμονοίας ἀγαθὴ συνεργὸς, οὐδ' ἀνδρὸς καὶ τέκνων ἐπιμελὴς κηδεμὼν, οὐδὲ φιλοκερδείας ἢ πλεονεξίας πάντη καθαρά. Καὶ τίς ἂν μᾶλλον τῆς φιλοσόφου τοιαύτη γένοιτο, ἥν γε ἀνάγκη πᾶσα, εἴπερ εἴη τὸ ἴσον [d]φιλόσοφον, τὸ μὲν ἀδικεῖν τοῦ ἀδικεῖσθαι χεῖρον νομίζειν, ὅσῳπερ αἴσχιον· τὸ δὲ ἐλαττοῦσθαι τοῦ πλεονεκτεῖν κρεῖττον ὑπολαμβάνειν· τὸ δὲ καὶ τέκνα μᾶλλον ἀγαπᾶν ἢ τὸ ζῆν. Τῆς δὲ ἐχούσης οὕτω, τίς ἂν εἴη γύνη δικαιοτέρα; Καὶ μὴν καὶ ἀνδρειοτέραν εἶναι προσήκει γυναῖκα τῆς ἀπαιδεύτου τὴν πεπαιδευμένην, καὶ τὴν φιλόσοφον τῆς ἰδιώτιδος· ὡς μήτε θανάτου φόβῳ, μήτε ὄκνῳ τῷ πρὸς πόνον ὑπομεῖναί τι αἰσχρὸν, μηδὲ ὑποπτῆξαι μηδενὶ ὅτι εὐγενὴς, ἢ ὅτι δυνατὸς, ἢ ὅτι πλούσιος, ἢ καὶ νὴ Δία ὅτι τύραννος. Ὑπάρχει γὰρ αὐτῇ μεμελετηκέναι μέγα φρονεῖν, καὶ τὸν μὲν θάνατον ἡγεῖσθαι μὴ κακὸν, τὴν δὲ ζωὴν μὴ ἀγαθόν· ὡσαύτως δὲ καὶ τὸν μὲν πόνον μὴ ἐκτρέπεσθαι, τὴν δὲ ἀπονίαν μὴ διώκειν ἐξ ἅπαντος. Ὅθεν εἰκὸς εἶναι τὴν γυναῖκα ταύτην καὶ αὐτουργικὴν καὶ κακόπαθον, οἵαν ἃ μὲν ἂν τέκῃ τρέφειν μαστῷ τῷ ἑαυτῆς, τῷ δὲ ἀνδρὶ ὑπηρετεῖν χερσὶ ταῖς ἑαυτῆς· ἃ δὲ δουλικὰ νομίζουσιν ἔνιοι, ταῦτα ἀόκνως ποιεῖν. Ἆρ' οὐκ ἂν ἡ τοιαύτη γύνη μέγα μὲν ὄφελος εἴη τῷ γεγαμηκότι, [e]κόσμιος δὲ τοῖς προσήκουσι [f]γένει, παράδειγμα δὲ χρηστὸν ταῖς ἐπισταμέναις αὐτήν. Ἀλλὰ νὴ Δία, φασί τινες, ὅτι αὐθάδεις ὡς ἐπὶ πολὺ καὶ θρασείας εἶναι ἀνάγκη τὰς προσιούσας τοῖς φιλοσόφοις γυναῖκας, ὅταν ἀφεμέναι τοῦ οἰκουρεῖν ἐν μέσοις ἀναστρέφωνται τοῖς ἀνδράσι, καὶ μελετῶσι λόγους, καὶ σοφίζωνται, καὶ

[b] Lege, εἴτε. WYTT.
[c] εἴη] τε ἥ Halmius.
[d] Ms. φιλόσοφος. WYTT.
[e] κόσμος δὲ ἥ Halmius.
[f] Videtur quid excidisse. WYTT.

ἀναλύωσι συλλογισμοὺς, δέον οἴκοι καθημένας ταλασιουργεῖν. Ἐγὼ δὲ οὐχ ὅπως τὰς γυναῖκας τὰς φιλοσοφούσας, ἀλλ' οὐδὲ τοὺς ἄνδρας ἀξιώσαιμ' ἂν, ἀφεμένους τῶν προσηκόντων ἔργων, εἶναι πρὸς λόγους μόνον· ἀλλὰ καὶ ὅσους μεταχειρίζονται λόγους, τῶν ἔργων φημὶ δεῖν ἕνεκα μεταχειρίζεσθαι αὐτούς. Ὥσπερ γὰρ ἰατρικοῦ λόγου [g]ὄφελος οὐδὲν, ἐὰν μὴ πρὸς ὑγίειαν φέρῃ σώματος ἀνθρώπου, οὕτως οὐδ' εἴ τινα φιλόσοφος ἔχει ἢ διδάσκει λόγον, οὐδὲν ὄφελος αὐτοῦ, ἐὰν μὴ φέρῃ πρὸς ἀρετὴν ψυχῆς ἀνθρωπίνης. Πρὸ παντὸς δὲ σκοπεῖν τὸν λόγον χρὴ, ᾧ ἕπεσθαι τὰς φιλοσοφούσας ἀξιοῦμεν, εἰ δύναται θρασείας ποιεῖν, [h]ὁ τὴν αἰδῶ μέγιστον ἀποφαίνων [i]ἀγαθόν· εἰ ζῆν ἰταμώτερον ἐθίζει, ὁ καταστολὴν πλείστην ὑφηγούμενος· εἰ μὴ διδάσκει σωφρονεῖν, ὁ κακὸν ἀποδεικνὺς ἔσχατον τὴν ἀκολασίαν· εἰ μὴ προτρέπει οἰκονομεῖν, ὁ παριστὰς ἀρετὴν εἶναι τὴν οἰκονομικήν· καὶ στέργειν δὲ καὶ αὐτουργεῖν ὁ τῶν φιλοσόφων λόγος παρακαλεῖ τὴν γυναῖκα.

127 Ξενοφῶντος ἐν δ' Σωκρατικῶν ἀπομνημονευμάτων. [IV. 7, 2.]

[p. 152b] Γεωμετρίαν μέχρι μὲν τούτου ἔφη δεῖν μανθάνειν κ. τ. λ.

128 Τοῦ αὐτοῦ ἐκ τῆς πρὸς Ἀγεσίλαον ἐπιστολῆς.

Ἀπέστειλάς μοι δεόμενος παρὰ σὲ ἰέναι, φάσκων ἐθέλειν περὶ τοῦ υἱέος συμβουλεύεσθαι ὅπη τε καὶ ὅπως ζῶν τὰ Λακωνικὰ ἤθη καὶ ξενικῶν παιδευμάτων κοινωνήσοι· κάμνω δὲ οὐ μετρίως κἀγώ· καὶ γὰρ τῆς ἡλικίας, ὥσπερ οἶσθα, πόρρω ἥκω, καὶ οἱ ἰατροὶ εὐθυμίας τὶ φροντίζουσιν, ὡς ἐμοῦ βουλευομένου ἄλλο τὶ ἢ ζωὴν δικαίαν αἱρουμένου, θάνατόν τε μέχρι μὴ αἰσχρός ἐστι τιμῶντος· ἀλλ' εἰ μὲν σωζοίμεθα ἅπερ ἀπέστειλα, διὰ στόματος καὶ συγγινομένων ἀκούσῃ ἡμῶν· εἰ δέ τι εἰωθότων ἔσοιτο καλὸν, τόδε σοι δίδαγμα

[g] ὄφελος ms. [h] ὅταν] Lege ὁ τὴν. WYTT.
[i] Ms. ἀγαθόν τι ζῆν. WYTT.

ἔστω ἡ ἐπιστολὴ φράζουσα ὑπὲρ ὧν μαθεῖν ἠβουλήθης. Νόμος μὲν πρὸς τὸ εἰκὸς ἄγων, ὦ Ἀγεσίλαε, ἀνθρώπου δόγμα πάντως· παντὸς δὲ ἀμείνω ὧν Λυκοῦργος εὗρε· νόθα δὲ ἐπὶ νόθοις θηρεύειν κενὸς ὁ πόνος. Μηθὲν οὖν ἀνθρώπινον παίδευμα τῷ παιδὶ ἐπίφερε, ἴθι δὲ ἐπὶ τὸν [j]δεύτερον μὲν ἀναγεγραμμένον, πρῶτον δὲ καὶ μόνον ἐν θεοῖς κείμενον, ὅς ἐστι νοῦς ἐπιστήμων κατὰ τὰ αὐτὰ ὡσαύτως ἔχων. Πόθεν δὲ, ὦ γενναῖε, φύσεις ἐστὶ τοῦτον λαβεῖν, παρὰ φιλοσόφων ἀνδρῶν οὓς θείους λέγων, ὅσια εἴσομαι. Τούτων γὰρ νόμος οὐδεὶς ἄρξει γραφεὶς ὑπὸ φαύλων ἀνδρῶν δόξῃ ψευδεῖ ἐπικεχρωσμένος. Τὸ δὲ ξυγγενὲς τῆς φύσεως ἄγει πρὸς τὰ κρείττω μαθήματα· φεύξῃ τε φωραθεὶς παρανόμων δίκην· οὐ γὰρ ἀνθρωπίνων νόμων ἐραστὴν ἁλώσῃ, οὐδὲ ξενικῶν ἔσῃ ἐπαινέτης· θείων δὲ καὶ αἰωνίων παντὸς πάντη ἀξιομαθήτορον (sic) εἶναι νομιζομένων. Ὁδὸς μὲν οὖν ὧδέ σοι δεδηλώσθω· δύναμαι δέ σοι ἀφηγήσασθαι ὅσον ἀρχῆς ἔρωτα ἐμβάλλει, τὰ δὲ μείζω καὶ πλείω κρειττόνων ἂν εἴη. Τροφὴ μὲν οὖν ἔστω σώματος ἥπερ ἐν λάκκῳ· ψυχῆς δὲ νέας καὶ ἀρτιφυῆς λόγοι ὁδὰς (sic) ἔχοντες ἀνδρῶν ἐπ' ἀρετῇ τὸν βίον διενηνοχότων· παιδεῖαι δὲ ἄκοσμοι, ἢ μῦθοι γραφῶν ἐκβάλλοντες φρόνημα ταπεινὸν, ἀπίτωσαν· τὸ δὲ πλέον ἔστω ἐν ἀνδράσι σώφροσιν, ἔνθα ὅμοια ὄψεται, ἵσά τε ἀκούσεται. Πέφυκε δὲ πάντων μὲν ζώων κρατεῖν τὸ ἔθος, παντὸς δὲ μᾶλλον ἀνθρώπου. Κινδυνεύομεν δὲ, ὦ Ἀγέσιλαε, μιμηταὶ εἶναι τῶν λεγομένων τε καὶ δρωμένων.

129 Πλάτωνος ἐκ τοῦ Σοφιστοῦ. [p. 227 d.]

Δύο μὲν εἴδη κακίας περὶ ψυχῆς ῥητέον κ. τ. λ.

130 Ξενοφῶντος. [Κυνηγ. 12, 14.]

[p. 153 b] Παίδευσις γὰρ καλὴ διδάσκει χρῆσθαι νόμοις καὶ λέγειν περὶ τῶν δικαίων καὶ ἀκούειν κ. τ. λ.

j Hæc vox δεύτερον ita est intricate scripta, ut verear legenda ne sit ita, an μέτρον, an aliter. SARTIUS.

131 [k]Πλουτάρχου.

Ὀνείρῳ ἔοικεν ὁ τῶν ἀπαιδεύτων βίος, κένας ἔχων φαντασίας.

132 Οὔτ' ἐν ἰχθύσι φωνὴν, οὔτ' ἐν ἀπαιδεύτοις ἀρετὴν δεῖ ζητεῖν.

133 Δυσάρεστοι ὄντες οἱ ἀπαίδευτοι καθάπερ ἐξ οἰκιῶν τῶν προαιρέσεων καθ' ἡμέραν μετοικίζονται.

134 Οἱ μὲν ξένοι ἐν ταῖς ὁδοῖς, οἱ δὲ ἀπαίδευτοι ἐν τοῖς πράγμασι διαπλανῶνται[l].

135 [m]Ἰφικράτης. [n]Ἀντισθένης.

136 Ἀριστοτέλους.

[o]Νομίζειν. . . .

137 Δημώνακτος.

Οἱ ἀπαίδευτοι, καθάπερ οἱ ἁλιευόμενοι ἰχθύες, ἑλκόμενοι σιγῶσι.

[. 154b] 138 Ἀρίστιππος παρεκελεύετο τοῖς νέοις τοιαῦτα ἐφόδια κτᾶσθαι, ἅ τινα αὐτοῖς καὶ ναυαγήσασι συνεκκολυμβήσει.

139 Σόλων ὀνειδιζόμενός ποτε ὅτι δίκην ἔχων ἐμισθώσατο ῥήτορα, Καὶ γὰρ, ἔφη, ὅτ' ἂν δεῖπνον ἔχω, μαγεῖρον μισθοῦμαι.

140 Ὁ Λύκων τὴν παιδείαν ἔλεγεν εἶναι ἱερὸν ἄσυλον.

141 Ἐμπεδοκλῆς πρὸς τὸν λέγοντα ὅτι οὐδένα σοφὸν εὑρεῖν δύναμαι, Κατὰ λόγον, εἶπε· τὸν γὰρ ζητοῦντα σοφὸν αὐτὸν πρότερον εἶναι δεῖ σοφόν.

142 Ἀφυοῦς ποιητοῦ ἀκρόασιν ποιουμένου, Θεόκριτος ἐρωτώμενος ὑπ' αὐτοῦ ποῖά ἐστι τὰ καλῶς εἰρημένα, ἔφη, [q]Ἃ παρέλιπες.

143 Ἱέρων ὁ Σικελίας τύραννος, Ξενοφάνους τοῦ Κολοφωνίου ποιητοῦ [p]ψέγοντος Ὅμηρον, ἠρώτησεν αὐτὸν, Πόσους οἰκέτας

[k] Fr. inc. 7.

[l] Plures breves sententias hic se omisisse fatetur Sartius.

[m] Plutarch. II. p. 187 B.

[n] Ut Stob. 3, 46. Maximus c. 134. qui multa habet e seqq.

[o] Ut Stob. 3, 54.

[p] γεγονότος ms.

ἔχεις; Τοῦ δ' εἰπόντος, Δύο, καὶ τούτους μόγις τρέφειν· Οὐκ αἰσχύνῃ, ἔφη, Ὅμηρον ψέγων, ὃς μετηλλαχὼς πλείους ἢ μυρίους τρέφει.

144 Φιλόσοφος ἔχων δύο μαθητὰς ἕνα μὲν ἀφυῆ φιλόπονον δὲ, ἕτερον δὲ εὐφυῆ ἀργὸν δὲ, εἶπεν, Ἀμφότεροι ἀπόλοισθε, ὅτι σὺ μὲν θέλων οὐ δύνῃ, σὺ δὲ δυνάμενος οὐ θέλεις.

145 Ὁ αὐτὸς ἔλεγε μεγάλους δεῖ(ν) λαμβάνειν μισθοὺς μαθητῶν τοὺς διδασκάλους, παρὰ μὲν τῶν εὐφυῶν ὅτι πολλὰ μανθάνουσι, παρὰ δὲ τῶν ἀφυῶν ὅτι πόλυν κόπον παρέχουσιν.

146 Ὁ αὐτὸς ἐρωτηθεὶς τί αὐτῷ γέγονεν ἐκ φιλοσοφίας, ἔφη, Τὸ ἀνεπίτακτα ποιεῖν ἃ τινὲς διὰ τὸν ἐκ τῶν νόμων φόβον ποιοῦσιν.

147 Φιλιστίωνος.

Τὰ σπουδαῖα μελέτα, καὶ ἐάν τι παρημακὼς μανθάνῃς, μὴ αἰσχύνου· βέλτιον γὰρ ὀψιμαθῆ καλεῖσθαι ἢ ἀμαθῆ.

148 Ὁ μὲν γεωργὸς τὴν γῆν, ὁ δὲ φιλοσοφῶν τὴν ψυχὴν ἐξημεροῖ.

149 Νεανίσκου ἐν θεάτρῳ ἐναβρυνομένου, καὶ λέγοντος σοφὸς εἶναι πολλοῖς ὁμιλήσας σοφοῖς, εἶπέ τις, ὅτι κἀγὼ πολλοῖς πλουσίοις ὡμίλησα, ἀλλὰ πλούσιος οὐκ εἰμί.

150 Ὁ αὐτὸς ἔφη, οὐ καλὸν πεπαιδευμένον [q]ἀπαιδεύτῳ διαλέγεσθαι, ὥσπερ οὐδὲ νήφοντα μεθύοντι.

151 Οἰνοπίδης ὁρῶν μειράκιον πολλὰ βιβλία κτώμενον, ἔφη, μὴ τῷ κιβωτίῳ, ἀλλὰ τῷ στήθει.

152 Ὁ αὐτὸς ἔλεγε τὰ βιβλία τῶν μεμαθηκότων μὲν ὑπομνήματα εἶναι, τῶν δὲ ἀμαθῶν μνήματα.

153 [r]Στίλπων, ἁλούσης αὐτῷ τῆς πατρίδος ὑπὸ Δημητρίου τοῦ τυράννου καὶ διαρπαγείσης, ἀναχθεὶς ἐπὶ τὸν βασιλέα,

q ἀπαιδεύτῳ] ἐν ἀπαιδεύτῳ ms. p. 208, 46. Wyttenbach. Plutarch.
r Στίλπνων ms. Vid. Maximus p. 5 F.

καὶ ἐρωτηθεὶς εἴ τι δὴ αὐτὸς ἀπώλεσε· Τῶν μὲν ἐμῶν οὐδέν, ἔφη, τὸν γὰρ λόγον καὶ τὴν παιδείαν ἔχω, τὰ δὲ λοιπὰ διὰ τὶ μᾶλλον ἐμὰ, καὶ οὐχὶ τῶν πολιορκούντων;

154 [s]Πρωταγόρας. . . .

155 [t]Βάσσος. . . . Tum ὁ αὐτὸς κ. τ. λ. ut Maximus p. 208, 24.

156 Ἐπικούρου.

Οὐ προσποιεῖσθαι δεῖ φιλοσοφεῖν, ἀλλ' ὄντως φιλοσοφεῖν· οὐ γὰρ προσδεόμεθα τοῦ δοκεῖν ὑγιαίνειν, ἀλλὰ τοῦ κατ' ἀλήθειαν ὑγιαίνειν.

157 [u]Δημάδης . . .

Sequuntur capita 3. item anepigrapha, in quibus nullæ profanorum scriptorum sententiæ, Æliano de Animalibus excepto.

Λόγος ιζ'.

[p. 156 b] [f. ΠΕΡΙ ΦΙΛΑΔΕΛΦΙΑΣ.]

1 [x]Ἀδελφὸς ὑπ' ἀδελφοῦ βοηθούμενος, ὡς πόλις ὀχυρὰ καὶ ὑψηλή· ἰσχύει δὲ ὥσπερ τεθεμελιωμένον βασίλειον.

2 Πᾶς ὁ ἀδελφὸν πτωχὸν μισῶν φιλίας μακράν ἐστι.

3 Κρεῖσσον φίλος ἐγγὺς, ἢ ἀδελφὸς μακρὰν οἰκῶν.

ὡς 84, 1. δεινὸν 84, 3. Ἀθήνησι 84, 7. Καλλίας 84, 8. Οἱ 84, 6. Πλουτ. 84, 9. φιλάδελφον 84, 17. Κύνα 84, 18. Ἱεροκλέους 84, 20. Μουσωνίου 84, 21. Ξενοφῶντος 84, 24.

4 [y]Πλουτάρχου.

Ὁ μὲν Ἀρκαδικὸς μάντις δικαίως πόδα ξύλινον προσεποιήσατο, τοῦ οἰκείου στερηθείς· ἀδελφὸς δὲ πολεμῶν ἀδελφῷ καὶ κτώμενος ὀθνεῖον ἐξ ἀγορᾶς ἑταῖρον, οὐδὲν ἔοι-

[s] Stob. 29, 80.
[t] Stob. 29, 70.
[u] Stob. 29, 91.
[x] Ἀδελφὸς] Proverb. XVIII. 19. Seqq. ib. XIX. 7. XXVII. 10.
[y] Scil. p. 479 B.

κεν ἄλλο ποιεῖν, ἢ σάρκινον καὶ συμφυὲς ἀποκόψας μέλος, ἀλλότριον προστρίβεσθαι προσαρμόττειν.

5 Ἐν τῷ φιλεῖν τὸν ἀδελφὸν μικροῦ τὸν περὶ Διοσκούρων μῦθον οὐ μῦθον ἤλεγξε.

[p. 158] Sequuntur duo capita anepigrapha sine profanorum scriptorum sententiis.

Λόγος κ'.

[z]ΠΕΡΙ ΤΗΣ ΤΩΝ ΑΕΡΩΝ ΚΑΘΗΜΕΡΑΝ ΔΙΑΦΟΡΑΣ.

Ἡμέραν 101, 15. ἐν ἐκ. 101, 17. ὑψηλοὶ 101, 18. Αἰλιανοῦ τοῦ περὶ ζώων ιβ' λόγου.

Sequitur caput anepigraphum sine profanorum sententiis.

Λόγος κβ'.

[a]ΠΕΡΙ ΑΙΔΟΥΣ.

βούλομαι 31, 2. αἰδὼς 31, 1. ὦ πότνι' 31, 3. αἰδὼς 31, 15. αἰδὼς 31, 4. πᾶς 31, 5. αἰδοῖος 31, 13. ἀλλὰ 31, 14. οὐδένα 31, 16. δοκεῖν 31, 17. αἰδοῦς 31, 6. φαῦλον 31, 7. Πυθιὰς 31, 8. τοιαῦτα 31, 9. αἰδοῦ 31, 10. μάλιστα 31, 11. Ζῆνα 31, 12. Πλάτωνος 31, 18.

Λόγος κγ'.

[p. 162 b] [b]ΠΕΡΙ 'ΑΝΑΙΔΕΙΑΣ.

1 Εὐριπίδ. Οὗτοι θράσος 32, 5.

2 Αἰδὼς ἀπώλεσ' αὐτὸν, ἐρρέτω κακή·
πολλὴν γὰρ αὐτὴν δειλὸς ὢν ἐκτήσατο.
Κἀγὼ μετ' ἀνδρῶν ἠνίκ' [c]ηὐτύχουν βίῳ·
τοῖς γὰρ κακῶς πράσσουσιν οἱ σεμνοὶ λόγοι

[z] Commentitium hunc titulum esse suspicor, et reddendum ex Stobæo ΠΕΡΙ ΥΓΙΕΙΑΣ.

[a] Ita Stobæus. Sartius dederat e conjectura περὶ αἰσχύνης ἀγαθῆς.

[b] Caput aliud forte περὶ αἰσχύνης πονηρᾶς. SARTIUS. Convenit cum Stobæi 32. Dedi hinc περὶ ἀναιδείας.

[c] εὐτύχουν ms.

κοσμὸν μὲν ἐνδοίησαν· ἡ δ' εὐπραξία
ξὺν τοῖς ἀναισχύντοισιν ὥρισται βροτῶν.

3 Ὦ παῖ, τὸ δεῖσθαι τῶν πέλας θνητοῖς μέγα
διδασκαλεῖον τῆς ἀναιδείας ἔφυ.

4 Ὁμήρου. [Il. ω'. 44.]

Ὡς Ἀχιλεὺς ἔλεον μὲν ἀπώλεσεν, οὐδὲ οἱ αἰδὼς
γίνεται, ἥτ' ἄνδρας μέγα σίνεται ἠδ' ὀνίνησιν.

5 [d] ωκειῶν.

Αἰδώς τοι ξυνετοῖσιν ἐπὶ βλεφάροισι κάθηται,
ὕβρις δ' ἀξυνέτοισι· σοφὸς δέ κε τοῦτο δαείη.

ἤδη 32,4. ἀπερυθριᾷ 32,1. ὃς 32,2. ἡ μεγίστη 32,7. οὐκ ἔστ' 32,3. ἅπαντ' 32,6. ἅμα 32,8. ἕπεσθαι 32,9.

6 Δημοσθένους. [p. 17, 6.]

Καὶ ἔτι ἡ τῶν πραγμάτων αἰσχύνη οὐδεμιᾶς ἐλάττω ζημίας τοῖς γε σώφροσιν. [p. 43, 5.] Ἐγὼ μὲν οἶμαι τοῖς ἐλευθέροις μεγίστην ἀνάγκην τὴν ὑπὸ τῶν πραγμάτων αἰσχύνην εἶναι.

7 Θουκυδίδου [I. 84.]

Πολέμιοί τε καὶ εὔβουλοι διὰ τὸ εὔκοσμον γινόμεθα, τὸ μὲν ὅτι αἰδὼς σωφροσύνης πλεῖστον μετέχει, αἰσχύνης δὲ εὐψυχία.

8 Οἶμαι δὲ διὰ τὴν ἀναίδειαν μισοῦσι καὶ Βουσιρίται θεραπευταὶ τοῦ Διὸς τὸν ὄρυγα· φασὶ γὰρ Αἰγύπτιοι ὅτι ἀποστραφεὶς πρὸς τὴν ἀνατολὴν τὴν τοῦ ἡλίου τὰ περιττὰ τῆς ἑαυτοῦ τροφῆς ἐκθλίβει. [Ælian. H. A. X. 28.]

Λόγος κδ'.

Caput brevissimum in quo nulli profani scriptores adferuntur.

[e] Λόγος κε'.

1 Ἑτέρων.

[p. 163b] [f] Ἀνδρὸς χαρακτὴρ ἐκ λόγου γνωρίζεται.

[d] ωκειῶν] Lemma ut videtur. Ante ω spatium esse in ms. monet Sartius. Mox ὕβρις—δὲ καὶ ms.

[e] Aliud caput anepigraphum, forte περὶ αἰσθήσεων. Vid. Ecl. Phys. 42. p. 491. In hoc post plurima ex sacris litteris et patribus desumpta subjiciuntur Ἑτέρων κ. τ. λ.

[f] Maxim. p. 278, pen.

2 Φωτίῳ Πατριάρχῃ.

[g] Κατόπτρῳ μὲν ἐμφανίζεται τύπος τῆς μορφῆς τοῦ σώματος, ὁμιλίαις δὲ καὶ λόγοις τὸ τῆς ψυχῆς ἦθος χαρακτηρίζεται.

3 Εἰκόνες οἱ λόγοι τῶν ἐν τῇ ψυχῇ τύπων, οὕσπερ ὁ νοῦς κινούμενος ἐνεγράψατο.

4 Λόγος πολλάκις ἄγγελος διαθέσεως.

5 Στόμα μὲν φωνῆς ὄργανον, φωνὴ δὲ ψυχῆς σκιά.

6 Δημοκράτους.

[h] Φαύλων. . . .

7 Ὥσπερ τῶν δένδρων τὰ καλοὺς φέροντα καρποὺς πρὸ
[p. 164] τῶν καρπῶν καὶ ἐκ τῶν φύλλων δυνατόν ἐστι κατανοεῖν, οὕτως ἐκ τῶν λόγων πρὸ τῶν ἔργων καὶ οἱ πλεῖστοι τῶν ἀνθρώπων διαγινώσκονται.

8 [i] Οἱ Στωϊκοὶ ὁρίζονται οὕτως τὴν αἴσθησιν· Αἴσθησίς ἐστιν ἀντίληψις, δι' αἰσθητηρίου κατάληψις. Πολλαχῶς δὲ λέγεται ἡ αἴσθησις· ἥ τε γὰρ ἕξις, καὶ ἡ δύναμις, καὶ ἡ ἐνέργεια, καὶ ἡ φαντασία, καταληπτικὰ δι' αἰσθητηρίου γίνονται· καὶ αὐτὸ τὸ ἡγεμονικὸν, ἀφ' οὗ πάλιν αἰσθητήρια λέγονται τὰ πνεύματα τὰ νοερὰ, ἀπὸ τοῦ ἡγεμονικοῦ ἐπὶ τὰ ὄργανα τεταμένα.

9 Ἐπίκουρος. Τὸ μόριόν ἐστιν ἡ αἴσθησις, ἥ τις ἐστὶ δύναμις, καὶ τὸ ἐπαίσθημα, ὅπερ ἐστὶ τὸ ἐνέργημα, ὥστε διχῶς παρ' αὐτῷ λέγεσθαι, αἴσθησιν μὲν τὴν δύναμιν, αἰσθητὸν δὲ τὸ ἐνέργημα.

10 Πλάτων τὴν αἴσθησιν ἀποφαίνεται ψυχῆς καὶ σώματος κοινωνίαν πρὸς τὰ ἐκτός· ἡ μὲν γὰρ δύναμις, ψυχῆς, τὸ δὲ ὄργανον, σώματος· ἄμφω δὲ [k] διὰ φαντασίας ἀντιληπτικὰ τῶν ἔξωθεν. Λέγει δὲ ἐν Φιλήβῳ [l] ὧδε· Τῷδε δ' ἐνὶ πάθει τὴν ψυχὴν καὶ τὸ σῶμα κοινῇ γινόμενον κοινῇ καὶ κινεῖσθαι.

g Maxim. p. 277.
h Stob. 5, 25.
i Plutarch. Plac. Phil. IV. 8.
k διὲν ms. l P. 34 A.

Ταύτην δὴ τὴν κίνησιν ὀνομάζων αἴσθησιν οὐκ ἀπὸ τρόπου [m]φθέγγοιο ἄν. Ἀληθέστατον λέγεις.

11 Κατὰ τοὺς Περιπατητικοὺς τετραχῶς· ἐξ οὗ τὸ ἡγεμονικόν, δι' οὗ τὸ ὄργανον καὶ αἰσθητήριον, καθ' ὃ ἡ ἐνέργεια, καὶ ἕνεκα τὸ αἰσθητόν.

12 Λεύκιππος, Δημοκράτης, τὰς αἰσθήσεις καὶ τὰς νοήσεις ἑτεροιώσεις εἶναι τοῦ σώματος.

13 Ἀριστοτέλης τὴν αἴσθησιν ἑτεροίωσιν αἰσθητοῦ καὶ μεσότητα, κοινὴν δὲ αἴσθησιν τὴν τῶν συνθέντων εἰδῶν κριτικήν· εἰς ἣν πάλαι συμβάλλουσιν αἱ ἁπλαῖ τοῖς ἰδίοις ἑκάστη, ἐν ᾗ τὸ μεταβατικὸν ἀφ' ἑτέρου εἰς ἕτερον, οἷον σχήματος κινήσεως σώματος ἐν μεθορίῳ τοῦ λόγου καὶ τοῦ ἀλόγου μνήμης καὶ νοῦ μετέχουσα διατείνουσα καὶ ἐπὶ τὰ ἄλογα τῶν ζώων καθὸ πόσην διανοίας ἀναλογίαν ἔχει· κοινὰ δ' ἐστὶν ὄψεως μὲν καὶ ἁφῆς σχῆμα, ὄψεως δὲ καὶ ἀκοῆς διάστημα, πασῶν δὲ κίνησις καὶ μέγεθος καὶ ἀριθμός.

14 Οἱ Στωϊκοὶ τήνδε τὴν κοινὴν αἴσθησιν ἐντὸς ἀφὴν προσαγορεύουσι, καθ' ἣν καὶ ἡμῶν αὐτῶν ἀντιλαμβανόμεθα.

15 Ἀπελλῆς πλείους αἰσθήσεις εἶναι περὶ τὰ ἄλογα ζῶα.

16 Δημόκριτος πλείους μὲν εἶναι τὰς αἰσθήσεις τῶν αἰσθητῶν, τῷ δὲ μὴ ἀναλογίζειν τὰ αἰσθητά, τῷ πλήθει λανθάνειν· οἱ δὲ ἄλλοι, πασίσους (sic).

17 Οἱ Στωϊκοὶ σωμάτων τὰς αἰσθήσεις ἀπὸ τῶν ἀρχαίων τῶν περὶ τὰ σώματα ἀσωμάτων λόγων, ἅπερ ἤδη σχήματα προσαγορεύουσι.

18 Λεύκιππος, Δημόκριτος, Ἐπίκουρος, τὴν αἴσθησιν καὶ τὴν νόησιν γίνεσθαι εἰδώλων ἔξωθεν προσιόντων· μηδενὶ γὰρ ἐπιβάλλειν μηδετέραν χωρὶς τοῦ προσπίπτοντος.

19 Οἱ ἄλλοι εἰδῶν ἢ σχημάτων ἑτεροίωσιν ἐν πάσῃ τυπώσει ἀπορροίαις πάντα μᾶλλον ἢ εἰδώλοις.

20 Οἱ Στωϊκοὶ πᾶσαν αἴσθησιν εἶναι συγκατάθεσιν καὶ κατάληψιν.

[m] φεύγοιο ms.

21 Οἱ [j] Ἀκαδημαϊκοὶ μὴ εἶναι τὰς αἰσθήσεις μήτε καταλήψεις μήτε συγκαταθέσεις.

22 Οἱ Περιπατητικοὶ οὐκ ἄνευ μὲν συγκαταθέσεως τὰς αἰσθήσεις, οὐ μέντοι συγκαταθέσεις.

23 Πυθαγόρας, Ἐμπεδοκλῆς, Ξενοφάνης, Παρμενίδης, [k] Ζήνων, Μέλισσος, Ἀναξαγόρας, Δημοκράτης, Μητρόδωρος, Πρωταγόρας, Πλάτων, ψευδεῖς εἶναι τὰς αἰσθήσεις.

24 Οἱ ἀπὸ τῆς Ἀκαδημίας ὑγιεῖς μέν, ὅτι δι' αὐτῶν οἴονται λαβεῖν ἀληθινὰς φαντασίας, οὐ μὴν ἀκριβεῖς.

25 Ἀριστοτέλης τὴν αἴσθησιν μὴ πλανᾶσθαι περὶ τὸ ἴδιον, περὶ δὲ τὸ συμβεβηκός.

26 Οἱ Στωϊκοὶ τὰς μὲν αἰσθήσεις ἀληθεῖς, τῶν δὲ φαντα-
[p.164b] σιῶν τὰς μὲν ἀληθεῖς τὰς δὲ ψευδεῖς.

27 Ἐπίκουρος πᾶσαν αἴσθησιν καὶ πᾶσαν φαντασίαν ἀληθῆ, τῶν δὲ δοξῶν τὰς μὲν ἀληθεῖς τὰς δὲ ψευδεῖς. Καὶ ἡ μὲν αἴσθησις μοναχῶς ψευδοποιεῖ τὰ κατανοητά, ἡ δὲ φαντασία διχῶς νοεῖται· καὶ γὰρ αἰσθητόν ἐστι φαντασία καὶ νοητόν.

28 Παρμενίδης, Ἐμπεδοκλῆς, Ἀναξαγόρας, Δημόκριτος, Ἐπίκουρος, Ἡρακλείδης, περὶ τὰς συμμετρίας τῶν πόρων τὰς κατὰ μέρος αἰσθήσεις γίνεσθαι τοῦ οἰκείου τῶν αἰσθητῶν, ἑκάστου ἑκάστην ἀναρμόττοντος.

29 Οἱ Περιπατητικοὶ περὶ τὰς δυνάμεις τῶν αἰσθητηρίων· οἱ μὲν ἄλλοι φύσει τὰ αἰσθητά, Λεύκιππος δὲ, Δημόκριτος καὶ Διογένης νόμῳ, τοῦτο δ' ἐστὶ δόξῃ καὶ πάθεσι τοῖς ἡμετέροις· μηδὲν δ' εἶναι ἀληθὲς μηδὲ καταληπτὸν ἐκτὸς τῶν πρώτων στοιχείων ἀτόμων καὶ κενοῦ· ταῦτα γὰρ εἶναι μόνα φύσεις, τὰ δ' ἐκ τούτων θέσει καὶ τάξει καὶ σχήματι διαφέροντα ἀλλήλων, συμβεβηκότα.

30 Παρμενίδης, Ἐμπεδοκλῆς, ἐλλείψει τροφῆς τὴν ὄρεξιν οἱ τὰ ἄτομα καὶ οἱ τὰ ὁμοιομερῆ καὶ οἱ τὰ ἀμερῆ καὶ τὰ

j Ἀκαδημικοὶ ms. k ξένων ms.

ἐλάχιστα πάντ' ἐν πᾶσι τὰ αἰσθητὰ ἀναμεμίχθαι, καὶ μηδὲν αὐτῶν εἰλικρινὲς ὑπάρχειν· περὶ δὲ τῆς ἐπικρατείας ὀνομάζεσθαι τοῖον ἢ τοῖον καὶ περὶ τὴν πολυαύγειαν.

31 Πυθαγόρας, Πλάτων, καθαρὸν ἕκαστον εἶναι τῶν αἰσθητῶν ἐξ ἑκάστου στοιχείου προσερχόμενον· πρὸς μὲν οὖν τὴν ὅρασιν τὸ αἰθερῶδες πεφυκέναι· πρὸς δὲ τὴν ἀκοὴν, τὸ πνευματικόν· πρὸς δὲ τὴν ὄσφρησιν, τὸ πυρῶδες· πρὸς δὲ τὴν γεῦσιν, τὸ ὑγρόν· πρὸς δὲ τὴν ἁφὴν, τὸ γέωδες.

32 Ἐπίκουρος τῶν αἰσθητῶν ἡδονὰς ἥδη καὶ τὰς λύπας.

33 Οἱ Περιπατητικοὶ τῶν νοητῶν· οὐ γὰρ πᾶσι φαίνεται τὰ αὐτὰ ἡδέα τε καὶ λυπηρὰ, καθάπερ λευκά τε καὶ μέλανα.

34 Χρύσιππος τὸ μὲν γενικὸν ἡδὺ, νοητόν· τὸ δὲ εἰδικὸν καὶ προσπίπτον ἥδη, αἰσθητόν.

35 Ἐμπεδοκλῆς τὰς ἡδονὰς γίνεσθαι τοῖς μὲν ὁμοίοις τῶν ὁμοίων, κατὰ δὲ τὸ ἐλλεῖπον πρὸς τὴν ἀναπλήρωσιν, ὥστε τῷ ἐλλείποντι ἡ ὄρεξις τοῦ ὁμοίου· τὰς δ' ἀλγηδόνας τοῖς ἐναντίοις, ἢ ἀλλοτριοῦσθαι γὰρ πρὸς ἄλλα ὅσα διαφέρει κατά τε τὴν σύγκρισιν καὶ τὴν τῶν στοιχείων κράσιν.

36 Ἀναξαγόρας πᾶσαν αἴσθησιν μετὰ πόνου. Ἄλλοι ἐπιγίγνεσθαι ἤτοι ἡδονὴν ἢ πόνους συμπεφυκέναι.

37 Οἱ Στωϊκοὶ τὸν σοφὸν αἰσθήσει καταληπτὸν ἀπὸ τοῦ εἴδους τεκμηριωδῶς.

38 Οἱ Ἀκαδημαϊκοὶ λόγων γνώριμον . . .

39 Ἐπίκουρος σοφῷ μόνῳ τὸν σοφόν . . .

40 Δημόκριτος τὰ νεκρὰ τῶν σωμάτων αἰσθάνεσθαι.

41 Πλάτωνος ἐκ τοῦ Φαίδωνος. [p. 60 B.]

Ὡς ἄτοπον, ἔφη, ὦ ἄνδρες, ἔοικεν εἶναι τοῦτο ὃ καλοῦσιν οἱ ἄνθρωποι ἡδύ κ. τ. λ.

Sequuntur deinde alia ejusdem ἐκ τοῦ Θεαιτήτου et τοῦ Τιμαίου.

42 Σιμύλου.

[p. 165b] Πέντ' εἰσὶν ἃς ἄνθρωπος αἰσθήσεις ἔχει,
ἀφήν, ὅρασιν, [k ἀκοὴν] γεῦσιν, ὄσφρησιν· μία
τούτων ἁπασῶν ἐστὶ κυριωτάτη
ἀκοή· φαγὼν γὰρ [l οὐδὲ εἷς ἐστὶν σοφὸς,
εἴργεσθαι σαυτόν· ψεῦδος δ' ἦν πέρ τι λέγηται,
πρᾴως εἶχ'. [^]Ο δέ τοι ἐρέω, ἐπὶ παντὶ τελείσθω·
μηδεὶς μήτε λόγῳ σε παρείπῃ, μήτε τι ἔργῳ
πρῆξαι, μὴδ' εἰπεῖν, ὅ τι τοι μὴ βέλτερόν ἐστι.
Βουλεύου δὲ πρὸ ἔργου, ὅπως μὴ μωρὰ πέληται·
(δειλοῦ τοι πρήσσειν τε λέγειν τ' ἀνόητα πρὸς ἀνδρὸς)
ἀλλὰ τάδ' ἐκτελέειν, ἅ σε μὴ μετέπειτ' ἀνιήσῃ.
[g]Πρᾶσσε δὲ μηδὲν τῶν μὴ ἐπίστασαι, ἀλλὰ διδάσκευ
ὅσσα χρεὼν, καὶ τερπνότατον βίον ὧδε διάξεις.
Οὐδ' [h]ὑγιείας τῆς περὶ σῶμ' ἀμέλειαν ἔχειν χρή·
ἀλλὰ ποτοῦ τε μέτρον, καὶ σίτου, γυμνασίων τε
ποιεῖσθαι· μέτρον δὲ λέγω τόδ' ὃ μή σ' [i]ἀνιήσῃ.
Εἰθίζου δὲ δίαιταν ἔχειν καθάρειον, ἄθρυπτον.
Καὶ πεφύλαξό [k]γε ταῦτα ποιεῖν, ὁπόσα φθόνον ἴσχει.
Μὴ δαπανᾶν παρὰ καιρὸν, ὁποῖα καλῶν ἀδαήμων·
μὴδ' ἀνελεύθερος ἴσθι· μέτρον δ' ἐπὶ πᾶσιν ἄριστον.
[l]Πρᾶσσε δὲ ταῦθ', ἅ σε μὴ βλάψῃ· λόγισαι δὲ πρὸ ἔργου.
Μὴδ' ὕπνον μαλακοῖσιν ἐπ' ὄμμασι προσδέξασθαι,
πρὶν τῶν ἡμερινῶν [m]ἔργων τρὶς ἕκαστον ἐπελθεῖν·
Πῇ παρέβην; τί δ' ἔρεξα; τί μοι δέον οὐκ ἐτελέσθη;
Ἀρξάμενος δ' ἀπὸ πρώτου ἐπέξιθι· καὶ μετέπειτα
δεινὰ μὲν ἐκπρήξας ἐπιπλήσσεο· χρηστὰ δὲ, [n]τέρπευ.
Ταῦτα πόνει· ταῦτ' ἐκμελέτα· τούτων χρὴ ἐρᾶν σε·
ταῦτά σε τῆς θείης ἀρετῆς εἰς ἴχνια θήσει.
Ναὶ μὰ τὸν ἀμετέρᾳ ψυχᾷ παραδόντα τετρακτὺν,

[f] λόγοι om. S. [g] πρῆσσε—τῶν] πρᾶσσε—ῶν S. [h] ὑγιείης] ὑγιείας S. [i] ἀνιήσει] ἀνιήσῃ S. [k] γε om. S. πεφ. τοιαῦτα id. in comm. [l] πρᾶσσε S. [m] ἔργων τρὶς ἕκαστον ἐπελθεῖν S. hic et in comm. non λογίσασθαι ἕκαστον. [n] τερπ$^{\upsilon}$ S. τέρπου in comm.

παγὰν ἀενάου φύσεως. Ἀλλ' ἔρχευ ἐπ' ἔργον
θεοῖσιν ἐπευξάμενος τελέσαι. Τούτων δὲ κρατήσας
γνώσεαι ἀθανάτων τε θεῶν θνητῶν τ' ἀνθρώπων
σύστασιν, ᾗ τε ἕκαστα διέρχεται, ᾗ τε κρατεῖται·
[o]γνώσῃ θ', ᾗ θέμις ἐστὶ, φύσιν περὶ παντὸς ὁμοίην·
ὥστε σε μήτε ἄελπτ' ἐλπίζειν, μήτε τι λήθειν.
Γνώσῃ δ' ἀνθρώπους αὐθαίρετα πήματ' ἔχοντας
τλήμονας, οἵ τ' ἀγαθῶν πέλας ὄντων οὔτ' ἐσορῶσιν,
οὔτε κλύουσι· λύσιν δὲ κακῶν παῦροι συνίσασι.
Τοίη [p]μοῖρ' αὐτῶν βλάπτει φρένας· οἱ δὲ κυλίνδροις
ἄλλοτ' ἐπ' ἄλλα φέρονται ἀπείρονα πήματ' ἔχοντες.
[q]Λυγρὰ γὰρ συνοπαδὸς ἔρις βλάπτουσα λέληθε
σύμφυτος· ἣν οὐ δεῖ [r]προάγειν, εἴκοντα δὲ φεύγειν·
Ζεῦ πάτερ, [s]ἦ πολλῶν γε κακῶν λύσειας ἅπαντας,
εἰ πᾶσιν δείξαις οἵῳ τῷ δαίμονι χρῶνται.
Ἀλλὰ σὺ θάρσει· ἐπεὶ θεῖον γένος ἐστὶ βροτοῖσιν,
οἷς ἱερὰ προφέρουσα φύσις δείκνυσιν ἕκαστα.
Ὧν εἴ σοί τι μέτεστι, κρατήσεις ὧν σε κελεύω,
ἐξακέσας ψυχὴν δὲ πόνων ἀπὸ τῶνδε σαώσεις.
Ἀλλ' εἴργου βρωτῶν, ὧν εἴπομεν, ἔν τε καθαρμοῖς,
ἔν τε λύσει ψυχῆς κρίνων· καὶ φράζευ ἕκαστα,
ἡνίοχον γνώμην στήσας καθύπερθεν ἀρίστην.
Ἢν δ' ἀπολείψας σῶμ' εἰς αἰθέρ' ἐλεύθερον ἔλθῃς,
ἔσσεαι ἀθάνατος θεὸς, ἄμβροτος, οὐκ ἔτι θνητός.

[o] γνώσῃ θ' S. γ. δ' vulg. [p] μοῖρ' αὐτῶν—οἱ δὲ κυλίνδροις S. et in comm. μοῖρα βροτῶν—ὡς δὲ κύλινδροι vulg. [q] λυγρὴ] λυγρὰ S. [r] προσάγειν] προάγειν S. προάγειν ἐπὶ πλεῖον comm. [s] ἦ πολλῶν τε S.

[2]

ΙΕΡΟΚΛΕΟΥΣ

ΦΙΛΟΣΟΦΟΥ

[a]ΥΠΟΜΝΗΜΑ ΕΙΣ ΑΥΤΑ.

[8] Ἡ [b]ΦΙΛΟΣΟΦΙΑ ἐστὶ ζωῆς ἀνθρωπίνης κάθαρσις, καὶ τελειότης. Κάθαρσις μὲν ἀπὸ τῆς ὑλικῆς ἀλογίας, καὶ

[a] ΥΠΟΜΝΗΜΑ ΕΙΣ ΑΥΤΑ] Sic S. εἰς τὰ Πυθαγορικὰ ἔπη vulg.
[b] ΦΙΛΟΣΟΦΙΑ] ἡ φιλ. S.

ΙΕΡΟΚΛΕΟΥΣ] Satis jam inter eruditos convenit, hunc Hieroclem quinti sæculi philosophum fuisse Platonicum, qui, cum scholæ præesset Alexandrinæ, has in Aurea Carmina ἐξηγήσεις discipulis suis prælegebat. Nobis igitur id tantum restat, ut, qua præcipue parte istius sæculi vixerit, indagemus. Hoc vero ex Procli Lycii (qui erat ejus fere æqualis) vita a Marino scripta facile disci posse existimamus: quippe Proclus (ut ex genituræ Themate, quod exhibet Marinus, apparet) in lucem editus est A. C. 412, et cum vigesimum ætatis annum ageret, se in Plutarchi Atheniensis disciplinam tradidit, cujus per biennium erat auditor usque ad A. C. 434, quo mortem obiit Plutarchus, ut ibi docet Marinus: cum Hierocles igitur in Lib. de Provid. (ap. Phot. Cod. 214) dicat, se quoque adolescentem ejusdem Plutarchi discipulum fuisse, sequitur plane, eum Proclo natu pene parem, aut paulo fortasse majorem fuisse, atque adeo natum circa A. C. 410. Ex his autem intelligas quantum a vero editor Cantab. in præfatione aberraverit, ubi hunc Procli discipulatum (*teste*, ut ait, *Marino*) confert in A. C. 463, et mortem Plutarchi in A. C. 465, triginta sc. annorum metachronismo. De Hieroclis vero morte conjectandi ansam nobis præbet Æneas Gazæus in Theophrasto circa A. C. 490 scripto, ubi hunc Hieroclem sibi a puero præceptorem fuisse declarat, et de eo meminit tanquam ante annos aliquammultos mortuo; unde verisimilis fiat conjectura, Hieroclem sexagenario majorem e vita excessisse, sc. circiter A. C. 476, superstite adhuc Proclo usque ad A. C. 485, uti narrat Marinus. Ex quo (ut id obiter te moneam) gravem Hen. Valesii errorem discas in Notis ad Ammian. 22, 16. et ad Evagr. Hist. 3, 41. ubi Proclum dicit *vixisse temporibus Anastasii*, qui

τοῦ θνητοειδοῦς [b]σώματος· τελειότης δὲ, ὡς τῆς οἰκείας εὐζωΐας ἀνάληψις, πρὸς τὴν θείαν ὁμοίωσιν ἐπανάγουσα. Ταῦτα δὲ πέφυκεν ἀρετὴ καὶ ἀλήθεια μάλιστα ἀπεργάζεσθαι· ἡ μὲν, τὴν ἀμετρίαν τῶν παθῶν ἐξορίζουσα· ἡ δὲ, τὸ θεῖον εἶδος τοῖς εὐφυῶς ἔχουσι προσκτωμένη. Δεῖ οὖν πρὸς ταύτην τὴν ἐπιστήμην, τὴν μέλλουσαν ἡμᾶς καθαροὺς καὶ τελείους ποιεῖν, κανόνας [c]τινὰς ἔχειν ἐν βραχεῖ διωρισμένους, οἷον ἀφορισμούς τινας τεχνικοὺς, [d]ὅπως ἂν ἐν τάξει καὶ εὐμεθόδως πρὸς τὸ τῆς εὐζωΐας τέλος ἀφικοίμεθα. Τῶν δὲ τοιούτων κανόνων, τῶν πρὸς τὴν ὅλην φιλοσοφίαν συντεινόντων, τὰ Πυθαγορικὰ ἔπη, τὰ οὕτως ἐπικαλούμενα [5] 10

[b] σώματος] πτώματος S. [c] ἔχειν τινὰς] τινας ἔχειν S. [d] ὅπως] ὅπως ἂν ἐν S.

non nisi sex post Procli mortem annis imperium iniit, sc. A. C. 491. Porro autem de Hieroclis ingenio, doctrina, stylique elegantia satis dictum ab aliis; atque eorum quidem omnium præclarum tibi specimen exhibet hoc in Aurea Carmina ὑπόμνημα, in quo multa exstant in re ethica egregie exposita, quæ et cum fructu legat quivis Christianus, quippe e Christianorum fere fontibus hausta. Attamen is, qui in ethicis tam acute cernere potuit, de unius solum Dei notitia et cultu in ipsa veritatis luce meridiana cæcutire maluit, quam ethnicæ πολυθεΐας ineptias deserere: nam erat certe profanæ superstitionis falsorumque deorum cultus, tunc pene extincti, tenacissimus, uti e Damascii verbis ap. Suidam apparet, qui dicit Hieroclem, cum Constantinopoli esset, in offensionem τῶν κρατούντων (i. e. magistratuum tunc Christianorum) incurrisse, et judicis sententia lictorum virgis acerbius castigatum fuisse; non aliam plane ob causam quam linguæ petulantiam, quod dictis quibusdam procacibus Christianorum sacra violaverit; atque ideo fortasse ille libentius hanc Carminum expositionem suscepit, ut ruentem indies deorum causam, qua potuit, fulciret, eorumque cultum, quem palam defendere non est ausus, sub commentarii saltem specie in schola auditoribus commendaret. ASHT.

1. ὡς τῆς οἰκείας—] Recepimus illud ὡς e G. quia ad sententiam aptius videtur; sicque in locis consimilibus particula ὡς sæpe utitur Hierocles. ASHT. ὡς om. S.

11. τὰ οὕτως ἐπικαλούμενα χρυσᾶ,] Editor Cant. ex Curterii solum conjectura, excluso οὕτως, inseruit ὄντως, sc. τὰ ὄντως ἐπικαλούμενα χρυσᾶ, nimis temere id quidem, nec satis apposite; nam Hierocles hic Carminum titulum tantum recitat, quo ab aliis Pythagoricis distinguuntur, non pronuntians ea vere sic appellari; id enim postea probatum dabit: et sane, si hic voluisset id affirmare, dixisset,

χρυσᾶ, ἐν πρώτοις ἂν θείημεν εὐλόγως. Περιέχει γὰρ πάσης φιλοσοφίας, [c] πρακτικῆς τε καὶ θεωρητικῆς, τὰ καθόλου δόγματα· δι' ὧν ἄν τις ἀλήθειαν καὶ ἀρετὴν κτήσαιτο, καὶ ἑαυτὸν καθαρὸν ἀπολάβοι, καὶ τὴν πρὸς Θεὸν ὁμοίωσιν εὐτυ- [10]
χήσειε, καὶ (ὥς φησιν ὁ Πλάτωνος Τίμαιος, τῶν Πυθαγορείων δογμάτων ὁ ἀκριβὴς διδάσκαλος) ὑγιής τε καὶ ὁλόκληρος γενόμενος εἰς τὸ τῆς προτέρας ἀφίκοιτο εἶδος ἕξεως. Καὶ πρῶτά γε τὰ τῆς πρακτικῆς ἀρετῆς παρα-

[c] πρακτικῆς καὶ] πρ. τε καὶ S.

opinor, potius τὰ ὄντως χρυσᾶ, quam τὰ ὄντως ἐπικαλούμενα χρυσᾶ, multa enim id revera nominantur, quod non vere sunt. Restituo igitur veterem lectionem, τὰ οὕτως ἐπικαλούμενα χρυσᾶ, *quæ sic appellantur*, Aurea; id est (ut postea dicit) χρυσᾶ τὴν ἐπωνυμίαν ἔχοντα, *quæ hoc habent nomen*, Aurea, seu, ut iterum dicit, χρυσᾶ τὴν ἐπίκλησιν ἀναγεγραμμένα, *quæ hoc titulo inscripta sunt*, Aurea. Ita fere de ætate aurea Ovidius,—*Illa ætas, cui fecimus*, Aurea, *nomen*, Met. 15, 96. At editoribus illis displicuit fortasse ipsa phrasis, οὕτως ἐπικαλούμενα χρυσᾶ. Id vero immerito; cum sit usitatissima, ut exemplis aliquot nunc demonstrabimus. Sic enim Joseph. Antiq. 1, 2. ἱδρύεται Κάϊς Ναΐδα, τόπον οὕτω καλούμενον. Just. Mart. Paræn. ad Græc. ἐν Κουμᾶ οὕτω καλουμένῃ πόλει. Clem. Alex. Strom. I. ἡ ἐκκλησία, ἡ νῦν οὕτω καλουμένη. Max. Tyr. Diss. 26. λίμνη Ἄορνος οὕτω καλουμένη. Herodian. lib. 5. ἀπὸ Ἐμέσης καλουμένης οὕτω πόλεως. Basil. Seleuc. Vit. Theclæ, τόπος οὕτω καλούμενος, Ἄβακες. Euseb. Hist. 3, 10. ἐν τοῖς οὕτω καλουμένοις Μακκαβαϊκοῖς συγγράμμασι. Olympiod. ap. Phot. Cod. 30. Ἀντωνινιαναὶ (Thermæ sc.) οὕτω καλούμεναι. Marin. Vit. Procli, ἀρεταὶ αἱ οὕτω καλούμεναι θεουργικαὶ: ac, ne plura, sic etiam ipse Hierocles, Comm. in vers. 1. οἱ οὕτω λεγόμενοι Ἀθάνατοι θεοί. ASHT. Plura dabunt Schæfer. Melet. p. 14. Bast. Ep. Crit. p. 37. Porson. ad Suid. p. 1366 D.

5. ὁ Πλάτωνος Τίμαιος—ἀκριβὴς διδάσκαλος] Ita de hoc Platonis libro Just. Mart. in Paræn. ad Græc. p. 89. ed. Ox. ἐν τῷ ἐσπουδασμένῳ αὐτοῦ λόγῳ Τιμαίῳ, ἐν ᾧ θεολογεῖν ἐπεχείρει. Platonis vero Timæus ἀκριβὴς διδάσκαλος dicitur, quia Timæi Pythagorici φυσιολογίαν, in lib. περὶ ψυχᾶς κόσμω, ibi accuratius persequitur, atque ipsum Timæum introducit περὶ τοῦ παντὸς disserentem. Verba autem, quæ sequuntur, e Plat. Timæ. p. 42 et 44 desumta sunt. ASHT.

6. ὑγιής τε καὶ ὁλόκληρος—εἶδος ἕξεως] Frustra in Platonis Timæo hæc requirantur, ut ab Hierocle laudata sunt, cum ex duobus locis unum tantum fecerit, observante etiam Dacerio: prior legitur Timæi p. 42. ed. St. ἀλλάττων τε οὐ πρότερον πόνων λήξει, πρὶν τῇ ταυτοῦ καὶ ὁμοίου περιόδῳ τῇ ἐν αὐτῷ ξυνεπισπώμενος τὸν πολὺν ὄχλον καὶ ὕστερον προσφύντα ἐκ πυρὸς καὶ ὕδατος καὶ ἀέρος καὶ γῆς θορυβώδη καὶ ἄλογον ὄντα λόγῳ κρατήσας, εἰς τὸ τῆς πρώτης καὶ

τίθεται παραγγέλματα. [f] Πρῶτον γὰρ δεῖ τάξαι τὴν ἐν ἡμῖν ἀλογίαν τε καὶ ῥαθυμίαν· ἔπειτα οὕτως ἐπιβαλεῖν τῇ τῶν θείων γνώσει. Ὥσπερ γὰρ ὀφθαλμῷ λημῶντι καὶ οὐ κεκαθαρμένῳ τὰ σφόδρα φωτεινὰ ἰδεῖν οὐχ οἷόν τε, οὕτως καὶ ψυχῇ μὴ ἀρετὴν κεκτημένῃ τὸ τῆς ἀληθείας [g] ἐνοπτρί- 5
σασθαι κάλλος ἀμήχανον. Μὴ καθαρῷ γὰρ καθαροῦ ἐφάπτεσθαι [h] μὴ οὐ θεμιτὸν ᾖ. Ἔστι δὲ ἡ μὲν πρακτικὴ φιλοσοφία ἀρετῆς ποιητική· [i] ἡ δὲ θεωρητικὴ ἀληθείας, ὡς

[f] Πρῶτον γὰρ] γὰρ om. S. [g] ἐνοπτρίσασθαι] ἐνοπτρίζειν S. [h] μὴ οὐ] μὴ om. S. [i] ἀληθείας δὲ ἡ θεωρητικὴ] ἡ δὲ θεωρητικὴ ἀληθείας S.

ἀρίστης ἀφίκοιτο εἴδος ἕξεως. Postremum hujus περιοχῆς membrum sic interpretatus est Cicero: *ad primam atque optimam animi affectionem pervenerit.* Alter locus occurrit p. 44. Ἂν μὲν οὖν δὴ καὶ συνεπιλαμβάνηταί τις ὀρθὴ τροφὴ παιδεύσεως, ὁλόκληρος ὑγιής τε παντελῶς, τὴν μεγίστην ἀποφυγὼν νόσον, γίγνεται. In ora libri, notante Curterio, ὑγιής τις, uti etiam infra scribitur p. 226. [ed. Needh.] ubi eadem pene verba iterum adducuntur. NEEDHAM.

1. τάξαι τὴν—ἀλογίαν—] Salmasius in Animadvers. in Epict. p. 15. hunc locum citans, fidenter pro τάξαι legit, et sic scribendum pronuntiat, ἀποτάξαι, *amandare*, seu, *abjicere*; quippe quod philosophiæ practicæ sit, *ex animo*, ut ait, *abjicere* τὰ ἄλογα πάθη. At omnino fallitur: non enim philosophiæ munus est animi affectus abolere prorsus et abjicere, sed moderari tantum et in ordinem cogere, atque ad rationis normam eos componere, quod proprie τάξαι dicitur; quo quidem verbo de hac re decies minimum utitur Hierocles, ut inter legendum tute observare poteris. Nihil ergo erat, cur Salmasii auctoritate commotus hæsitaret hic Needhamus. ASHT.

3. τῶν θείων] Ita G. loco θειοτέρων, quod exhibent editt. priores; est enim melius: nam de theoreticis plane virtutibus loquitur, quas opposite ad ἀρετὰς πρακτικὰς et ἀνθρωπίνας, hic τὰ θεῖα et θείας ἀρετὰς appellat, ut liquet e sequentibus. ASHT. θειοτέρων S.

6. Μὴ καθαρῷ] Hæc περιοχὴ desumpta est e Platonis Phædone p. 67 B. NEEDHAM.

8. ἀληθείας δὲ ἡ θεωρητικὴ] In editt. prioribus deerant illa, δὲ ἡ θεωρητικὴ, quæ nos e codicum collatione, quam Dacerio suppeditavit Renaudot., supplevimus; in quibus lectum est plane, ἀληθείας δὲ ἡ θεωρητικὴ, hisque consentit cod. Venetus, quem Latine sic vertit Aurispa, *inspectiva vero veritatem*, quin et ipse Curter., flagitante sententia, ita legendum conjecit et reddidit. His vero non contentus editor Cant. loci hujus emendationem doctissimi Bentleii manu factam nobis proponit, *Cui*, ut ait, *ineptum videtur* ποιητικὴ ἀρετῆς, *cum virtus Deum* ποιητὴν *agnoscat, non philosophiam: miro igitur acumine sic restituit,* ἔστι δὲ ἡ πρακτικὴ φιλοσοφία, ἀρετῆς

[6] καὶ ἐν αὐτοῖς τοῖς Ἔπεσι τὴν μὲν πρακτικὴν φιλοσοφίαν ἀνθρωπίνην ἀρετὴν εὑρίσκομεν λεγομένην, τὴν δὲ θεωρητικὴν θείαν ἀρετὴν ὑμνουμένην, ἐν οἷς συμπεράνας ὁ λόγος τὰ τῆς πολιτικῆς ἀρετῆς παραγγέλματα,

ταῦτα πόνει (φησί)· ταῦτ' ἐκμελέτα· τούτων χρὴ ἐρᾶν σε· 5
ταῦτά σε τῆς θείης ἀρετῆς εἰς ἴχνια θήσει.

Πρῶτον οὖν ἄνθρωπον δεῖ γενέσθαι, καὶ τότε Θεόν. Ἄνθρω-

πολιτικῆς· ἡ δ' ἄλλη, θείας. Mihi vero minime placet hæc emendatio, neque ejus ratio, quam assignat; nam, ut practica philosophia dicatur ἀρετῆς ποιητικὴ, adeo non ineptum est, ut omnino verum esse ipsa nos doceat experientia; neque aliud hic dicit Hierocles, quam quod in principio dixerat in illis, πρακτικῆς, δι' ἧς ἄν τις ἀρετὴν κτήσαιτο, atque etiam in comment. in vers. 45. huc respiciens dicit, ἐν τοῖς προοιμίοις ἐλέγομεν, ὅτι ἡ πρακτικὴ φιλοσοφία διὰ τῆς τῶν ἀρετῶν κτήσεως ἄνθρωπον ἀγαθὸν ἀποτελεῖ. Sic et comm. in vers. 67. τὸ πρακτικὸν διὰ τῶν ἀρετῶν τῆς ἀλογίας ἀποκαθαίρει ἡμᾶς, et paulo inferius τὴν πρακτικὴν appellat τὴν τῆς ἀρετῆς προβλητικὴν (f. ποιητικὴν) δύναμιν. Aristoteles Rhet. 1, 9. inter practica agnoscit τὰ ποιητικὰ ἀρετῆς, et sic Julian. Imp. δόγματα τῆς εὐσεβείας ποιητικὰ, in Fragm. p. 301. ed. Lips. Sed *virtus*, inquit, *Deum* ποιητὴν *agnoscit*. Agnoscat licet, non tamen sine ulla actione, et opera nostra, de qua hic agitur; sic enim nullus omnino in nobis virtuti esset locus. Deus quidem nobis τὰ μέσα dat, τὰ ποιητικὰ τῶν κατὰ φύσιν, ut ap. Stobæ. Ecl. Eth. dicit Hierocles; at tamen in comm. in vers. 62, Deum virtutum in nobis ποιητὴν esse rectissime negat his verbis, οὐ γὰρ ἂν ἔδει πονεῖν, οὐδ' ἐν μελέτῃ καὶ ἔρωτι τίθεσθαι τὰ καλὰ, εἰ τοῦ θεοῦ ἴδιον ἦν σώζειν ἡμᾶς ἀπὸ κακίας, καὶ τῶν ἀρετῶν πλήρεις ποιεῖν, μηδὲν παρ' ἑαυτῶν συνεισφέροντας. Nulla itaque justa erat hæc corrigendi ratio. Sic tamen voluit B. ἔστι δὲ ἡ πρακτικὴ φ. ἀρετῆς πολιτικῆς, sensu sane tam obscuro, ut nescias, utrum velit πρακτικὴν esse πολιτικῆς causam, an effectum: at neutrum vult Hierocles, qui in mox sequentibus πρακτικὴν atque πολιτικὴν eandem plane facit. Nec magis tibi placeant illa, ἡ δ' ἄλλη θείας, loco ἀληθείας: nam cum duas Hierocles philosophiæ partes, practicam sc. et theoreticam, posuerit, nil causæ video, cur earum unam hic nominaret, alteram vero occulte tantum per illa, ἡ δ' ἄλλη, indicaret; præsertim cum, de duabus loquens, rectius secundum grammaticorum regulam dixisset, ἡ δ' ἑτέρα. Sic enim Ammon. de verbor. differ. in v. ΑΛΛΟΣ: Ἄλλος καὶ ἕτερος διαφέρει. Ἕτερος μὲν, ἐπὶ δυοῖν. Ἄλλος δὲ, ἐπὶ πλειόνων. Atque iterum in v. ΕΤΕΡΟΣ: Ἕτερος μὲν ἐπὶ δυοῖν τάσσεται· τὸ δὲ ἄλλος, ἐπὶ πολλῶν. Missa igitur hac viri eruditissimi correctione, nos, non ex conjectura, mutatis pro libitu verbis, sed codicum auctoritate justius, et, ut opinor, multo aptius lacunam hanc explevimus. ASHT.

7. Ἄνθρωπον δεῖ γενέσθαι,] Curter.

πον δὲ ποιοῦσιν ἀγαθὸν αἱ πολιτικαὶ ἀρεταὶ, θεοποιοῦσι δὲ αἱ πρὸς τὴν θείαν ἀρετὴν ἀνάγουσαι ἐπιστῆμαι. Τὰ δὲ μικρὰ πρὸ τῶν μεγάλων ἐστὶν ἐν τάξει τοῖς ἀνιοῦσι· διὸ καὶ ἐν ταῖς Πυθαγορικαῖς ὑποθήκαις τὰ τῶν ἀρετῶν παραγγέλματα πρῶτα παραδίδωσιν ἐν τοῖς ἔπεσιν ὁ λόγος, παιδαγωγῶν ἡμᾶς ἀπὸ τῆς περὶ τὸν βίον [k]ἀρετῆς χρήσεως πρὸς τὴν θείαν ὁμοίωσιν ἀνίεναι. Καὶ οὗτος μὲν ὁ σκοπὸς τῶν Ἐπῶν, καὶ ἡ τάξις, χαρακτῆρα φιλόσοφον πρὸ τῶν ἄλλων ἀναγνωσμάτων [l]ἐνθεῖναι τοῖς ἀκροαταῖς. Χρυσᾶ δὲ τὴν [12]

[k] ἀρίστης] ἀρετῆς S. [l] ἐκθεῖναι] Sic em. Mer. Casaub. ἐνθεῖναι S. et cett.

hic legendum conjecit ἄνθρωπον ἀγαθὸν, quia sic Hierocles in lin. sequente: at satis id commode subauditur; cum breve quoddam Platonicorum dictum proferre videatur Hierocles; sic enim Isidorus quoque ap. Damascium, πρῶτον ἀνθρώπους γενέσθαι τοὺς ἐσομένους θεοὺς δεῖ. Phot. Cod. 242. ASHT.

4. Πυθαγορικαῖς ὑποθήκαις] Varii erant apud Pythagoricos διδασκαλίας τρόποι, ut ait Iamblichus, quorum præcipuum fuit genus illud μυστικὸν διὰ συμβόλων. Sed per has ὑποθήκας vult plane Hierocles ipsa Carmina; quibus similia Simplicius dicit esse Epicteti in Enchiridio præcepta, κομματικοὶ δέ εἰσιν οἱ λόγοι καὶ γνωμονικοὶ κατὰ τῶν ὑποθηκῶν καλουμένων παρὰ τοῖς Πυθαγορείοις εἶδος. procem. in Epictet. ASHT.

6. ἀρετῆς] Sic habet G. probante Dacerio; nec immerito: nam ἡ περὶ τὸν βίον ἀρετὴ non alia est, quam πρακτικὴ et ἀνθρωπίνη ἀρετή. Sic Hierocles in vers. 32. τὸ σῶμα πειθήνιον πρὸς τὴν τῶν ἀρετῶν χρῆσιν ἀπεργάζεται. Ita Laërtius de Aristotele, τέλος δὲ ἓν ἐξέθετο, χρῆσιν ἀρετῆς ἐν βίῳ τελείῳ. Editor vero Cant. ex Aurispæ versione, sc. *ab optimo in hac vita vivendi usu*, sic legit, ἀπὸ τῆς περὶ τὸν βίον ἀρίστης χρήσεως: at sic imperfecta est sententia; nihil enim apparet, cujus sit illa χρῆσις. Rectius autem, et, ut opinor, Aurispæ verbis congruentius, legisset, ἀπὸ τῆς τῶν περὶ τὸν βίον ἀρίστης χρήσεως. Atque hæc quidem lectio æque commoda esset, ac illa, quam recepimus. Sic enim Hierocles alibi, περὶ τῆς τοῦ σώματος, καὶ τῶν ἔξω ἀρίστης χρήσεως, et Simplic. in Epict. p. 201. ed. L. B. φυλακὴ φίλων διὰ τῆς ἀρίστης χρήσεως, et alii passim. ASHT.

8. χαρακτῆρα φ. πρὸ τῶν ἄλλων ἀναγνωσμάτων ἐκθεῖναι —] Ita in commentarii epilogo dicit Hierocles, hæc Carmina esse τελειότατον χαρακτῆρα φιλοσοφίας, et Pythagoricorum dogmatum κεφαλαιωδεστάτην ἐπιτομὴν, atque παιδευτικὴν στοιχείωσιν in posteriorum usum conscriptam. Curter. autem hic male (ut notavit Casaub.) ἐνθεῖναι edidit pro ἐκθεῖναι, quod recepit editor Cant. et nos retinemus: nam is, qui alios docet, non recte dicitur ἀναγνώσματα ἐνθεῖναι, sed ἐκθεῖναι τοῖς ἀκροαταῖς. Sic de Aristotele Laert. 5, 30. τέλος ἓν ἐξέθετο, χρῆσιν

ἐπωνυμίαν ἔσχε, διὰ τὸ, ὡς [m]ἐν ἔπεσιν, ἄριστα εἶναι καὶ θεῖα. Οὕτω γὰρ καὶ χρυσοῦν γένος λέγομεν τὸ ἐν τοῖς ἀνθρωπίνοις γένεσιν ἄριστον, ἀπὸ τῆς τῶν ὑλῶν ἀναλογίας τὴν τῶν ἠθῶν διαφορὰν λαμβάνοντες. Ἔστι γὰρ καὶ ὁ χρυσὸς ἀκίβδηλόν τι καὶ γῆς οὐκ ἀναπεπλησμένον, ὥσπερ
[9] τὰ συγγενῆ καὶ ἐφεξῆς ὄντα τούτῳ, οἷον ἄργυρος καὶ χαλκὸς καὶ σίδηρος· πρὸς ἃ καὶ τὸ ὑπερέχον φύσει κέκτηται ὁ χρυσὸς, μόνος τῶν ἄλλων ἰὸν οὐ ποιῶν, ἐκείνων ἑκάστου, καθ' ὅσον γῆς μετέχει, κατὰ τοσοῦτον καὶ εἰς ἰὸν μεταβάλλοντος. Τοῦ οὖν γεώδους ἰοῦ κατὰ τὴν ἔνυλον κακίαν λαμβανομένου, τὸ ἅγιον καὶ καθαρὸν γένος, καὶ τὸ πάντη

[m] ἐν ἔπεσιν] ἐν om. S. qui paullo supra ἔσχεν, et mox τὴν διαφορὰν τῶν ἠθῶν.

ἀρετῆς ἐν βίῳ τελείῳ, et de Pythagora Justin. M. in Paræn. Πυθαγόρας δόγματα τῆς ἑαυτοῦ φιλοσοφίας ἐκθέμενος. p. 84. ed. Ox. Itidem de Aristotele, Ἀριστοτέλης σύντομον τῆς ἑαυτοῦ φιλοσοφίας ἐκθέμενος ὅρον. ib. p. 53. Cæterum dubitans hic editor Cant. de vocabuli ἀνάγνωσμα usu notat, id quidem quærenti sibi semel in Justin. M. epist. ad Zen. et Seren. occurrere. Quod sane non possum non admirari; cum vox ista tam apud philosophos, quam apud veteres Eccl. patres, usu sit receptissima. Pauca vero e multis exempla sufficient. Sic igitur Epict. ap. Arrian. 2, 14. τῶν Ῥωμαϊκῶν τινὸς ἐπακούοντος ἑνὸς ἀναγνώσματος, οὗτος, ἔφη, ὁ τρόπος τῆς διδασκαλίας. Plutarch. in Compar. Aristoph. et Menand. Μένανδρος ἀνάγνωσμα καὶ μάθημα κοινότατον παρέσχεν τὴν ποίησιν. Julian. Imp. in Fragm. p. 301. (ubi characterem philosophicum a Pythagora discendum esse dicit) οὐ πᾶν ἀνάγνωσμα τῷ ἱερωμένῳ πρέπει. Eusebius Præp. Ev. 5, 1. βίβλοι τε καὶ ἀναγνώσματα, μαθήματά τε καὶ διδασκαλίαι. et Dem. Ev. lib. 8. συνετοὶ τῶν θείων ἀναγνωσμάτων ἀκροαταί. p. 375. ASHT.

1. ἔσχε] Ita editor Cant. e MSS. Gall. pro ἔσχι in editt. prior. recte. Curter. vero in margine posuit ἴσχει, quod mihi quidem melius videtur. Ita habet carmen, φθόνον ἴσχει, et ipse Hierocles, ἄγνοιαν ἴσχει. Atque hoc semper fere utuntur philosophi, Plato, Aristoteles, Proclus, Simplicius; rarissime vero ἔσχε. ASHT.

4. τὴν τῶν ἠθῶν διαφορὰν] Sic G. τὴν διαφορὰν τῶν ἠθῶν S. editt. pr.

Ἔστι δὲ] ἔστι γὰρ G. S.

6. τὰ—ἐφεξῆς ὄντα τούτῳ] Subaudi μέταλλα; quod tamen aut hic addendum videtur, aut paulo post legendum μόνος τῶν μετάλλων, pro ἄλλων. Sed mera est hæc conjectura; atque satis proba est phrasis μόνος τῶν ἄλλων, ac usitatissima; cujus unicum e Platone exemplum sufficiat, τοῦτο μόνον τῶν ἄλλων ἁπάντων ἁπλοῦν ἐστι. in Phædone, sect. 5. ed. Cant. ASHT.

καθαρεῦον πονηρίας ἦθος, εἰκότως χρυσοῦν ἐλέχθη· οὕτω δὴ καὶ ταῦτα τὰ ἔπη, ὅλα δι' ὅλων ὄντα καλὰ, χρυσᾶ καὶ θεῖα τὴν ἐπίκλησιν ἀναγέγραπται. Οὐ γάρ ἐστι τὸ μὲν αὐτῶν καλὸν, τὸ δὲ οὐ καλὸν, ὥσπερ ἔνια τῶν ἄλλων· ἀλλὰ πάντα ὁμοίως τὸ καθαρὸν ἦθος ἐμφαίνει, καὶ πρὸς τὴν θείαν ὁμοίωσιν ἀνάγει, καὶ τῆς Πυθαγορικῆς φιλοσοφίας τὸν τελειότατον σκοπὸν ἐκκαλύπτει· ὡς ἐν τῇ καθ' ἕκαστον ἐξηγήσει σαφὲς γενήσεται· καὶ πρῶτόν γε ἀπὸ τῶν πρώτων ἀρξώμεθα.

I. 1.

[10] Ἀθανάτους μὲν πρῶτα θεοὺς, νόμῳ ὡς διάκεινται, [14]
τίμα·

Ἐπειδὴ πασῶν τῶν ἀρετῶν ἡγεμών ἐστιν ἡ εὐσέβεια, πρὸς τὴν θείαν αἰτίαν τὴν ἀναφορὰν ἔχουσα, εἰκότως καὶ τῶν ἐν τοῖς Ἔπεσι νόμων τὸ περὶ ταύτης ἡγεῖται παράγγελμα· ὡς δέοι τοὺς ἐγκοσμίους Θεοὺς, κατὰ τὴν ἐνυπάρ-

16. τοὺς ἐγκοσμίους Θεοὺς] Per hos, inquit Dacerius, intelligit Hierocles illos duodecim, quos Latini *Consentes* appellabant: sed omnino fallitur vir doctissimus. Novi quidem Pythagoricos, atque ipsum etiam Platonem in Phædro, Deorum Mundanorum τάξεις δώδεκα statuisse, astrorum sc. et planetarum septem, et quatuor elementorum, uti discas e Sallust. περὶ θεῶν, cap. 6. ap. Galæ. Mythol., a quibus suos Latini Consentes derivarunt. At ἐγκόσμιοι, quos vult Hierocles, non alii sunt, quam τρία γένη τῶν λογικῶν, prout hic in Carmine proponuntur, nempe, Ἀθάνατοι θεοὶ, Ἥρωες, et Καταχθόνιοι δαίμονες, atque de τάξει plane ἀθανάτων θεῶν (quos πρῶτον γένος τῶν λογικῶν, et ἐγκοσμίων πρώτους, sæpe vocat) nunc loquitur. Hi vero Ἀθάνατοι θεοὶ, quos et οὐρανίους alibi appellat, nihil aliud sunt, quam stellæ in ἀπλανῶν sphæra, et planetæ in inferioribus septem sphæris collocati; quippe cœlestia hæc corpora mente prædita, et λογικὰ, atque adeo pro Diis habenda esse, existimabant Pythagorici et Platonici. Ipse Pythagoras (inquit Laërtius) docuit, ἥλιον, καὶ σελήνην, καὶ τοὺς ἄλλους ἀστέρας εἶναι θεοὺς, 8, 27. quod et de Platone notissimum est; sicque de octo sphæris declarat Alcinous, πάντες οὗτοι νοερὰ ζῶα, καὶ θεοὶ, καὶ σφαιρικὰ τοῖς σχήμασι. Doctr. Plat. c. 14. Hos igitur Proclus ἀστρώους θεοὺς vocat in Plat. Timæ. p. 319. eosque distincte Porphyrius appellat θεοὺς ὁρατοὺς, τοὺς ἐντὸς οὐρανοῦ πλανωμένους καὶ ἀπλανεῖς. de Abstin. 2, 36. 37. Atque ita plane intelligit explicat-

χουσαν αὐτοῖς τάξιν, τιμᾶν, ἣν ὁ δημιουργικὸς νόμος ἅμα τῇ οὐσίᾳ αὐτῶν συμπροήγαγε, τάξας αὐτῶν τοὺς μὲν ἐπὶ τῆς πρώτης σφαίρας, τοὺς δὲ ἐπὶ τῆς δευτέρας, καὶ ἐπὶ τῆς τρίτης ἄλλους, καὶ οὕτως ἐφεξῆς, μέχρι τῆς πάσης τῶν οὐρανίων κύκλων συμπληρώσεως. Τὸ γὰρ, ἧ ἐτάχθησαν ὑπὸ τοῦ ποιητοῦ αὐτῶν καὶ πατρὸς, ταύτῃ αὐτοὺς ἐγνωκέναι τε καὶ τιμᾶν, τῷ θείῳ νόμῳ κατακολουθούντων ἐστὶ, καὶ τὴν ὄντως τιμὴν αὐτοῖς ἀποδιδόντων· καὶ τὸ μήτε ὑπεραίρειν τὴν ἀξίαν μήτε ἀπολείπεσθαι ταύτης ἐν ταῖς περὶ αὐτῶν ἐννοίαις, [n]ἀλλὰ τοῦτο αὐτοὺς εἶναι τίθεσθαι, ὃ γεγόνασι, καὶ ταύτην ἔχειν τὴν τάξιν, ἣν εἰλήχασιν, ἐπὶ τὸν δημιουργὸν αὐτῶν Θεὸν ἀναφέρει τὸ σέβας, ὃν καὶ [o]θεῶν Θεὸν κυρίως

[n] ἀλλὰ καὶ] καὶ om. S. [o] θεὸν θεῶν] θεῶν θεὸν S.

que Hierocles. Sic enim comm. in vers. 67, dicit astrorum, et solis, τὸ ὅλον ἐξ οὐσίας ἀσωμάτου καὶ σώματος constare, atque hoc esse πρῶτον γένος τῶν λογικῶν, id est, hos esse ἐγκοσμίων πρώτους, et quos carmen vocat Ἀθανάτους θεούς. Horum vero τάξιν secundum sphæras fusius describit in sequentibus. ASHT.

1. δημιουργικὸς νόμος] Nihil aliud est *lex opifex* sive *æterna* quam Providentia, divina voluntas, aut Deus ipse, qui universitatem condidit. In MS. Mediceo scribitur λόγος, quod optime quadrat cum iis quæ habet Plato in Epinomide t. II. p. 986 C. κόσμον ὃν ἔταξε λόγος ὁ πάντων θειότατος ὁρατόν. DACERIUS.

12. Θεὸν θεῶν] Ita supremum Deum Macrobius *Deorum Deum* appellat Sat. 1, 9. Wolfius vero in collat. Gudianæ editione notat, Platonis esse hanc phrasim, ex ejus verbis in Origenis φιλοσοφουμένοις citatis, sc. θεὸς θεῶν ἐγὼ δημιουργὸς, minime animadvertens corrupte ibi lecta, pro θεοὶ θεῶν, ὧν ἐγὼ δημιουργὸς, uti in Platonis Timæo exstant p. 41. Hæc vero phrasis primum, quod sciam, in Vet. Test. versione τῶν ὁ apparuit, ubi verus ille et supremus Deus sæpe Θεὸς θεῶν appellatur: unde, ut opinor, desumtam postea usurpabant Platonici. Sic enim Proclus in Plat. Theol. p. 110, de πρωτίστῳ Θεῷ dicit, Θεός ἐστι θεῶν ἁπάντων, et Iamblic. de Myster. sect. 8. c. 2. ἀρχὴ οὗτος, καὶ Θεὸς θεῶν. Itidem Simplicius, ἀρχὴ ἀρχῶν, καὶ Θεὸς θεῶν, in Epict. p. 234, 236. ed. L. Bat.; quibus consentiens hic Hierocles dicit, horum Ἀθανάτων θεῶν δημιουργὸν proprie dici posse Θεὸν θεῶν; et merito quidem, quia, ut supra dixi, astra tantum et planetæ sunt hi Dii, quos in sequentibus ideo ἀτρέπτους dicit, et ἀεὶ νοεῖν Θεὸν, quod stabilem et eundem semper in cœlo cursum peragant. ASHT.

ἂν εἴποι τις, καὶ θεῶν ὕπατον, καὶ ἄριστον· τὴν δὲ ὄντως
[13] ἀξίαν τοῦ κοσμοποιοῦ καὶ [p]ἀριστοτέχνα Θεοῦ μόνως ἂν
ἐξεύροιμεν, εἰ καὶ θεῶν αἴτιον αὐτὸν καὶ ἀτρέπτων λογικῶν
οὐσιῶν ποιητὴν θησόμεθα. Τούτους γὰρ νῦν ἀθανάτους θεοὺς
ὠνόμασεν ὁ λόγος, τοὺς ἀεὶ καὶ [q]ὡσαύτως νοοῦντας τὸν
δημιουργὸν Θεὸν, καὶ ἀεὶ πρὸς τὸ ἐκείνου ἀγαθὸν [r]συντετα-
μένους, καὶ ἀπ' ἐκείνου τὸ εἶναι καὶ [s]εὖ εἶναι ἀμερίστως
καὶ ἀτρέπτως λαμβάνοντας, [t]ὡς τῆς δημιουργικῆς αἰτίας
[v]εἰκόνας αὐτοὺς ὄντας ἀπαθεῖς καὶ ἀκακύντους. Πρέπει [16]
γὰρ τῷ Θεῷ καὶ τοιαύτας ὑποστῆσαι ἑαυτοῦ εἰκόνας, καὶ
μὴ πάσας τρεπτὰς καὶ ἐμπαθεῖς τῇ εἰς κακίαν ὑποφορᾷ·
οἵαί εἰσιν αἱ ἀνθρώπιναι ψυχαὶ, τῶν λογικῶν φύσεων τὸ
ἔσχατον οὖσαι γένος· ὥσπερ αὖ ἀκρότατον ἦν [w]νῦν τὸ τῶν
ἀθανάτων θεῶν λεγόμενον γένος. Καὶ [x]μήποτε πρὸς
ἀντιδιαστολὴν τῶν ἀνθρωπίνων ψυχῶν ἀθάνατοι θεοὶ οὗτοι
ἐκλήθησαν· ὡς μὴ ἀποθνήσκοντες τὴν θείαν εὐζωΐαν, μηδὲ

p ἀριστοτέχνου] ἀριστοτέχνα S. q ὡσαύτως] ὡσ αὕτως S. et sic infra.
r συντεταμένους] συντεταγμένους S. s τὸ εὖ] τὸ om. S. t ὡς] ϛ' S.
v αὐτοὺς ὄντας εἰκόνας] εἰκόνας αὐτοὺς ὄντας S. w νῦν τὸ] ἴσ. τὸ νῦν Holsten. x μήποτε] μὴ S. μήποτε Vat. M. πρὸς γὰρ pro καὶ μήτε πρός M.

1. θεῶν ὕπατον,] Editt. priores male habent θεὸν: At G. recte θεῶν, nam Homeri sunt verba, θεῶν ὕπατος, καὶ ἄριστος, Il. τ'. 258, et ψ'. 43. ASHT.

2. ἀριστοτέχνα Θεοῦ] Pindaro debetur hoc dictum, etsi in editis non apparet; sic enim Plutarchus *de Sera vindicta* testatur, Πίνδαρος ἀριστοτέχναν ἀνακαλεῖ τὸν κύριον ἁπάντων Θεὸν, quod et repetit in *Sympos.* 1, 2. et *de Commun. Notit.* Ita et Clem. Alex. Strom. 5. Πίνδαρος, Πυθαγόρειος ὤν, τὸν τούτων δημιουργὸν, τὸν ἀριστοτέχναν πατέρα λέγει. Hinc Dio Chrysost. in Olympico, Δωδωναῖε μεγασθενὲς, ἀριστοτέχνα πάτερ. Orat. 12. Itidem Methodius ap. Epiphan. ὁ ἀριστοτέχνας Θεός. Hær. 64, 18. ASHT. Vid. Wyttenbach. ad Plut. II. p. 550 A.

6. συντεταμένους] Sic recte em. Mer. Casaubonus. Sæpe hæc permutantur. p. 108. Noster habet γεννήματα ψυχῆς πρὸς τὸ ἄριστον ἀνατεταμένης. in pr. edd. ἀνατεταγμένης. et p. 164. εὖ μάλα διατεταμένως ὅμνυσιν ex MS. Med. pro διατεταγμένως. Sana tamen vox mansit p. 162. δυνάμεις τῆς λογικῆς ψυχῆς συντεταμένας ἔχωμεν πρὸς τὰ τῆς ἀρετῆς παραγγέλματα. Qua dictione sæpius usus est Hierocles. NEEDHAM.

ἐν λήθῃ ποτὲ γιγνόμενοι μήτε τῆς ἑαυτῶν οὐσίας, μήτε τῆς τοῦ πατρὸς ἀγαθότητος. Τούτοις δὲ ἡ ἀνθρωπίνη ψυχὴ τοῖς πάθεσιν ὑπόκειται, ποτὲ μὲν νοοῦσα τὸν Θεὸν, καὶ τὴν ἑαυτῆς ἀξίαν ἀπολαμβάνουσα, ποτὲ δὲ τούτων ἀποπίπτουσα. Διὸ καὶ εἰκότως [y]θνητοὶ θεοὶ λέγοιντο ἂν αἱ
[14] ἀνθρώπιναι ψυχαὶ, ὡς ἀποθνήσκουσαί ποτε τὴν θείαν εὐζωΐαν τῇ ἀπὸ Θεοῦ φυγῇ, καὶ ἀναβιωσκόμεναι αὐτὴν πάλιν τῇ πρὸς Θεὸν ἐπιστροφῇ· καὶ οὕτω μὲν ζῶσαι τὸν θεῖον βίον, ἐκείνως δὲ ἀποθνήσκουσαι, (ὡς οἷόν τε ἀθανάτῳ οὐσίᾳ θανάτου μοίρας μεταλαχεῖν,) οὐ τῇ εἰς τὸ μὴ εἶναι ἐκβάσει, ἀλλὰ τῇ τοῦ εὖ εἶναι ἀποπτώσει. Θάνατος γὰρ λογικῆς οὐσίας ἀθεΐα καὶ ἄνοια, οἷς ἕπεται καὶ ἡ περὶ τὸν βίον ἄμετρος τῶν παθῶν ἐπανάστασις. Ἐν γὰρ τῇ ἀγνοίᾳ τῶν κρειττόνων ἀνάγκη δουλεύειν τοῖς χείροσιν· ὧν ἐλευθεριάσαι ἄλλως οὐχ οἷόν τε, ἢ τῇ δι' ἀναμνήσεως εἰς Νοῦν καὶ Θεὸν ἐπιστροφῇ. Μεταξὺ δὲ τῶν οὕτω λεγομένων ἀθανάτων θεῶν καὶ τῶν θνητῶν, ὡς εἴπομεν, θεῶν, ἀνάγκη γένος τι εἶναι, τιμιώτερον μὲν ἀνθρώπου, καταδεέστερον δὲ Θεοῦ, τῇ δι' ἑαυτοῦ μεσότητι τὰ ἄκρα πρὸς ἄλληλα συνάπτον, ὥστε

[y] θεοὶ θνητοὶ] θνητοὶ θεοὶ S.

5. θεοὶ θνητοὶ—] Sicut animas hic humanas θεοὺς θνητοὺς appellat, ita in libro septimo de providentia apud Photium Cod. 214, easdem animas secundum Platonem vocat ἀθανάτους ἀνθρώπους· atque sic olim Heraclitus, θνητοὶ θεοὶ, ἄνθρωποι ἀθάνατοι, ap. Max. Tyr. Diss. 29, quem Lucian. in vit. Auct. irridens dicit, τί δαὶ ἄνθρωποι; θεοὶ θνητοί. τί δαὶ οἱ θεοί; ἄνθρωποι ἀθάνατοι. ASHT. Hæc attulit Needham.

15. δι' ἀναμνήσεως—] Dacerius Platonicam hic rerum in priore vita actarum ἀνάμνησιν intelligit, in quo plane fallitur; nam Hierocles reditum tantum vult ad sanam mentem, quando sc. animus, qui, ut supra dicit, ἐν λήθῃ ποτ' ἐγένετο, se recolligit, et quid sui sit officii in memoriam revocat. Sic comm. in vers. 17, εἰς ἀνάμνησιν τοῦ νόμου ἐλθεῖν, et ἐπιστρέψαι εἰς ἀνάμνησιν τοῦ ὀρθοῦ λόγου. atque idem fere est, quod dicit comm. in vers. 52, ἐπιστρέφειν πρὸς τὸν Θεὸν καὶ ἀναμνήσει τὴν λήθην ἀφανίζειν, ac in lib. I. de provid., τῇ πρὸς νοῦν στροφῇ τὴν τοῦ ἀνοηταίνειν ἀσθένειαν ἀφαίρεσθαι, καὶ ὀρθῶς μετανοεῖν. ap. Phot. Cod. 251. ASHT.

τὸ πᾶν τῆς λογικῆς δημιουργίας αὐτὸ ἑαυτῷ συνδεδέσθαι καλῶς. Τοῦτο δὴ τὸ μέσον οὔτε παντελῆ ἄγνοιαν τοῦ Θεοῦ [18]
ἴσχει ποτὲ, οὔτε παντελῶς ἀκίνητον καὶ ἀεὶ ὡσαύτως διαμένουσαν γνῶσιν· ἀλλ' ἀεὶ μὲν γινώσκει, ἄλλως δὲ καὶ ἄλλως ἐπιβάλλει, καὶ μᾶλλόν ἐστιν ὅτε καὶ ἧττον. Τῷ μὲν ἀεὶ γινώσκειν ἀναβέβηκε τοῦ ἀνθρωπίνου γένους· τῷ δὲ μὴ ἀτρέπτως μηδὲ ὡσαύτως ἀεὶ γινώσκειν ὑποβέβηκε τοῦ [z]θείου· φύσει
[17] μέσον ὑπάρχον, καὶ οὔτε προκοπῇ βελτιωθὲν ἐξ ἀνθρώπου, οὔτε ἀμελείᾳ ὑποβὰν ἐκ Θεοῦ εἰς τὴν μέσην τάξιν. Πρῶτα γὰρ, καὶ δεύτερα, καὶ τρίτα ὁ δημιουργὸς Θεὸς ὑπέστησε φύσει διαφέροντα ἀλλήλων, καὶ μὴ συγχεόμενα πρὸς ἄλληλα, μηδὲ ἀρετῇ καὶ κακίᾳ τὴν τάξιν διαμείβοντα· ἃ δὴ κατ' οὐσίαν ἑστῶτα ἀϊδίως, τῇ [a]συμπροελθούσῃ αὐτοῖς τάξει κατὰ γένος διέστη, καὶ ταῖς δημιουργικαῖς αἰτίαις ἀνάλογον ἐτάχθη. Ὡς γὰρ ἐκεῖ πρῶτα, καὶ μέσα, καὶ ἔσχατα τῆς παντελείου σοφίας ἡ τάξις ἔχει· (τοῦτο γάρ ἐστιν αὐτῇ καὶ τὸ εἶναι σοφίᾳ, τὸ ἐν τάξει καὶ τελειότητι προάγειν τὴν ποίησιν· ὥστε συνεισίεναι ἀλλήλαις σοφίαν, καὶ τάξιν, καὶ τελειότητα·) οὕτω δὴ καὶ ἐν τῷδε τῷ Παντὶ τὰ πρὸς τὴν πρώτην νόησιν τοῦ Θεοῦ γενόμενα, πρῶτα ἂν εἴη ἐν κόσμῳ· τὰ δὲ πρὸς τὴν [b]μέσην, καὶ αὐτὰ μέσα· καὶ τὰ τῷ πέρατι τῶν νοήσεων ἐοικότα, τελευταῖα ἂν εἴη ἐν λογικοῖς. Ἔστι γὰρ

[z] θείου] θῦ S. [a] συμπροελθούσῃ] συμπληρπροελθουσηι S.
[b] μέσην μέσα] μέσην καὶ αὐτὰ μέσα S.

13. συμπροελθούσῃ] Ita G. pro συμπροσελθούσῃ, quod male exhibebant editt. priores; nam si hæc τεταγμένα προῆλθον, ut dicit postea, tum certe συμπρῆλθεν αὐτοῖς ἡ τάξις, utpote ὁμοφυὴς αὐτῶν τῇ ἀξίᾳ, et, ut ait, τῇ οὐσίᾳ αὐτῶν σύνδρομος. ASHT.

21. πρὸς τὴν μέσην, μέσα·] Ita legere non dubitavimus, exclusis illis, καὶ τὰ, ante μέσα in editt. prior., cum sic plane flagitet loci constructio, sc. τὰ πρὸς τὴν πρώτην, πρῶτα· τὰ δὲ πρὸς τὴν μέσην, μέσα. atque ita legisse videtur in codice suo Curter., qui vertit, *media autem, quæ ad mediam*, etsi in Græco illa, καὶ τὰ, operarum fortasse incuria, tum ante μέσα, tum post, leguntur. ASHT.

πᾶς μὲν ὁ λογικὸς διάκοσμος, μετὰ τοῦ συμπεφυκότος αὐτῷ ἀφθάρτου σώματος, εἰκὼν ὅλου τοῦ δημιουργοῦ Θεοῦ. Τῆς δὲ ἐκεῖ ἀκρότητος τὰ ἐν κόσμῳ πρῶτα ἀκήρατος εἰκών· καὶ τῆς ἐκεῖ μεσότητος μέση εἰκὼν τὰ ἐνταῦθα μέσα· καὶ τοῦ πέρατος τῆς ἐκεῖ [c]θεότητος τελευταία εἰκὼν τὰ ἐν λογι-
[18] κοῖς τρίτα καὶ ἔσχατα. Τούτων δὲ τῶν τριῶν γενῶν τὸ μὲν πρῶτον ἀθανάτους θεοὺς ὁ παρὼν λόγος ἐσήμανε· τὸ δὲ μέσον, ἥρωας ἀγαυούς· καὶ τὸ ἔσχατον, δαίμονας κατα- [20]
χθονίους, ὡς μικρὸν ὕστερον εἰσόμεθα. Νῦν δὲ ἐπὶ τὰ πρῶτα πάλιν ἐπανέλθωμεν. Τίς ὁ νόμος, καὶ ἡ κατὰ τοῦτον τάξις, καὶ ἡ πρὸς τὴν τάξιν ἀποδιδομένη τιμή; Νόμος μὲν, ὁ δημιουργικὸς νοῦς, καὶ ἡ θεία βούλησις, ἡ ἀϊδίως παράγουσα τὰ πάντα, καὶ εἰς ἀεὶ διασώζουσα· Τάξις δὲ ἔννομος, ἡ ἀπὸ τοῦ πατρὸς τῶν ὅλων καὶ δημιουργοῦ τοῖς ἀθανάτοις θεοῖς συνεισελθοῦσα, καὶ ποιοῦσα ἐν αὐτοῖς τοὺς μὲν πρώ-
τους, τοὺς δὲ δευτέρους. Εἰ γὰρ καὶ, ὡς ἐν [d]παντὶ τῷ λογικῷ διακόσμῳ, τὴν ἀκρότητα ἔλαχον, [e]ὅμως ἐν ἑαυτοῖς ποικίλλονται, καὶ εἰσὶν ἄλλοι ἄλλων θειότεροι. Μήνυμα δὲ τῆς κατ' οὐσίαν αὐτῶν ὑπεροχῆς τε καὶ ὑποβάσεως, ἡ τῶν οὐρανίων σφαιρῶν τάξις, κατ' οὐσίαν καὶ δύναμιν τὴν θέσιν διαλαχοῦσα, ὡς ἐν τῇ οὐσίᾳ αὐτῶν κεῖσθαι τὸν νόμον, καὶ τὴν τάξιν ὁμοφυῆ εἶναι αὐτῶν τῇ ἀξίᾳ. Οὐ γὰρ, ὡς ἔτυχεν ὑποστάντες, ὕστερον διεκρίθησαν· ἀλλὰ τεταγμένοι

[c] θεότητος τελευταία] λῆ μακρ S. marg. [d] παντὶ] παντὶ τῷ S. [e] ὅμως] ὁμοίως S.

1. λογικὸς διάκοσμος] Hierocles hic per λογικὸν διάκοσμον vult, ut ex loci serie apparet, τὰ τρία γένη τῶν λογικῶν seu ἐγκοσμίων θεῶν (de quibus supra diximus) quorum omnium animabus, ex Pythagoreorum et Platonicorum sententia, dicit σῶμα ἄφθαρτον συμπεφυκέναι, quod eis vehiculi instar sit; illud utique, quod in Timæo Plato vocat λεπτὸν ὄχημα ψυχῆς, et σῶμα φωτεινὸν, et αὐγοειδές: de quo fusius postea disserit in comm. in vers. 67. ASHT.

17. ὅμως] G. habet ἀλλ' ὁμοίως, plane pro ἀλλ' ὅμως, quod quidem malim. Sic enim Plato, Demosthenes, aliique sæpissime. ASHT.

προῆλθον εἰς τὸ εἶναι, ὥσπερ [f]ἐν ἑνὶ ζώῳ τῷ ὅλῳ οὐρανῷ
[21] διάφορα ὄντες μέρη, καὶ [g]τὴν πρὸς ἄλληλα σύνταξιν ἐν
τῇ κατ' εἶδος διαστάσει ἅμα καὶ συναφῇ [h]ἀποσώζοντες,
ὥστε μηδὲ ἐπάλλαξιν τῆς θέσεως αὐτῶν ἐπινοηθῆναί ποτε
δύνασθαι, εἰ μὴ μετὰ τῆς φθορᾶς τοῦ παντός· ἦν ἀδύνατον 5
ἐπισυμβῆναι, ἔστ' ἂν ᾖ τὸ πρῶτον αὐτῶν αἴτιον ἀμετάβλη-
τον πάντη καὶ ἄτρεπτον, καὶ τὴν οὐσίαν τῇ ἐνεργείᾳ τὴν
αὐτὴν κεκτημένον, καὶ τὴν ἀγαθότητα οὐκ ἐπίκτητον ἔχον,
ἀλλ' οὐσιωμένην καθ' αὐτὴν, καὶ δι' αὐτὴν τὰ πάντα πρὸς
[bh]τὸ εὖ εἶναι παράγον. [i]Αἰτία γὰρ τῆς τῶν πάντων ποιή- 10
σεως αὐτῷ οὐδεμία ἄλλη πρόσεστιν εὔλογος, πλὴν τῆς κατ'
οὐσίαν ἀγαθότητος. Ἀγαθὸς γὰρ ἦν, φησίν· ἀγαθῷ δὲ

[f] ἐν ἑνὶ] ἐν om. S. [g] τὴν πρὸς] πρὸς τὴν S. [h] ἀποσώζοντες] ἀποσωίζοντες S. [hh] τὸ om. S. [i] Αἰτία γὰρ] αἰτία γὰρ ἡ S.

1. ὥσπερ ἐν ἑνὶ ζώῳ] Defuit præpositio ἐν in editt. prioribus, per scribæ primum incuriam, ut videtur, omissa; quam nos tamen addere non dubitavimus, auctore ipso Hierocle in lib. de providentia, ubi de eadem re dicit, τὰ τρία γένη ὡς ἐν ἑνὶ ζώῳ συνηρτῆσθαι, ap. Phot. Cod. 214. sic Synes. περὶ ἐνυπν. initio, ἀδελφῶν ὄντων τῶν ἐν ἑνὶ ζώῳ τῷ κόσμῳ: eadem phrasi utitur Antonin. 4, 40. ὡς ἓν ζῶον τὸν κόσμον—ἐπινοεῖν. et Plotin. Enn. 4. 4, 32. πᾶν τοῦτο ὡς ἓν ζῶον. Itidem Iamblic. de Myst. Sect. 4, 12. ὡς ἓν ζῶόν ἐστι τὸ πᾶν. Sic etiam Proclus, ὡς ἐν ἑνὶ ζώῳ πάντα περιείληπται, τά τε πρῶτα, καὶ μέσα, καὶ τελευταῖα, in Plat. Timæ. p. 10. ASHT.

9. δι' αὐτὴν] Restituimus hic veterem lectionem, pro qua editor Cant. temere reposuit δι' αὐτῆς. Hierocles enim hic assignat causam, δι' ἣν ὁ Θεὸς συνέστησε τὸ πᾶν, bonitatem sc., uti mox sequitur. Sic ipse Plato in Timæo, p. 29. λέγωμεν αἰτίαν, δι' ἣν τὸ πᾶν συνέστησε· ἀγαθὸς ἦν, ——. Causa quidem efficiens, δι' ἧς, *per quam* creavit omnia, erat ejus δύναμις, sed τὸ τελικὸν αἴτιον, causa movens et finalis ratio, δι' ἣν, *propter quam* creavit, erat ἡ ἀγαθότης, ut ait Proclus in Timæ. p. 112. Itidem p. 109. δι' ἀγαθότητα ποιητής ἐστι: et p. 110. ποιεῖ ἀπὸ τῆς ἀγαθότητος· δι' αὐτὴν γὰρ ποιεῖ. Sic Sallust. περὶ θεῶν, c. 5. δι' ἀγαθότητά ἐστι τὰ ὄντα: et c. 7. διὰ τὴν τοῦ Θεοῦ ἀγαθότητα ὄντος τοῦ κόσμου. Dionys. Areop. de nom. Div. c. 1. πάντα πρὸς τὸ εἶναι παρήχθη διὰ τὴν αὐτοῦ ἀγαθότητα. Ita et Io. Philop. de Creat. 1, 3. τὸ ἀγαθὸν, δι' ὃ γέγονεν ἕκαστον. δι' αὐτὸ γὰρ μόνον δημιουργεῖν πεπείσμεθα τὸν Θεόν. Et, cum de rerum productione tantum hic agat, malim πρὸς τὸ εἶναι, sine εὖ, ut postea habet; atque sic censet Pearson. in Symb. p. 56. ASHT.

12. φησὶν] Plato sc.; quem ideo non nominat, quia notissimum erat hoc ejus in Timæo [p. 29 E.]

οὐδεὶς περὶ οὐδενὸς οὐδέποτε ἐγγίνεται φθόνος. Αἱ δὲ [22]
παρὰ τὴν ἀγαθότητα λεγόμεναι αἰτίαι τῆς δημιουργίας
τοῦδε τοῦ παντὸς ἀνθρωπίναις [k] περιστάσεσιν μᾶλλον ἢ
τῷ Θεῷ πρέπουσιν. [l] Ἀγαθὸς δὴ ὢν τὴν [m] οὐσίαν ὁ Θεὸς
τὰ μάλιστα ὡμοιωμένα αὐτῷ πρῶτα φύσει παρήγαγε· καὶ 5
δεύτερα, τὰ τὴν μέσην ὁμοιότητα πρὸς αὐτὸν κεκτημένα·
[n] τρίτα δὲ καὶ ἔσχατα, πάντων τῶν ἐοικότων αὐτῷ τὰ πρὸς
τὴν θείαν ὁμοίωσιν μάλιστα ὑφειμένα. Τῇ δὲ οὐσίᾳ τῶν
γινομένων σύνδρομος ἦν ἡ τάξις, ὥστε τὸ φύσει κρεῖττον προ-
τεταγμένον εἶναι τοῦ καταδεεστέρου ἔν τε τοῖς ὅλοις γένεσιν 10
καὶ ἐν τοῖς καθ' ἕκαστον γένος τὴν κατ' εἶδος [o] ὑπόβασιν
[22] κεκτημένοις. Οὐ γὰρ τύχαις ἐκληροῦτο τὴν τάξιν τὰ πάντα,
οὐδὲ [p] προαιρέσεων μεταβολαῖς, ἀλλὰ νόμοις δημιουργικοῖς
διάφορα [q] παρήγετο, καὶ τὴν τάξιν ἀνάλογον ταῖς τῶν φύ-
σεων ἀξίαις ἐλάγχανε. Διὸ, [r] τὸ νόμῳ ὡς διάκεινται, 15
τίμα, οὐ μόνον ἐπὶ τῶν ἀθανάτων θεῶν, ἀλλὰ καὶ ἐπὶ
τῶν ἀγαυῶν ἡρώων καὶ τῶν ἀνθρωπίνων ψυχῶν κοινῶς
ἀκουστέον. Ἔστι γὰρ πλῆθος εἰδῶν ἐν ἑκάστῳ γένει καθ'

[k] μᾶλλον περιστάσεσιν] περιστάσεσιν μᾶλλον S. [l] Ἀγαθὸς δὲ] ἀγαθὸς δὴ S. [m] φύσιν] οὐσίαν S. [n] τρίτα] τρία S. [o] ὑπόστασιν] ὑπόβασιν S. Sic Vat. et Med. optime ut p. 17 pr. p. 18 p. med. p. seq. 11. Vide omnino Procli στοιχει. θεολ. §. 21, 36. 110, 97. ubi inepte *fundamentum* vertunt et sic passim ineptit. Atque ita etiam Aurispa *fundamentum et subjectum*. HOLST. [p] προαιρέσεως] προαιρέσεων S. [q] προήγετο] παρήγετο S. [r] τὸ] τῷ S.

dictum, ἀγαθὸς ἦν, ἀγαθῷ δὲ οὐδεὶς— φθόνος. Sic Proclus in Timæ. p. 290. ἐμβιβάσαι γοῦν εἰς ὄχημα αὐτὴν, φησίν, Plato sc. in Phædro. Ita et Antonin. 7, 63. πᾶσα ψυχὴ ἄκουσα, φησὶν, (sc. Plato) στέρεται ἀληθείας, atque sic sæpe alii. ASHT. φησὶν mss. φύσει edd. vett.

5. πρῶτα φύσει] Abfuit vox φύσει in Cod. Veneto, quo usus est Aurispa; et satis commode abesse potest, nisi legas φύσει πρῶτα, mutato verborum ordine, quem a scriba inversum merito suspicabatur editor Cant.; sic enim Hierocles, φύσει μέσον, et φύσει κρεῖττον, et φύσει κρείττονες. ASHT.

6. τὰ τὴν] Sic G. S. τὰ om. edd. vett.

11. καὶ ἐν τοῖς] Sic G. S. ἔν τε τοῖς editt. pr.

18. πλῆθος εἰδῶν] Hieroclem hic immerito reprehendit Dacier., quod πλῆθος esse dixerit ἐν πρώτῳ

ὑπεροχὴν καὶ ὑπόβασιν τεταγμένον. Τοιαύτη μὲν ἡ φύσις τῶν λογικῶν οὐσιῶν, καὶ ἡ τάξις. [s]Τίς δὲ ὁ νόμος, καὶ ἡ τούτῳ ἑπομένη τιμή; Πάλιν [t]λέγομεν, ὅτι νόμος μὲν ἡ ἄτρεπτος [v]τοῦ Θεοῦ δημιουργικὴ ἐνέργεια, ἡ γεννῶσα τὰ θεῖα γένη, καὶ τάττουσα ἀϊδίως καὶ ἀμεταβλήτως· ἡ δὲ σύμφωνος τῷ νόμῳ τιμὴ, ἡ τῆς οὐσίας ἐστὶ τῶν τιμωμένων γνῶσις, καὶ ἡ πρὸς αὐτὰ κατὰ δύναμιν ἐξομοίωσις. Ὁ γὰρ ἄγαταί τις, καὶ μιμεῖται, ὅσον αὐτῷ οἷόν τε· καὶ τιμὴν ποιεῖται τοῦ ἀνενδεοῦς τὴν τῶν ὑπ' ἐκείνου προτεινομένων ἀγαθῶν ὑποδοχήν. Οὐ γὰρ τιμήσεις τὸν Θεὸν δίδούς τι αὐτῷ, ἀλλ' ἄξιος τοῦ λαβεῖν τὰ παρ' ἐκείνου [w]γινόμενος. [24] Ὡς γάρ φασιν οἱ Πυθαγόρειοι, Τιμήσεις τὸν Θεὸν ἄριστα, [25] ἐὰν τῷ Θεῷ τὴν διάνοιαν ὁμοιώσῃς. Καὶ, [x]Ὅστις τίμα τὸν Θεὸν ὡς προσδεόμενον, οὗτος λέληθεν οἰόμενος ἑαυτὸν τοῦ Θεοῦ εἶναι κρείττονα. Καὶ, Ἡ τῶν προσφερομένων πολυτέλεια τιμὴ εἰς Θεὸν οὐ γίνεται, εἰ μὴ μετὰ τοῦ ἐνθέου φρονήματος [y]προσάγοιτο. Δῶρα γὰρ καὶ θυηπολίαι ἀφρόνων, πυρὸς [y]τροφή· καὶ ἀναθήματα, ἱεροσύλοις χορηγία. Τὸ δὲ ἔνθεον φρόνημα, διαρκῶς ἡδρα-

[s] Τίς δὲ] τίς δαὶ S. [t] λέγομεν] λέγωμεν S. [v] τοῦ Θεοῦ] Post τοῦ rasura in S. [w] γενόμενος] γινόμενος S. qui mox Πυθαγόριοι. [x] προσάγοιτο] προάγοιτο S. [y] τροφὴ] τροφῆι S.

γένει, sc. ἀθανάτων θεῶν, nescius plane hos ἀθανάτους θεοὺς stellas esse, quæ sunt innumeræ. ASHT.

4. δημιουργικὴ] Sic G. S. Editt. pr. καὶ ἡ δημιουργική.

8. ἄγαται] Sic G. S. ἀγαπᾷ edd.

ib. Ad Platonis verba in lib. 6. [p. 500 C.] de Repub. respicere videatur Hierocles, sc. ὅτῳ τις ὁμιλεῖ ἀγάμενος, μιμεῖται ἐκεῖνο. ASHT.

12. Τιμήσεις] Ita totidem fere verbis Latine in Sexti Pythagorei sententiis ap. Galæ. Mythol., *optime honorat Deum, qui mentem suam similem Deo facit.* ASHT.

13. Ὅστις τίμα τὸν Θεὸν, ὡς προσδεόμενον—] Sic fere Apollou. Tyan. ap. Euseb. Præp. Ev. 4, 13. δεῖται οὐδενὸς, οὐδὲ παρὰ κρειττόνων, ἤπερ ἡμεῖς. Ita et Simplic. in Epict., ὅσιον καὶ δίκαιόν ἐστι τοῖς δεδωκόσιν ἀπάρχεσθαι, οὐχ ὅτι δεῖται τούτων ὁ Θεὸς, &c. p. 219. ed. L. B. ASHT.

18. θυηπολίαι ἀφρόνων—] Hæc Græca, usque ad εὔξασθαι, totidem fere verbis extant in Demophili sentent. Pythagor. ap. Galæ. Mythol. ASHT. Ap. Stobæum IV. 109. Notavit Needham.

σμένον, συνάπτει Θεῷ. Χωρεῖν γὰρ ἀνάγκη τὸ ὅμοιον πρὸς τὸ ὅμοιον· ὅθεν καὶ μόνος ἱερεὺς ὁ σοφὸς λέγεται, μόνος θεοφιλὴς, μόνος εἰδὼς εὔξασθαι. Μόνος γὰρ οἶδε τιμᾶν, ὁ τὴν ἀξίαν μὴ συγχέων τῶν τιμωμένων, καὶ ὁ προηγουμένως ἱερεῖον ἑαυτὸν προσάγων, καὶ ἄγαλμα θεῖον τεκταίνων τὴν ἑαυτοῦ ψυχὴν, καὶ ναὸν εἰς ὑποδοχὴν τοῦ θείου φωτὸς τὸν ἑαυτοῦ παρασκευάζων νοῦν. Τί γὰρ τοιοῦτον προσάξεις ἀπὸ τῶν ἐν μέσῳ κειμένων ὑλῶν, ὃ τῷ Θεῷ προσφυὲς ἄγαλμα ἐργάσῃ, ἢ δῶρον ἐνοῦσθαι αὐτῷ δυνάμενον; ἃ δὴ ἐπὶ τῆς λογικῆς οὐσίας καθαρθείσης συμβαίνειν ἀνάγκη. Ὡς γὰρ οἱ αὐτοὶ ἄνδρες φασὶ, ψυχῆς καθαρᾶς τόπον οἰκειότερον ἐπὶ γῆς Θεὸς οὐκ ἔχει· οἷς καὶ ὁ Πύθιος συμφέρεται, λέγων,

εὐσεβέσιν δὲ βροτοῖς γάνυμαι τόσον, ὅσσον ὀλύμπῳ.

[26] Εὐσεβὴς δὲ, ὁ τὴν θείαν ἐπιστήμην ἔχων, καὶ τὴν [z]ἑαυτοῦ τελείωσιν, ὡς τιμὴν ἀρίστην, προσάγων τοῖς τῶν ἀγαθῶν αἰτίοις, τῇ σπουδῇ τῆς κτήσεως πρὸς τοὺς χορηγεῖν πεφυκότας ἐπιστρεφόμενος, καὶ [a]τῷ λαμβάνειν τὰ ἀγαθὰ δύνασθαι τιμῶν τοὺς ἀεὶ διδόντας αὐτά. Ὁ δὲ ἄλλως τιμᾶν

[z] ἑαυτοῦ] ἑαυτ S. [a] τῷ] τὸ S.

8. ἀπὸ τῶν—ὑλῶν] Nempe, οὐδὲν ἔνυλον, ὃ μὴ τῷ ἀνύλῳ ἀκάθαρτον, ut optime notat Porphyrius περὶ Ἀποχ. 2, 34. est vero Θεῷ προσφυὲς ἄγαλμα idem quod vocat alibi θεοειδὲς ἄγαλμα. Sed et æque commoda est altera lectio in MSS. Gall. προσφιλὲς ἄγαλμα, cui consentit Aurispæ versio, *Deo acceptum simulachrum*. ASHT.

11. ψυχῆς καθαρᾶς—] Hæc quoque exstant in Demoph. sentent. ap. Galæ. ASHT.

14. εὐσεβέσιν δὲ βροτοῖς—] Hunc versum citans Julianus Imper. in Fragm. p. 300. ed. Lips. sic notat, θέα τὴν φιλανθρωπίαν τοῦ Θεοῦ, γάνυσθαι φάσκοντος τῇ τῶν εὐσεβῶν ἀνδρῶν διανοίᾳ, ὅσον ὀλύμπῳ τῷ καθαρωτάτῳ: confer Porphyr. περὶ Ἀποχ. lib. 2. sect. 34, 60, 61. ASHT.

18. τῷ λαμβάνειν τὰ ἀγαθὰ δύνασθαι, τιμῶν—] Sc. quod sit ἄξιος τοῦ λαβεῖν τὰ παρ' ἐκείνων, ut dixit in pag. præcedente. Ita fere Joseph. in lib. 2. advers. Apion., παράκλησις πρὸς Θεὸν ἔστω δι' εὐχῆς καὶ δεήσεως, οὐκ ὅπως δῶ τἀγαθὰ (δέδωκε γὰρ αὐτὸς ἑκὼν, καὶ πᾶσιν εἰς μέσον κατέθηκε) ἀλλ' ὅπως δέχεσθαι δυνώμεθα, καὶ λαβόντες φυλάττωμεν. His autem consimilia legas ap. Sallust. περὶ θεῶν cap. 15. ed. Galæ. ASHT.

τὸ θεῖον προαιρούμενος, καὶ μὴ δι' ἑαυτοῦ, παρανάλωμα τῆς ἔξωθεν εὐπορίας ποιεῖται τὴν τιμὴν, οὐκ οἰκείαν ἀρετὴν [26]
προσφέρων, ἀλλὰ ἀπὸ τῶν ἐκτὸς [b] αὐτῷ ἀφοσιούμενος. Ταῦτα δὲ οὐδὲ σπουδαίῳ ἀνδρὶ λαμβάνειν ἡδὺ, [c] μὴ μετὰ τῆς ἀρίστης διαθέσεως διδόμενα. [d] Τοιοῦτον δὲ καὶ τὸ τοῦ Πυθίου πάλιν ἀπόφθεγμα. Πρὸς γὰρ τὸν ἑκατόμβας θύσαντα μὴ μετ' εὐσεβοῦς γνώμης, καὶ πυνθανόμενον πῶς εἴη προσδεδεγμένος τὰ παρ' αὐτοῦ δῶρα, ἀποκρίνεται,

ἀλλά μοι εὖαδε χόνδρος ἀγακλυτοῦ Ἑρμιονῆος,

τὸ εὐτελέστατον προκρίνων τῆς τοσαύτης πολυτελείας, ὅτι δὴ θεοσεβεῖ γνώμῃ κεκόσμητο. Μετὰ ταύτης γὰρ πάντα θεοφιλῆ· καὶ ἄνευ ταύτης οὐδὲν Θεῷ φίλον ἄν ποτε γένοιτο. Καὶ τὰ μὲν περὶ θεοσεβείας καὶ ὁσιότητος ἱκανῶς ἐν τῷ παρόντι λέλεκται. Ἐπειδὴ δὲ τὸν νόμον τῆς τοῦ Παντὸς διατάξεως ἄτρεπτος φρουρὰ διατηρεῖ, καὶ τῆς φρουρᾶς ταύ-

[b] αὐτῷ] αὐτ S. i. e. αὐτοῖς. [c] μὴ μετὰ] μὴ om. S. [d] Τοιοῦτο] τοιοῦτον S.

3. αὐτῷ] Sic G. pro αὐτοῖς, quod habent editt. priores; nam refertur ad τὸ θεῖον, quod paulo ante præcessit. In illis vero, quæ mox sequuntur, ταῦτα δὲ οὐδὲ σπουδαίῳ—, respicit plane ad Platonis verba de Leg. 4. p. 716, παρὰ δὲ μιαροῦ δῶρα οὔτ' ἄνδρα ἀγαθὸν, οὔτε θεόν ἐστι ποτὲ τό γε ὀρθὸν δέχεσθαι. Unde et Cic. de Leg. 2, 16. *Vir nemo bonus ab improbo se donari velit.* ASHT.

6. Πρὸς γὰρ τὸν ἑκατόμβας θύσαντα—] Ad Thessalum sc. quendam; cui τοὺς χρυσόκερως βοῦς καὶ ἑκατόμβας offerenti respondit Pythia, μᾶλλον τὸν Ἑρμιονέα κεχαρίσθαι, qui farinæ tantum, quantum tribus digitis capere potuit, obtulit, uti narrat Porphyr. de Abstin. 2, 15. ASHT. Porphyrii locum a Bentleio emendatum dederat Needham.

ib. ἑκατόμβας θύσαντα] Hæc fusius enarrantur apud Porphyrium de Abst. II. 14, 15. Εὐδάπανον καὶ εὔπορον πρὸς συνεχῆ εὐσέβειαν συντελεῖ, καὶ πρὸς τὴν ἁπάντων· καὶ μαρτυρεῖ γε ἡ πεῖρα, ὅτι χαίρουσι τούτῳ οἱ θεοὶ, ἢ τῷ πολυδαπάνῳ. Οὐ γὰρ ἄν ποτε τοῦ Θετταλοῦ ἐκείνου τοὺς χρυσόκερως βοῦς καὶ τὰς ἑκατόμβας τῷ Πυθίῳ προσάγοντος, μᾶλλον ἔφησεν ἡ Πυθία τὸν Ἑρμιονέα κεχαρίσθαι (sic l. Bentleius) θύσαντα τῶν ψαιστῶν ἐκ τοῦ πηριδίου τοῖς τρισὶ δακτύλοις· προσεπιβαλόντι δὲ, διὰ τὸ ῥηθὲν, τὰ λοιπὰ πάντα τῆς πήρας (sic Bentl. male prius τοῦ πυρὸς) ἐπὶ τὸν βωμὸν, εἶπε πάλιν, ὅτι δὶς τόσον ἀπέχθοιτο τοῦτο δράσας, ἢ πρότερον ἦν κεχαρισμένος. Οὕτω τὸ εὐδάπανον φίλον θεοῖς. NEEDHAM.

11. θεοσεβεῖ γν.] Sic G. S. Infra iidem ταύτης pro αὐτῆς.

[28] της φύλακα τοῖς παλαιοῖς ἔθος ἦν δι' ἀπορρήτων ὅρκον ὀνομάζειν, εἰκότως ἐφεξῆς τοῖς προειρημένοις ὡς ἀκόλουθον ἐπάγει δόγμα τὸ περὶ ὅρκου παράγγελμα.

II. 2.

—καὶ σέβου ὅρκον—

Νόμον μὲν ἐν τοῖς προτέροις ἀπεφηνάμεθα, τὴν ἀεὶ [e]ὡσαύτως ἔχουσαν ἐνέργειαν τοῦ Θεοῦ, τὴν ἀϊδίως καὶ ἀτρέπτως τὰ πάντα πρὸς [f]τὸ εἶναι παράγουσαν. Ὅρκον δὲ νῦν [g]ἑπομένως ἂν τῷ νόμῳ λέγοιμεν, τὴν ἐν ταυτότητι τὰ πάντα διατηροῦσαν αἰτίαν, καὶ οὕτως αὐτὰ βεβαιουμένην, ὡς ἐν ὅρκου πίστει κρατούμενα, καὶ διασώζοντα τοῦ νόμου τὴν τάξιν, ὥστε ἀποτέλεσμα τοῦ δημιουργικοῦ νόμου

[e] ὡσαύτως] καὶ ὡς αὕτως S. [f] τὸ εἶναι] τὸ εὖ εἶναι S. [g] ἑπομένως] ἑπομένους S.

6. ἀεὶ ὡσαύτως ἔχουσαν ἐνέργειαν] Conjunctio καὶ, quam post ἀεὶ exhibent editt. priores, cum loco inepta sit, nos eam scribæ tantum sphalma judicantes omisimus, idque ob has rationes: primo, quia loci sententiam plane perturbat; nam expende, quæso, ejus partes, ἀεὶ ἔχουσαν ἐνέργειαν, *semper se habentem operationem*, atque, ὡσαύτως ἔχουσαν ἐνέργειαν, *eodem modo se habentem operationem;* nam posterioris quidem sensus apparet, sed priori nullus inest sensus; at lege sine καὶ, sc. ἀεὶ ὡσαύτως ἔ. ἐ., et nil erit manifestius, nempe, *semper eodem se modo habentem operationem.* Atque, ut sic legatur, postulat, 2do hujus dictionis usus apud Platonicos frequentissimus; ita enim, ταῦτα ἀεὶ ὡσαύτως ἔχει, ψυχὴ ἀεὶ ὡσαύτως ἔχουσα, ἀεὶ ὡσαύτως ἔχοντες θεοὶ, et consimilia, innumeris in locis apud Platonem, Iamblichum, Proclum, et Simplicium reperimus. Fateor equidem illam quoque phrasim, ἀεὶ καὶ ὡσαύτως, sæpe occurrere, et recte quidem cum verbo γινώσκειν aut νοεῖν· uti haud semel habet Hierocles, ἀεὶ καὶ ὡσαύτως νοεῖν Θεὸν, non vero item cum verbo ἔχειν, uti hic, nisi in loco plane mendoso, ut postea ostendemus. ASHT.

8. πρὸς τὸ εἶναι παράγουσαν] MSS. quidem Gall. et vetus interpres Aurispa habent πρὸς τὸ εὖ εἶναι. Sic supra p. 20. δι' αὐτῆς τὰ πάντα πρὸς τὸ εὖ εἶναι παράγον. et p. 14. ἀπ' ἐκείνου τὸ εἶναι καὶ τὸ εὖ εἶναι—λαμβάνοντας. Hic tamen τὸ εὖ (Bentleio judice) non est admittendum: nam in locis laudatis de *bonitate* Dei loquitur Hierocles, unde τὸ εὖ εἶναι accipimus: hic de *potentia* Dei, unde τὸ εἶναι. Sic de *voluntate* Dei p. 20. θεία βούλησις, ἡ παράγουσα τὰ πάντα, hoc est, εἰς τὸ εἶναι παράγουσα. NEEDHAM.

εἶναι τὸ ἀπαράβατον τῆς ἐν τοῖς δημιουργηθεῖσιν εὐταξίας. Τὸ γὰρ διαμένειν τὰ πάντα νόμῳ ὡς διάκεινται, προηγούμενον ἔργον ἂν εἴη τοῦ [h]ὅρκου τοῦ θείου, ὃς ἐν μὲν τοῖς ἀεὶ [28]
νοοῦσι τὸν Θεὸν μάλιστά τε καὶ ἀεὶ [i]διασώζεται· ἐν δὲ τοῖς ποτὲ μὲν νοοῦσι, ποτὲ δὲ ἀφισταμένοις τῆς θείας γνώσεως, 5
καὶ ὁ ὅρκος ὁμοίως παραβαίνεται μὲν ὑπὸ τῶν ἀφισταμένων, αὖθις δὲ τηρεῖται ὑπὸ τῶν πρὸς τὴν θείαν στροφὴν ἀναγομένων. Ἡ γὰρ τήρησις τῶν θείων νόμων ὅρκος νῦν λέγεται, ᾧ δέδεται καὶ ἀνήρτηται πάντα πρὸς τὸν δημιουρ-
[30] γὸν Θεὸν τὰ γιγνώσκειν αὐτὸν πεφυκότα· ὧν τὰ μὲν, ἀεὶ 10
ἐχόμενα αὐτοῦ, ἀεὶ σέβει τὸν ὅρκον· τὰ δὲ ἀφιστάμενά ποτε, τότε καὶ περὶ τὸν ὅρκον ἀσεβεῖ, οὐ μόνον τοῦ θείου νόμου τὴν τάξιν ἀλλὰ καὶ τοῦ θείου ὅρκου τὴν πίστιν παραβαίνοντα. Τοιοῦτος μὲν οὖν ὁ τοῖς λογικοῖς γένεσιν

[h] ὅρκου τοῦ θείου] θείου ὅρκου S. [i] διασώζεται] σώζεται S.

7. θείαν στροφὴν] G. habet ἐπιστροφὴν, quod nonnullis fortasse magis placeat; defendi tamen potest στροφήν; hanc autem lectionem irridens editor Cant., loco ejus (Bentleii, ut ait, judicio fretus) temere inseruit ἀναστροφήν. Agnosco sane sacræ scripturæ vocem, sed nihil ad hanc rem; nec, quia ipse Hierocles eam infra habet, ideo reponi hic debuit; ibi enim loquitur de terrenæ inter homines vitæ ἀναστροφῇ, et jurejurando ad eam pertinente: hic vero de θείῳ ὅρκῳ agit, cujus τήρησις ad τρία γένη τῶν λογικῶν spectat, dicitque horum τρίτον γένος, sc. καταχθονίους δαίμονας, quos alibi αἰθερίους μεταπίπτοντας, et ἀθανάτους ἀνθρώπους vocat, cum ἀμφίβιοι sint, et modo in æthere, modo in terra degere possint, similiter θεῖον ὅρκον modo observare, modo violare: nimirum, observant, dum in æthere manentes Deum cognoscunt; violant autem, cum a Dei cognitione excidentes corpus assumunt; addit tamen, animas illas sic lapsas, relictis demum corporibus, pristinum in æthere statum recuperare posse, ac ad Dei cognitionem, et θείου ὅρκου τήρησιν, reverti, cum scilicet πρὸς θείαν στροφὴν ἀνάγονται, id est, cum illæ, quæ prius ἔξω θείου χοροῦ erant, ut alibi dicit, rursum τῷ θείῳ συνάπτονται χορῷ, et τῷ θείῳ χορῷ συμφέρονται. Hæc enim θεία στροφὴ eadem plane est, quam alibi vocat τὴν πρὸς Θεὸν ἐπιστροφὴν, et πρὸς νοῦν στροφὴν, et quæ ἡ ἄνω στροφὴ a Simplicio appellatur, atque a Proclo, ἡ εἰς τὸ αἴτιον στροφὴ, et ἡ πρὸς τοὺς θεοὺς ἐπιστροφή. Vides igitur hanc phrasim, quam editor Cant. tanquam *ineptam et absurdam* rejecit, Hierocle Platonico non esse indignam. ASHT.

ἐνουσιωμένος ὅρκος, ἔχεσθαι τοῦ πατρὸς αὐτῶν καὶ ποιητοῦ, καὶ μὴ παραβαίνειν μηδαμῇ τοὺς ὑπ' ἐκείνου διορισθέντας [j]νόμους προσαναγκάζων. Ὁ δὲ ἐν ταῖς κατὰ τὸν βίον ἀναστροφαῖς ὅρκος ἴχνος ἐστὶν ἐκείνου, πρὸς ἀλήθειαν ἀπευθύνων τοὺς δεόντως αὐτῷ χρωμένους. Τὸ γὰρ ἀμφίβολον τῆς ἀνθρωπίνης προαιρέσεως εἰς βεβαιότητα [k]μεταρρυθμίζει, καὶ μένειν ἐπὶ τῆς ταυτότητος ἀναγκάζει, ἔν τε λόγοις καὶ ἔργοις· τοῦτο μέν, τῶν γεγενημένων τὸ σαφὲς ἐκφαίνων· τοῦτο δέ, τῶν μελλόντων γενήσεσθαι τὸ βέβαιον ἀπαιτῶν· διὰ ταῦτα δὴ καὶ μάλιστα σέβεσθαι προσήκει τὸν ὅρκον· τὸν μὲν κατ' οὐσίαν προϋπάρχοντα, διὰ τὴν τῆς [l]ἀϊδιότητος φρουράν· τὸν δὲ ἀνθρώπινον, καὶ τοῖς ἐν βίῳ πράγμασιν ἐπίκουρον, ὡς εἰκόνα ἐκείνου, καὶ μετ' [m]ἐκεῖνον βεβαιότητος καὶ ἀληθείας [n]γενόμενον ἡμῖν πρύτανιν, καὶ τῶν καλλίστων ἠθῶν πληροῦντα τοὺς σέβειν αὐτὸν μεμαθηκότας. Σέβας δὲ ὅρκου μόνον ἂν εἴη ἡ τήρησις τῶν
[33] [o]ὠμωμοσμένων, ὅσον ἐφ' ἡμῖν, [p]ἀπαραπόδιστος, ἡ πρὸς τὸ [30]
μόνιμον καὶ ἀληθευτικὸν τῆς θείας ἕξεως τῇ ἑκουσίῳ ἀνάγκῃ τοὺς σέβοντας τὸν ὅρκον συναρμόζουσα. Καὶ ἡ μὲν πρώτη καὶ ἀπόρρητος εὐορκία διὰ τῆς εἰς Θεὸν ἐπιστροφῆς αὖθις ἀναλαμβάνεσθαι πέφυκε ταῖς καθαρτικαῖς ἀρεταῖς τὴν παρέκβασιν [q]ἰωμένης τοῦ θείου ὅρκου· ἡ δὲ βιωτικὴ

j νόμους προσαναγκάζων om. S. k μεταρρυθμίζει] μεταρρυθμίζειν S.C. Correxit Needham. l ἀϊδιότητος] ἰδιότητος S. m ἐκεῖνον] ἐκείνου S. n γενόμενον] γινόμενον S. o ὠμωμοσμένων] ὁμω. S. p ἀπαραπόδιστος] ἀπαραποδίστως S. ἀπαρεμπόδιστος Med. Vat. ap. Holst. q ἰωμένοις] ἰωμένη S. Dedi ἰωμένης monente Ashtono.

3. προσαναγκάζων] Hoc e G. adjecimus, quod et sententia plane flagitat; sicque de ὅρκῳ etiam βιωτικῷ paulo post dicit, μένειν ἐπὶ τῆς ταυτότητος ἀναγκάζει. ASHT.

17. ἀπαραπόδιστος, ἡ πρὸς—συναρμόζουσα.] Addidit hic edit. Cant. e D. τήρησις δὲ λέγεται ante ἡ, et δύναμις post συναρμόζουσα: at cum de his sileat G., et glossema plane sapiant, ac omnino supervacanea sint, veterem lectionem restituimus. ASHT.

22. ἰωμένοις] Sic edit. Cant. e MS. Med. pro vulg. ἰωμένη. Recte quidem, si addidisset τοῖς,

εὐορκία ταῖς πολιτικαῖς ἀρεταῖς διασώζεται. Μόνοι γὰρ οἱ τὰς ἀρετὰς ταύτας κεκτημένοι καὶ [r]εὐορκεῖν ἐν τοῖς κατὰ τὸν βίον δύνανται· ἡ δὲ κακία μήτηρ ἐπιορκίας τῷ ἀβεβαίῳ τοῦ ἤθους τὸν ὅρκον καταπατοῦσα. Πῶς γὰρ ἂν ὁ φιλοχρήματος ἢ πρὸς ἀργυρίου λῆψιν ἢ ἀπόδοσιν εὔορκός ποτε γένοιτο; [s]Πῶς δὲ ὁ ἀκόλαστος, ἢ ὁ δειλὸς, [t]ἐμμείνειεν τοῖς ὅρκοις; Καὶ οὐχ ὅπου δ' ἂν ἑκάτερος αὐτῶν οἰηθείη πλέον τι ἕξειν, ἐν οἷς ἐστιν ἥττων, ἐνταῦθα τὸ σέβας τῶν ὅρκων ἀποδύσεται, θνητὰ καὶ ἐπίκηρα τῶν θείων ἀγαθῶν ἀνταλλαττόμενος; Οἷς δὲ καλῶς τὸ τῶν ἀρετῶν ἐνίδρυται κτῆμα, τούτοις εὖ καὶ τὸ σέβας τῶν ὅρκων διασώζεσθαι πέφυκε. Μελέτη δὲ ἀρίστη τοῦ τηρεῖν τὸ περὶ [v]αὐτὸν σέβας, τὸ μὴ πυκνῶς, μηδὲ ὡς ἔτυχε, χρῆσθαι τῷ ὅρκῳ, μηδὲ ἐπὶ τοῖς παρατυχοῦσι, μηδὲ εἰς ἀναπλήρωσιν [w]λόγου, μηδὲ εἰς

[r] εὐορκεῖ] εὐ ὀρκεῖν S. [s] Πῶς δὲ] πῶς δαὶ S. [t] ἐμμένη] ἐμμείνειεν S. Lego ἐμμένοιεν et sic Med. Sic p. 49. ἐμμένειν τοῖς λόγοις ὡς νόμους Holst. [v] αὐτὸν] αὐτ̃ S. [w] λόγου] χρόνου V.

ut sit, ἀναλαμβάνεσθαι πέφυκε τοῖς ταῖς καθαρτικαῖς—ἰωμένοις. At non male sic legi et distingui posse mihi videtur, διὰ τῆς ἐπιστροφῆς αὖθις ἀναλαμβάνεσθαι πέφυκε, ταῖς καθαρτικαῖς—ἰωμένης, sc. ἐπιστροφῆς. Sic enim in codicibus sæpe η et οι invicem permutantur. Huic vero lectioni favere videatur Sallust. περὶ θεῶν cap. 14. διὰ τῆς πρὸς τὸ θεῖον ἐπιστροφῆς τὴν ἡμετέραν κακίαν ἰώμενοι. Et ipse Hier. postea, τούτων λύσις ἡ πρὸς θεὸν ἐπιστροφὴ, et ἐπιστροφὴ πρὸς τὸν θεῖον νόμον τὰς ἀφορμὰς περικόπτουσα τῆς ἀπειθείας. ASHT.

6. ἢ ὁ δειλὸς, ἐμμένῃ τοῖς] Sic recepimus e G. pro vitiosis illis, ἢ δειλὸς ἐμμένει ἐν τοῖς, in duabus editt. primis, et, ἢ δειλὸς ἐμμενεῖ ἐν τοῖς, in ed. Cant. ASHT.

7. ὅπου δ' ἄν] *Durius* hoc putans editor Cant. *reposuit* ὅπουγ' ἄν: temere vero, et nimis imperite; nam sic dure Xenophon in Œconom. c. 5. ὅπου δ' ἂν ἀναγκασθῇ ἡ γῆ χερσεύειν. Porphyr. de Abstin. 4. 17. ὅπου δ' ἂν τύχῃ τῆς πόλεως. Et alii sæpe: differentia autem inter ὅπουγε, et ὅπου δ' ἄν, satis est, ut opinor, juvenibus nota. ASHT.

8. τῶν ὅρκων] Editor Cant., auctore Bentleio, hic, et paulo post, fidenter hæc mutavit in τοῦ ὅρκου. Quidni autem legatur τῶν ὅρκων, uti supra τοῖς ὅρκοις? quia, inquit, in proxima sententia sequitur singulare αὐτόν; atqui non huc refertur illud αὐτὸν, sed plane ad τῷ ὅρκῳ in eadem sententia; hic enim est verborum ordo, τὸ μὴ πυκνῶς χρῆσθαι τῷ ὅρκῳ μελέτη ἀρίστη τοῦ τηρεῖν τὸ περὶ αὐτὸν σέβας. ASHT.

[34] πίστωσιν διηγήματος· ἀλλ' ὡς οἷόν τε τηρεῖν αὐτοῦ τὴν χρείαν ἐν τοῖς ἀναγκαίοις τε ἅμα καὶ τιμίοις, καὶ τότε, ὅτε οὐδεμία ἄλλη τῶν τοιούτων σωτηρία παραφαίνεται, εἰ μὴ διὰ μόνης τῆς ἐκ τοῦ ὅρκου ἀληθείας. Ἔσται δὲ ταῦτα πιστὰ τοῖς ἀκούουσιν, εἰ τὸν τρόπον σύμφωνον τῷ ὅρκῳ παρεχοίμεθα, καὶ μηδεμίαν ὑποψίαν καταλείποιμεν, ὡς ἄρα ποτὲ τῶν ἀνθρωπίνων πραγμάτων φανείη τι μεῖζον ἡμῖν ἀληθείας, εἴτε ἀνωμότοις, εἴτε καὶ ὀμνύουσι. [32] Τὸ δὴ σέβου ὅρκον οὐ μόνον εὐορκεῖν, ἀλλὰ καὶ ἀπέχεσθαι ὅρκου, παρεγγυᾷ. Οὕτω γὰρ ἂν τηρήσαιμεν τὸ ἀεὶ εὐορκεῖν, εἰ μὴ [x] καταχρησοίμεθα τῷ ὅρκῳ. Καὶ γὰρ ἐν τῇ συνεχείᾳ τοῦ ὀμνύειν ῥᾳδίως ἂν μεταπέσοι τις εἰς ἐπιορκίαν. Φειδοῖ δὲ τήρησις ἕπεται. Ἡ γὰρ οὐκ ὀμεῖται, ἢ, ὅταν ὄμνυσιν, εὐορκήσει· καὶ [y] οὔτε ἂν ὑπὸ συνηθείας προδράμῃ ἡ [z] γλῶσσα, οὔτε ὑπὸ παθῶν ἀκρατείας ἡ διάνοια σφαλείη. Τὴν μὲν γὰρ ὁ τρόπος ὀρθώσει χρηστὸς ὤν, τὴν δὲ, τὸ ἔθος τῆς [a] ἀποχῆς τοῦ ὀμνύναι. Πρέπει δὲ τῇ προειρημένῃ τιμῇ τῶν θεῶν ἡ εὐορκία, [b] ὡς ἀεὶ σύμφυτος καὶ ὀπαδὸς τῆς εὐσεβείας· καὶ γὰρ καὶ ὁ ὅρκος τοῦ θείου νόμου ἦν φύλαξ κατὰ τὴν τοῦ Παντὸς διακόσμησιν. Τίμα οὖν [37] τὸν νόμον ἑπόμενος αὐτοῦ τῇ διατάξει, καὶ σέβου τὸν ὅρκον τῷ μὴ προχείρως αὐτῷ καταχρῆσθαι, [c] ἵνα εἰθισθῇς

[x] καταχρησοίμεθα τοῖς ὅρκοις] καταχρησώμεθα τῶι ὅρκωι S. [y] οὔτε ἂν] ὅτ' γ* S. i. e. ὅτ' ἂν et sic infra. [z] γλῶσσα] γλῶττα S. [a] ἀποχῆς] ἐποχῆς S. [b] ὡς ἀεὶ] ἀεὶ om. S. [c] ἵν' ἐθισθῇς] ἵνα εἰθισθῇς S.

10. τὸ ἀεὶ εὐορκεῖν] Deest ἀεὶ in G. et satis commode abesse potest, nisi malis, inversis verbis, sic legere, τηρήσαιμεν ἀεὶ τὸ εὐορκεῖν. Ita Crotoniatis præcepit Pythagoras, μηδενὶ καταχρήσασθαι τῶν θεῶν εἰς ὅρκον, &c. ut ait Iamblic. in Vita. n. 47. ASHT. Habet S. ἀεί.

15. προδράμῃ ἡ γλῶσσα] Deest id, cui præcurrit lingua; subaudi igitur τῆς διανοίας, quod tamen, si faverent codices, additum mallem, sc. προδράμῃ ἡ γλῶσσα τῆς διανοίας. Nam respicere videtur Hierocles ad Isocratis ad Demon. verba, πολλοῖς ἡ γλῶττα προτρέχει τῆς διανοίας, aut ad Chilonis præceptum illud, τὴν γλῶτταν μὴ προτρέχειν τοῦ νοῦ, ap. Laërt. 1. 70. ASHT.

εὐορκεῖν ἐκ τοῦ μὴ [d]εἰθίσθαι ὀμνύναι. Μέρος γὰρ οὐ μικρόν ἐστι τῆς εὐσεβείας ἡ εὐορκία. Καὶ περὶ μὲν τοῦ πρώτου γένους τῶν Κρειττόνων, καὶ τοῦ θείου νόμου, τοῦ τῆς τάξεως ἡγουμένου, καὶ τοῦ συνεπομένου ὅρκου τῷ νόμῳ, τοσαῦτα· ὅτι δὲ καὶ τὸ μετὰ Θεοὺς γένος, ὃ ἔφαμεν [e]δεύτερον εἶναι, δευτέρως χρὴ τιμᾶν, ἐπάγει,

III. 2.

—ἔπειθ' ἥρωας ἀγαυούς.

Οὗτοι ἦσαν τὸ μέσον γένος τῶν λογικῶν οὐσιῶν, οἱ μετὰ Θεοὺς τοὺς ἀθανάτους τὴν ἐφεξῆς πληροῦντες χώραν προηγοῦνται τῆς ἀνθρωπίνης φύσεως, καὶ συνάπτουσι δι' ἑαυτῶν τὰ ἔσχατα τοῖς πρώτοις. Τούτοις οὖν, ὡς δευτέροις, τὴν δευτέραν τιμὴν ἀποδιδόναι [f]χρὴ, προσυπακούοντας καὶ ἐπ' αὐτῶν τὸ τίμα νόμῳ ὡς διάκεινται. Ἡ γὰρ ὅλη δύναμις [34] τῆς τιμῆς ἐν τῇ γνώσει τῆς οὐσίας τῶν τιμωμένων κεῖται, ἀφ' ἧς καὶ τὸ τῶν δεόντων εἰπεῖν τι, ἢ πρᾶξαι, πρὸς τὰ τιμώμενα εὖ καὶ καλῶς ἐξευρίσκεται. Πῶς γὰρ ἂν διαλεχθείη τις οἷς ἀγνοεῖ; [g]Πῶς δὲ δῶρον προσάξει [38] τούτοις, ὧν τὴν ἀξίαν οὐκ οἶδεν; Ἡ πρώτη οὖν καὶ ὄντως τιμὴ, καὶ ἐπὶ τῶν ἀγαυῶν ἡρώων, ἐστὶν ἡ τῆς οὐσίας

[d] εἰθίσθαι] εἰσθίσθαι S. [e] δεύτερον] ἀγγελικὸν S. [f] χρὴ] δεῖ S. [g] Πῶς δὲ] πῶς δαὶ S.

1. εἰθίσθαι] Edidit Curter. εἰθισθῆναι, pro quo editor Cant. ἐθισθῆναι, nobis vero loco aptius visum est εἰθίσθαι. quod auctoritate G. et MSS. Gall. recepimus. ASHT.

5. ὃ ἔφαμεν δεύτερον εἶναι] Editt. priores pro δεύτερον exhibent ἀγγελικὸν, quod tamen ante dictum non apparet. Atqui ἥρωες (inquit Davis.) *nominantur, qui iidem sunt, atque* ἄγγελοι. Sunt, fateor, re quidem iidem, sed non nomine, de quo tantum nunc quæritur. Nos autem hoc dubium abstulimus ope G., in quo lectum invenimus ὃ ἔφαμεν δεύτερον, quod omnino rectum judicamus; sic enim Heroas in λογικῶν generibus τὰ δεύτερα bis supra appellavit; sicque locus ipse poscere hic videtur, sc. ὃ ἔφαμεν δεύτερον, δευτέρως χρὴ τιμᾶν, itidem paulo inferius, τούτοις, ὡς δευτέροις, δευτέραν τιμὴν ἀποδιδόναι χρή. ASHT.

αὐτῶν καὶ τῆς τάξεως γνῶσις, καὶ ἡ τῆς παρεπομένης ἐνεργείας, καὶ εἰς τόδε τὸ Πᾶν διατεινούσης συντελείας, εἴδησις. [h] Συμμέτρως δὲ καὶ ταῖς οὐσίαις ἐπὶ πάντων ποιεῖσθαι δεῖ τὴν τιμήν· τοῦτο δὲ ἀπὸ τῆς περὶ αὐτὰς ἐπιστήμης [i] παραγίνεται. Ὅτ' ἂν γὰρ ὡς ἕκαστα φύσεως ἔχει καὶ τάξεως διαγνῶμεν, τότε καὶ ἑπομένως τῷ νόμῳ τὴν τιμὴν αὐτοῖς ἀποδώσομεν. [k] Τιμήσομεν δὲ οὐδὲν τῶν χειρόνων τῆς ἀνθρωπίνης οὐσίας, ἀλλὰ μόνα προηγουμένως μὲν τὰ φύσει κρείττονα, καὶ τὰ ἴσα δὲ, ἀρετῆς ὑπεροχῇ κοσμηθέντα. Ἔστι δὲ τῶν φύσει κρειττόνων πρώτιστος καὶ ἄριστος ὁ δημιουργὸς Θεὸς, ἀσυγκρίτως τῶν πάντων προτιμώμενος. Τῶν δὲ ἐν κόσμῳ πρῶτοι, οἱ ἀπ' αὐτοῦ [l] καὶ μετ' αὐτὸν, ἀτρέπτως αὐτὸν νοοῦντες, καὶ ἀπαθῶς ἐνεικονιζόμενοι τὴν ἀπὸ τῆς δημιουργικῆς αἰτίας εἰς αὐτοὺς κατιοῦσαν τῶν ἀγαθῶν μετουσίαν· οὓς ὁ παρὼν λόγος ἀθανάτους θεοὺς προσεῖπεν, ὅτι οὐκ ἀποθνήσκουσιν, οὐδὲ ἀποβάλλουσι τὴν πρὸς τὸν Θεὸν ὁμοίωσιν, ἀλλ' ἀεὶ καὶ ὡσαύτως ἐν αὐτῇ διατελοῦσι· μέσοι δὲ οὐσίᾳ καὶ τιμῇ, οἱ νῦν λεγόμενοι ἥρωες ἀγαυοὶ, ἀεὶ μὲν νοοῦντες τὸν δημιουργὸν, καὶ τῇ παρ' αὐτοῦ εὐζωίᾳ καταλαμπόμενοι, οὐχ ὡσαύτως δὲ, οὐδὲ
[41] ἀτρέπτως. Ἐν γὰρ τῷ μέσως ἡνῶσθαι πρὸς τὸν Θεὸν καὶ τροπὴν ἀκάκυντον ἐπιδεχόμενοι, [m] ἄλλοτε ἄλλαις ἐπιβολαῖς [36]
περὶ αὐτὸν χορεύουσι, καὶ τὴν ἀμετάβλητον καὶ ἡνωμένην

[h] Συμμέτρως] εὐμέτρως S. et vulg. Correxit Bentleius apud Needham. [i] παραγίνεται] γίνεται S. [k] Τιμήσομεν] τιμήσωμεν S. [l] καὶ μετ'] καὶ om. S. [m] ἄλλοτε ἄλλαις] ἄλλοι τε ἄλλοις S.

12. Τῶν δὲ ἐν κόσμῳ] Ita recte G. pro ὡς δὲ ἐν κόσμῳ, quod exhibent editt. priores [et S.] Vult enim ἀθανάτους θεοὺς, uti mox sequitur, quos sæpe appellat τῶν ἐγκοσμίων πρώτους, et τὰ ἐν κόσμῳ πρῶτα. ASHT.

23. ἡνωμένην θεωρίαν—πεπληθυσμένῃ γνώσει—] Obscuriores paulo sunt hæ phrases; per quas tamen Hierocles, ut opinor, id tantum, quod supra planius dixerat (nempe, Deos immortales ἀεὶ ὡσαύτως νοεῖν τὸν Θεὸν, Heroas vero, ἄλλοτε ἄλλως) vocabulis hic a Pythagoreorum de numeris doctrina tra-

θεωρίαν τῶν πρώτων τῇ ἑαυτῶν πεπληθυσμένῃ γνώσει διαιροῦσί τε ἅμα καὶ συνάγουσι, τὰ πέρατα τῆς ἐκείνων ἐποπτείας ἀρχὰς [n]τῆς ἑαυτῶν ποιούμενοι μυήσεως.

[n] τῆς ἑαυτῶν] τῆς om. S.

ductis exprimere voluit; quippe Pythagorei rerum naturas et potestates per numerorum inter se vim et proportionem συμβολικῶς metiebantur, atque adeo rem quamlibet, quo propius longiusve ab ἀρχῇ, seu monade, abesset, eo plus minusve perfectionis obtinere judicabant; Hierocles igitur Deos hosce cœlestes, qui ad primam causam, monadem sc. (nam μονὰς ὁ Θεὸς) ἀμέσως accedunt, dicit cognitionem ejus habere ἡνωμένην, id est, μοναδικὴν, seu (ut inquit Proclus) μονοειδῆ, unimodam sc., et perfectam, ἀεὶ ὡσαύτως ἔχουσαν: Heroas vero in æthere longius distantes, ad quos cognitio ista per intermedios Deos διεξοδικῶς derivatur, eam non amplius ἑνοειδῆ habere, sed (secundum numerorum analogiam, ab henade in πλῆθος procedentium) πεπληθυσμένην, i. e. (ut ait Proclus) πολυειδῆ καὶ πολυμετάβολον, multimodis sc. variatam, et multipliciter mutabilem, ἄλλοτε ἄλλην, incertam utique et imperfectam. Hoc autem Hierocles iterum in lib. de provid. ap. Phot. Cod. 251. explicatius repetit his verbis, τὸ μὲν ἀεὶ νοεῖν τὸν Θεὸν, καὶ ἡνωμένην αὐτοῦ γνῶσιν ἔχειν, τοῖς οὐρανίοις πρόσεστι· τὸ δὲ ἀεὶ μὲν, διεξοδικῶς δὲ, τοῖς αἰθερίοις ὑπάρχει. Quibus mox subjungit, τὴν νόησιν ἐνιαίαν esse τῶν οὐρανίων, τὴν δὲ ἐν τάξει πληθυνομένην γνῶσιν τῶν αἰθερίων. Hæc vero vocabula in hunc sensum tralata sæpe usurpant Platonici, præsertim Proclus in Platonis Timæum, qui in pag. 8. hanc istius usus rationem reddit, ἐν τοῖς αἰτιωτέροις ἀεὶ καὶ θειοτέροις συνέσταλται τὸ πόσον, καὶ ἠλάττωται τὸ πλῆθος, ὑπερβάλλει δὲ ἡ δύναμις· καὶ ἔστι τοῦτο δόγμα τῶν Πυθαγορείων, παρ' οἷς ἡ τριὰς σεμνοτέρα τῆς τετράδος, καὶ ἡ τετρὰς τῆς δεκάδος, καὶ πάντες οἱ εἴσω τῆς δεκάδος τῶν μετ' αὐτήν· καὶ ἁπλῶς ὁ ἐγγύτερος τῆς ἀρχῆς ἀρχικώτερός ἐστι, τὸ δὲ ἀρχικώτερον δυνατώτερον, ἐπείπερ ἡ πᾶσα δύναμις ἐν τῇ ἀρχῇ προείληπται, καὶ παρὰ τῆς ἀρχῆς δίδοται τοῖς ἄλλοις.— ἐπεὶ δὲ μονὰς ἡ ἀρχὴ, τὸ μοναδικώτερον κρεῖττον καὶ δυνατώτερον τῶν πεπληθυσμένων, καὶ μᾶλλον τῆς αἰτίας ἀφισταμένων. Cæterum notat hic porro Hierocles, Heroas hanc suam γνῶσιν πεπληθυσμένην ad tertium quoque genus τῶν λογικῶν, animas sc. humanas, gradatim transmittere, atque ita suo interventu primum genus ab ultimo secernere simul et connectere; quod et superius dixerat in pag. 20. medium sc. genus τῇ δι' ἑαυτοῦ μεσότητι τὰ ἄκρα πρὸς ἄλληλα συνάπτειν, ὥστε τὸ πᾶν τῆς λογικῆς δημιουργίας αὐτὸ ἑαυτῷ συνδεδέσθαι καλῶς. Atque sic fere dicit Proclus, τὰ δεύτερα τοῖς πρὸ αὐτῶν κατὰ τὴν ἀδιαίρετον πρόοδον ἕπεσθαι, colligata sc. quasi catena quadam cœlitus demissa, quam χρυσῆν ὄντως σειρὰν vocat, in Plat. Timæ. p. 289. ASHT.

3. ἐποπτείας—μυήσεως—] Hierocles altera hic similitudine ab Eleusiniis Mysteriis sumta ostendit, quantum inter Deorum et Heroum γνῶσιν intersit; Deos sc., Ἐποπτῶν instar habentes, ad inti-

Οἱ δὴ καὶ εἰκότως ἀγαυοὶ ἥρωες λέγονται. Ἀγαυοὶ μὲν, ὡς ἀγαθοὶ ὄντες, καὶ φωτεινοὶ ἀεὶ, καὶ μήτ' ἐν κακίᾳ, μήτ' ἐν λήθῃ ποτὲ γινόμενοι· ἥρωες δὲ, ὡς ἔρωές τινες ὄντες, καὶ [o] ἔρωτες, οἷον ἐρωτικοὶ καὶ διαλεκτικοὶ ἐρασταὶ τοῦ Θεοῦ, αἴροντες ἡμᾶς καὶ κουφίζοντες πρὸς τὴν θείαν πολιτείαν ἀπὸ τῆς ἐν γῇ διατριβῆς. Τοὺς δὲ αὐτοὺς καὶ δαίμονας ἀγαθοὺς καλεῖν ἔθος, ὡς ὄντας δαήμονας καὶ ἐπιστήμονας τῶν θείων νόμων. Ἔστι δὲ ὅτε καὶ ἀγγέλους, ὡς ἐκφαίνοντας καὶ [p] διαγγέλλοντας ἡμῖν τοὺς πρὸς εὐζωΐαν κανόνας. Πολλάκις δὲ καὶ ταῖς τρισὶν ἐπινοίαις χρώμενοι τὸ πλάτος τοῦ μέσου γένος εἰς τρία τέμνομεν, καὶ τὸ

[o] ἔρωτες] ἥρωες S. [p] διαγγέλλοντας] διαστέλλοντας S.

mam perfectamque supremi Dei notitiam admitti, cum Heroes gradu iis inferiores μυστῶν tantum, seu recens initiatorum, locum occupent. Dacerius hic quidem in notis pronunciat, hunc locum *ex omni philosophia difficillimum* esse; quem cum interpretum nemo intellexerit, a se primo feliciter enodatum gloriatur; et tamen (quod mireris) in hac solum similitudine, ubi nil difficile, explicanda totus est, superiora vero illa, in quibus sita est difficultas, intacta prorsus silentio præterit. ASHT.

1. Οἱ δὴ] Sic e codice suo edidit Curter.; qui tamen conjectans in margine posuit ᾧ, quam ejus conjecturam recepit editor Cant., sc. ᾧ δὴ, *quam ob causam*, uti vertit Aurispa, ut sic referatur ad præcedentia. At cum in illis Heroum τάξις tantum, non autem nominis ratio declaretur, sed potius in sequentibus, nos codicis verba retinenda esse duximus. ASHT.

3. ὡς ἔρωές τινες ὄντες, καὶ ἔρωτες] Ita G. At e suo codice edidit Curter. ἔρωτές τινες ὄντες, καὶ ἥρωες. Editor vero Cant., more suo, ex Curterii conjectura temere inseruit ἔρωτές τινες ὄντες, καὶ εἴροντες, neglectis prorsus codicibus, et male, ut opinor, participium εἴροντες cum nomine ἔρωτες jungens. E codicibus vero exploranda est hæc res; atque in tam incerta, malui MS. Medic. lectionem, ἔρωές τινες ὄντες, καὶ ἔρωτες, in qua inesse videtur Platonis in Cratylo [p. 398.] duplex vocis Ἥρωες etymon, sc. ἔρωες, quod εἴρειν (seu ἐρεῖν) et ἐρωτᾶν ἱκανοὶ sint, atque ἔρωτες, quod ἐρωτικοί. Attamen vox αἴροντες, quæ mox sequitur, tertium plane in his etymon postulare videtur: sic fortasse, ἔρωές τινες ὄντες, καὶ αἴρωες (seu ἦρωες) ut in ἔρωες duplex sit etymon, ab ἐρᾶν et ἐρωτᾶν, sc. οἷον ἐρωτικοὶ, καὶ ἐρωτηματικοὶ, seu διαλεκτικοί; tertium vero in αἴρωες (vel ἦρωες, vel ἀέρωες) sc. οἷον αἴροντες ἡμᾶς, καὶ κουφίζοντες. Ita fere Etymol. Magn., Ἥρωες, ἀπὸ τῶν ἐρώτων, ἢ, ἀπὸ τῆς ἐρωτήσεως, ἢ παρὰ τὸ ἀέρω, τὸ κουφίζω. Ego vero in loco tam ambiguo nil temere statuendum esse arbitror. ASHT. Ἐρωές τινες ὄντες καὶ ἥρωες Curt.

μὲν προσεχὲς τοῖς οὐρανίοις καλοῦμεν ἀγγέλους· τὸ δὲ τοῖς ἐπιγείοις συναπτόμενον, ἥρωας· [q]τὸ δὲ ἐξ ἴσου τῶν ἄκρων ἀμφοτέρων ἀπέχον, δαίμονας· ὥσπερ πολλαχοῦ ποιεῖ
[42] Πλάτων. Ἔνιοι δὲ ὅλον τὸ μέσον γένος ἑνὶ τῶν τριῶν προσαγορεύουσιν ὀνόματι, ἀγγέλους πάντας λέγοντες, ἢ δαίμονας, ἢ ἥρωας, δι' ἃς εἴπομεν αἰτίας· ὥσπερ καὶ νῦν τὸ μέσον γενὸς πᾶν ἥρωας ἀγαυοὺς εἶπεν, οὕτως ἔχοντας πρὸς τὸ πρῶτον γένος, ὡς αὐγὴ πρὸς πῦρ, καὶ ὡς παῖς πρὸς πατέρα. Ὅθεν καὶ Θεῶν παῖδες οἱ ἥρωες εἰκότως ἐπευφημοῦνται, οὐκ ἐκ θνητῆς συνουσίας αὐτοὶ [r]γεννώμενοι, ἀλλ' ἐκ τῆς μονοειδοῦς αὐτῶν αἰτίας προϊόντες, οἷον φῶς τῇ οὐσίᾳ τοῦ φωτεινοῦ σώματος σύνδρομον· φῶς δὲ [s]ὕπαιθρον καὶ καθαρὸν μεθ' ὃ ἐπινοεῖται τὸ ἐν σκιᾷ φῶς, καὶ τὸ [38]
ὑποσυμμιγὲς σκότῳ γινόμενον· πρὸς ὃ τὴν ἀναλογίαν ἔχει τὸ τρίτον καὶ ἀνθρώπινον γένος, τῷ εἰς κακίαν ποτὲ καὶ λήθην ἐπιρρεπὲς εἶναι, οἷς καὶ τοῦ ἀεὶ νοεῖν τὸν Θεὸν ἀφίσταται· ἄνθρωπος, τῶν μὲν ἀεὶ νοούντων ἀπολειπόμενος τῷ ποτὲ μὴ νοεῖν, τῶν δὲ ἀλόγων ἀναβεβηκὼς τῷ ποτὲ νοεῖν, καὶ πρὸς τὴν θείαν ἐπιστήμην ἀνακαλεῖσθαι, ὁτὲ καὶ τῷ θείῳ [t]συντάττεται χορῷ τὸν ὑλικὸν [v]φθόνον ἀποφυγών,

[q] τὸ δὲ] καὶ τὸ S. [r] γεννώμενοι] γενόμενοι S. [s] ὕπαιθρον] γυμνὸν καθαρὸν S. marg. [t] συντάττεται] συνάπτεται Vat. ap. Holst. [v] φθόνον sic S.

10. γεννώμενοι] Sic G.; quod melius plane est, quam γενόμενοι, quod habent editt. priores; atque sic vertit Aurispa, *geniti*. At quod dicit Hier., οὐκ ἐκ θνητῆς συνουσίας, de utroque parente est intelligendum; aliter enim Platoni contradiceret, dicenti, πάντες γεγόνασιν, ἐρασθέντες, ἢ Θεὸς θνητῆς, ἢ θνητὸς Θεᾶς, in Cratylo, Socrati quoque, cujus, in Apol. ap. Plat. sect. 10. hæc sunt verba, οἱ δαίμονες θεῶν παῖδές εἰσι νόθοι τινὲς, ἢ ἐκ νυμφῶν, ἢ ἔκ τινων ἄλλων. ASHT.

12. ὕπαιθρον] G. γυμνὸν, sed non mutato opus est. ASHT.

20. φθόνον] Conjecit Curter. rectius hic legendum esse φθόρον, et sic vertit, *vitata materiali corruptione;* atque ita quidem φθόρον habet G., adeo ut ὑλικὸς φθόρος idem sonet quod ὑλικὸς μολυσμὸς in sequentibus. Sed Hierocles hic, ut notat editor Cant., respicere videtur ad illa Platonis verba in Phædro p. 247, φθόνος ἔξω χοροῦ τοῦ θείου ἵσταται. At ibi Plato voce φθόνος communi plane in sensu uti videtur; quamobrem igitur Hierocles hoc ei epitheton, sc. ὑλικὸν, daret, restat quærendum. Loquitur hic Hierocles de tertio

καὶ τὴν θνητὴν προσπάθειαν ἀποσεισάμενος. Τότε οὖν καὶ τιμῆς ἄξιος παρ' ἡμῶν ὁ τῆς θείας ἀποδοχῆς ἠξιωμένος, [w]ὡς καὶ τὸ τῆς φύσεως ἴσον τῇ τοῦ κρείττοντος μετουσίᾳ κοσμήσας. Προσήκει γὰρ τιμᾶν τῷ ἐραστῇ τοῦ Θεοῦ καὶ τὰ ὁπωσοῦν ὡμοιωμένα αὐτῷ, εἴτε ἐξ ἀϊδίου τὴν ὁμοίωσιν εἴη κεκτημένα, εἴτε ἀπό τινος χρόνου τυγχάνοι ταύτην ἀσκήσαντα· οἷοί εἰσιν οἱ ἀρετῇ διενεγκόντες ἄνθρωποι, περὶ ὧν ἑξῆς ὁ παρὼν λόγος νομοθετεῖ. [44]

IV. 3.

τούς τε καταχθονίους σέβε δαίμονας ἔννομα ῥέζων.

Τὰς ἀνθρωπίνας ψυχὰς ἀληθείᾳ καὶ ἀρετῇ κοσμηθείσας δαίμονας καλεῖ, ὡς δαήμονας καὶ ἐπιστήμονας. Εἶτα χωρίζων αὐτὰς τῶν φύσει δαιμόνων, οἳ τὸ μέσον γένος πληροῦσι, καταχθονίους προσεῖπεν, ὡς δυναμένας ἐπὶ γῆς

[w] ὡς τὸ] ὡς καὶ τὸ S.

genere τῶν λογικῶν, de animabus sc. humanis, quas ποτὲ νοεῖν, ποτὲ μὴ νοεῖν Θεὸν, dicit; nempe, Deum cognoscunt, dum extra corpora in æthere versantur, obliviscuntnr autem, cum ἔξω θείου χοροῦ descendunt, et in corporibus vitam degunt: has tamen humanas animas tunc etiam brutorum animabus eo dicit excellere, quod corporibus liberatæ ad Dei cognitionem reverti possint, atque divino choro rursum adjungi, cum ὑλικὸν φθόνον effugerint; adeo ut per ὑλικὸν φθόνον idem velle videatur, quod per ὑλικὴν ἀλογίαν in proœmio, quam τὴν τοῦ σώματος ἀφροσύνην vocat Plato in Phædone, c. 10. Atque ita fere Proclus in Plat. Timæ. vocem φθόνος explicat, φθόνος γε μὴν καὶ ἡ ἔνδεια αὐτὴ τῶν ἀγαθῶν,—ὡσπεροῦν εἴ τις ἔλεγεν ἔνδειαν νοῦ, τὸν φθόνον, pag. 110. Ita ut hic φθόνος denotet rationis indigentiam in materia. ASHT.

14. καταχθονίους προσεῖπεν, ὡς δυναμένας ἐπὶ γῆς πολιτεύεσθαι] Dacerius hic (præeunte Salmas. in Præf. ad Ceb. Tab.) Hieroclem reprehendit, quod καταχθονίους et ἐπιχθονίους eosdem fecerit, cum καταχθόνιοι idem sonet ac ὑποχθόνιοι, quo significantur (ut inquit Salmas.) *Dii manes sub terra degentes.* Attamen ambo fatentur Hieroclem recte vocem καταχθονίους Pythagoreorum doctrinæ accommodasse; quod nobis in præsenti sufficit. Nec sane video, cur καταχθόνιος æque ac χθόνιος (ubi res postulat) non idem sonet atque ἐπιχθόνιος. Ita Hesych. χθόνιος, ἐπίγειος, quin et illos Deos, quos Porphyrius ex oraculis appellat χθονίους et ἐπιχθονίους, opposite ad ὑποχθονίους, Eusebius repe-

πολιτεύεσθαι, καὶ γήϊνα σώματα [x]ὑπεισιέναι, καὶ κατὰ γῆς οἰκεῖν· ἵνα, τῷ μὲν δαίμονας εἰπεῖν, χωρίσῃ τῶν φαύλων καὶ ἀνεπιστημόνων ἀνθρώπων, ὡς ἀδαημόνων τινῶν, καὶ οὐ δαιμόνων· τῷ δὲ καταχθονίους προσθεῖναι, διαστήσῃ τῶν ἀεὶ δαημόνων, καὶ ἐπιστημόνων ἀεὶ, καὶ ἐπὶ γῆς πολιτεύεσθαι μὴ πεφυκότων, μηδὲ γηΐνοις συζῆν σώμασιν. [40] Ἡ γὰρ τοῦ καταχθονίου δαίμονος πρόσρησις οὐδενὶ ἄλλῳ προσήκει, ἢ τῷ φύσει μὲν ὄντι ἀνθρώπῳ, [y]σχέσει δὲ γενο-
[46] μένῳ [z]δαίμονι καὶ δαήμονι τοῦ Θεοῦ καὶ ἐπιστήμονι· ἐπειδὴ τὸ τρίτον γένος χθόνιον ἰδίως λέγεται, ὡς ἔσχατον ἐν λογικαῖς οὐσίαις, καὶ χθονίας ζωῆς ἐπιστρεφόμενον. Τὸ γὰρ πρῶτον οὐράνιον ἦν, καὶ τὸ μέσον αἰθέριον. Πάντων οὖν ἀνθρώπων ὄντων κατὰ τοῦτο [a]χθονίων ὡς τρίτων λογικῶν, οὐ πάντων δὲ [aa]δαιμόνων, οὐδὲ σοφῶν, εἰκότως ἐπισυνάψας εἶπε καταχθονίους δαίμονας τοὺς σοφοὺς ἀνθρώπους. Οὔτε γὰρ πάντες ἄνθρωποι σοφοί εἰσιν, οὔτε πάντες οἱ σοφοὶ, ἄνθρωποι· ἀλλὰ καὶ ἥρωες ἀγαυοὶ, καὶ ἀθάνατοι θεοὶ,

x ἐπεισιέναι] ὑπεισίεναι S. ras. y σχέσει δὲ] σχεδε S. σει z δαίμονι] δαίμονι καὶ δαήμονι τοῦ θεοῦ καὶ ἐπιστήμονι S. a καταχθονίων] χθονίων ὡς τρίτων S. aa δαιμόνων] δαημόνων Needham.

tens vocat περιγείους καὶ καταχθονίους (Præp. Ev. 4, 9. et 5, 2.) adeo ut in hoc vocis καταχθόνιος sensu Hierocles præeuntem sibi Eusebium habuerit. ASHT.

9. δαίμονι] Editor Cantab. hic post δαίμονι hæc addidit, καὶ δαήμονι τοῦ Θεοῦ καὶ ἐπιστήμονι, e MSS. Gallicis, atque MS. Medic. ap. Dacerium; atqui illa non agnoscit MS. Med. coll. Gud., nec Lib. Renaud. ap. Dacer., atque satis commode retineri potuit (his exclusis) lectio, quam e suo codice edidit Curter., idque, ut opinor, melius: nam frustra repeti videtur δαίμονος etymon, quod paulo supra bis positum fuerat; nec omnino apte dicitur δαίμονι, καὶ δαήμονι—, cum rectius certe fuisset, δαίμονι, ὡς δαήμονι—, ut in locis supra dictis. ASHT. Hæc verba quum exstent in S. reposui.

13. ὄντων κατὰ τοῦτο καταχθονίων λ.] M. κατὰ τοῦτο χθονίων ὄντων λογικῶν, omissis illis, ὡς τρίτων in editt. pr., idque recte, ut mihi videtur; nam homines non sunt καταχθόνιοι, quatenus sunt τρίτοι λογικοὶ, sed quatenus χθονίας ζωῆς ἐπιστρέφονται. Habet etiam δαημόνων, sed retineo δαιμόνων, nam ipsa Carminis verba hic repetere videtur; lego igitur ὄντων κατὰ τοῦτο καταχθονίων λογικῶν, οὐ πάντων δὲ δαιμόνων. ASHT.

φύσει κρείττονες ἀνθρώπων ὄντες, σοφοί τέ εἰσι καὶ ἀγαθοί. Τοὺς οὖν τοῖς θείοις γένεσι συντεταγμένους ἀνθρώπους σέβειν ὁ λόγος παραινεῖ, τοὺς ἰσοδαίμονας, καὶ ἰσαγγέλους, καὶ τοῖς ἀγαυοῖς ἥρωσιν ὁμοίους. Μὴ γὰρ φαῦλόν τι [b] δαιμόνων γένος ὑπολάβωμεν εἰσηγεῖσθαι δεῖν τιμᾶν, ὡς ἄν τῳ δόξειεν ὑπὸ τῆς συνηθείας τὴν λέξιν ἐμφαίνειν. Ὅλως γὰρ τὰ χείρονα τῆς ἀνθρωπίνης οὐσίας οὐ καθήκει τιμᾶν τῷ ἑρω-

[b] γένος] δαιμόνων γένος S.

4. φαῦλόν τι δαιμόνων γένος] Defuit in editt. prioribus vox δαιμόνων, quam nos, ex G. [et S.] suffragante etiam Aurispa, recepimus: ne existimemus, inquit Hierocles, Carmen per καταχθονίους δαίμονας nobis φαῦλόν τι δαιμόνων γένος colendum proponere. In hoc vero Hierocli consentit Porphyrius, qui dæmonum istorum φαύλων cultum penitus repudiat, περὶ Ἀποχῆς 2, 39. et in Epist. ad Aneb. ap. Iamblic. ed. Galæ. Hanc autem δαιμόνων distinctionem S. S. non agnoscit, sed, ut dicit Euseb., πάντας εἶναι πονηροὺς, atque adeo etymon hic datum rejicit, τοὺς δὲ δαίμονας, οὐχ ἥπερ Ἕλλησι δοκεῖ, παρὰ τὸ δαήμονας εἶναι καὶ ἐπιστήμονας, ἀλλὰ παρὰ τὸ δειμαίνειν, ὅπερ ἐστὶ φοβεῖσθαι καὶ ἐκφοβεῖν, ὀνομάζεσθαι. Præp. Ev. 4, 5. ASHT.

6. τὴν λέξιν] Sc. καταχθονίους, quæ vox συνήθως idem sonat quod ὑποχθονίους. Sic Pluto ab Homero (Il. ι'. 457.) vocatur Ζεὺς καταχθόνιος, i. e. ὑποχθόνιος. Eustath. Καταχθόνιος, κατὰ τῆς γῆς, ἢ, ὁ Ἅδης. Hesych. Hoc vero in sensu καταχθόνιοι δαίμονες sunt φαῦλόν τι γένος. Monet igitur Hierocles καταχθονίους hic non ita intelligi debere, sed perinde quasi dixisset, ἐπιχθονίους δαίμονας, sc. ἀνθρωπίνας ψυχὰς, ἐπὶ γῆς πολιτεύεσθαι δυναμένας, et κατὰ γῆς οἰκεῖν, uti supra dixerat, p. 50. Sic eos, quos ἐπιχθονίους vocat Porphyrius (ap. Euseb. Pr. Ev. 4, 9.) καταχθονίους appellat Eusebius (5, 2.) opposite ad ὑποχθονίους. Frustra igitur Hieroclem hic reprehendit Dacer. Hic vero intactum præterire non possum gravem editoris Cant. in nota ad hunc locum errorem. *Salmasius*, inquit, *in Præf. ad Ceb. Tab. negat Hieroclem* καταχθονίους δαίμονας *accipere de vivis et terram incolentibus divinis viris; verum ipsa Hieroclis verba illum erroris arguunt.* Sed quænam, obsecro, verba? nulla enim profert; nec sane proferre potuit; nam rectissime Salmasius dixit Hieroclem per καταχθονίους δαίμονας velle piorum animas vita functorum; sic enim in hac ipsa pagina eos vocat τοὺς τοῖς θείοις γένεσι συντεταγμένους ἀνθρώπους, post mortem sc.; et paulo inferius dicit nos præceptis ab eis relictis obsequi debere, ac eandem vitæ viam insistere, quam illi transegerant. Quin et in sequentibus expresse eos vocat τοὺς μετηλλαχότας τὸν βίον, et, τοὺς ἐκ τοῦ βίου ἀπελθόντας. Mitto plura; atque hæc quidem juvenum tantum gratia notavimus, ne illis fraudi esset hæc doctissimi viri temeraria nimis affirmatio. ASHT.

τικῶς ἔχοντι τοῦ Θεοῦ, καὶ τῆς [c] ἑαυτοῦ ἀξίας ἠσθημένῳ. Ἀλλ' οὐδὲ αὐτὸν τὸν ἄνθρωπον μετὰ τὰ κρείττονα [d] τιμήσομεν, ἐὰν μὴ τοῖς κρείττοσιν ὡμοιωμένος ᾖ, καὶ τῷ θείῳ χορῷ συμφερόμενος. [e] Τίς οὖν ἡ τιμὴ καὶ τούτων; Τὸ ἔννομα
[49] ῥέζειν, φησί· τοῦτο δέ ἐστι, τὸ πείθεσθαι οἷς ἀπολελοίπασιν 5
ἡμῖν παραγγέλμασι, καὶ ὡς νόμοις ἐμμένειν τοῖς ἐκείνων λόγοις, καὶ τὴν αὐτὴν ὁδὸν μετιέναι τοῦ βίου, ἣν ἐκεῖνοι διελθόντες οὐκ ἐφθόνησαν ταύτης ἡμῖν μεταδοῦναι, ἀλλ' ὥσπερ τινὰ ἀθάνατον καὶ πατρῷον κλῆρον διηγωνίσαντο τοῖς μετα- [42]
γενεστέροις διαφυλάξαι, τὰ στοιχεῖα τῶν ἀρετῶν καὶ ἀλη- 10
θείας τοὺς κανόνας εἰς κοινὸν ὄφελος ἐν γράμμασι καταθέμενοι· οἷς τὸ πείθεσθαι, καὶ ζῆν ἑπομένως, ἀληθεστέρα ἐκείνων τιμὴ γίνεται, ἢ εἴ τις χοὰς αὐτοῖς [f] ἐπιφέροι πολυτελεστάτας, καὶ ἐναγίζοι πλουσίως. Τοιαύτη μὲν ἡ τῶν Κρειττόνων τιμή, ἀπὸ τοῦ δημιουργοῦ ἀρξαμένη, καὶ εἰς 15
ἀνθρώπους τοὺς ἀγαθοὺς περατουμένη διὰ μέσων τῶν οὐρανίων καὶ αἰθερίων γενῶν. Ἐπειδὴ δὲ καὶ τῶν κατὰ τὸν βίον σχέσεων πλεῖστον δεῖ ποιεῖσθαι λόγον, οἷον πατέρων καὶ συγγενῶν, (οἱ οὐ πάντως μέν εἰσιν ἀγαθοί, πάντως δὲ τὸ τίμιον ὡς πρὸς ἡμᾶς τῇ ἀξίᾳ τῆς σχέσεως κέκτηνται,) τού- 20
του χάριν ἐπήγαγε,

V. 4.

τούς τε γονεῖς τίμα, τούς τ' ἄγχιστ' [g] ἐκγεγαῶτας.

Τοὺς μὲν ἀγαθοὺς ἀνθρώπους, ὡς δαιμονίους καὶ θείους,
[50] σέβειν ὁ λόγος ὑπέθετο· τοὺς δὲ γονέας, καὶ τοὺς [h] ἐγγύς 25

[c] ἑαυτοῦ] ἑαυτῆσ S. [d] τιμήσομεν] τιμήσωμεν S. [e] Τίς] τί S.
[f] ἐπιφέρῃ—ἐναγίζῃ] ἐπιφέροι—ἐναγίζοι S. [g] ἐκγεγαῶτας] ἐγγεγαῶτας S.
[h] ἐγγὺς] ἐγγύς τι S.

25. ἐγγὺς] Habet hic G. ἐγγύς τι, quod melius videatur; sic Plato in Phædone, ἐγγύς τι τείνειν τοῦ τεθνάναι. At hic fortasse ita scriptum erat pro ἔγγιστα, quod maxime placeret, sc. ἔγγιστα—τῇ συγγενείᾳ προσήκοντας. Ita ipse Hierocles ap. Stobæ. Ecl. Eth. Serm.

τι τούτων τῇ φυσικῇ συγγενείᾳ προσήκοντας, ὁποῖοί ποτ' ἂν ὦσι, δι' αὐτὴν τὴν τῆς σχέσεως ἀνάγκην, τιμᾶν εἰσηγεῖται. Ὅπερ γὰρ ἡμῖν οἱ Κρείττονές εἰσι, κατὰ τὴν ἀΐδιον συγγένειαν, πατέρων μὲν τάξιν ἔχοντες, οἱ οὐράνιοι· συγγενῶν δὲ τιμίων, οἱ ἥρωες· τοῦτο πρὸς τὸν θνητὸν βίον συντελοῦσιν ἡμῖν οἱ γονεῖς καὶ οἱ ἀγχιστεῖς, οἱ [i]ἐγγύτατα γονέων ὄντες, καὶ διὰ τοῦτο τῇ μετὰ γονέας τιμῇ σεμνυνόμενοι. Πῶς οὖν καὶ τούτους [k]τιμήσομεν; [q]Ἆρα [l]τὸν ἑαυτῶν βίον πρὸς τὴν ἐκείνων ἀπευθύνοντες γνώμην, ὥστε [m]ταῦτα δοξάζειν τε καὶ πράττειν, ἃ [n]ἂν ἐκείνοις εἴη φίλα; Ἀλλ' οὕτως ἂν περιτραπείη ἡ τῶν ἀρετῶν ἄσκησις πρὸς κακίας σπουδήν, εἰ τύχοιεν ὄντες πονηροὶ οἱ πατέρες. Ἀλλὰ [44] [o]ἀτιμάσομεν αὐτοὺς εἰς πάντα, διὰ τὴν τῆς κακίας κατάγνωσιν; Καὶ πῶς ἔτι τῷ παρόντι νόμῳ πειθόμεθα; Πῶς δὲ τὴν θεοειδῆ εἰκόνα τῶν γονέων ἢ τὴν ἡρωϊκὴν τῶν ἀγχιστέων ἔμφασιν [p]μὴ τιμῶντες, οὐκ εἰς ἐκείνους ἀσεβήσομεν, οἷς τούτους ἐοικέναι φαμέν; καὶ οὕτως ἡ δοκοῦσα δι' ἀπειθείας γονέων ἀρετὴ ἡμῖν ἀσκεῖσθαι εἰς μεῖζον κακὸν περιστήσεται, τὴν ἀσέβειαν. Πειθόμενοι δὲ πάντα [53] γονεῦσι, πῶς οὐ πάλιν τῆς εὐσεβείας ἀποπέσοιμεν καὶ τῆς ἄλλης ἀρετῆς, εἰ τύχοιεν ἐκεῖνοι διὰ μοχθηρίαν τρόπου μὴ πρὸς τὰ ὄντως καλὰ παιδαγωγοῦντες ἡμᾶς; Εἰ μὲν γὰρ τοῦτο πάντως ἦν ἀληθὲς καὶ καλὸν, ὃ τοῖς γονεῦσι παρίστατο, σύμφωνος ἡ τῶν γονέων τιμὴ τῇ τῶν κρειττόνων

[i] ἐγγύτατα] ἐγγύτατοι S. [k] τιμήσομεν] τιμήσωμεν S. [l] τὸν] τῶν S. [m] δοξάζειν τε ταῦτα] ταῦτα δοξάζειν τε S. [n] ἐκείνοις ἂν] ἂν ἐκείνοις S. [o] ἀτιμήσομεν] ἀτιμάσομεν S. [p] μὴ τιμῶντες] μιμῶντες S.

77. οἱ συγγενεῖς ἔγγιστα, atque ipsum Carmen, ἄγχιστ' ἐκγεγαῶτες, i. e. ἐγγύτατα ὄντες, ut infra dicitur. ASHT.

24. σύμφωνος—ἐγίνετο] Editor Cant. e MSS. Gall. pro σύμφωνος reposuit συμφώνως, cum rectius plane sit, σύμφωνος ἐγίνετο, i. e. ὅμοιος. Hesych.; addidit etiam de proprio particulam ἂν ante ἐγίνετο, quæ satis commode subaudiri potest; uti apud Atticos sæpe fit: istam igitur ex conjectura additionem non necessariam exclusimus. ASHT.

ἐγίνετο. Εἰ δέ ἐστιν ὅτε τῶν θείων νόμων ἀνήκοός ἐστιν ἡ τῶν γονέων προαίρεσις, τί δεῖ ποιεῖν εἰς ἀντινομίαν ἐμπεσόντας τοιαύτην, ἢ τοῦτο, ὃ καὶ ἐπὶ τῶν ἄλλων καθηκόντων, ἐκ περιστάσεως εἰς ἐναντίωσιν ἐλθόντων, προσήκει φυλάττειν; Μειζόνων γὰρ καὶ ἐλαττόνων [q]προκειμένων καλῶν, τὰ μείζονα πρὸ τῶν ἐλαττόνων ποιεῖσθαι δεῖ, ὅταν μὴ ἀμφότερα ἐξῇ διασώζειν. Οἷον, καλὸν μὲν τῷ Θεῷ πείθεσθαι, καλὸν δὲ καὶ τοῖς γονεῦσιν. Εἰ δὴ πρὸς ταὐτὰ ἡ ἀμφοτέρων ἄγοι πειθώ, ἔρμαιον ἂν εἴη καὶ ἄμαχον· εἰ δὲ πρὸς ἄλλο μὲν ὁ θεῖος νόμος, πρὸς [r]ἄλλο δὲ οἱ γονεῖς φέροιεν, μαχομένης τῆς αἱρέσεως, τοῖς ἀμείνοσιν ἕπεσθαι δεῖ· πρὸς ταῦτα μόνον ἀπειθοῦντας τοῖς [s]γονεῦσι, πρὸς ἃ καὶ αὐτοὶ τοῖς θείοις νόμοις οὐ πείθονται. Τὸν γὰρ φυλάττειν βουλόμενον τοὺς τῆς ἀρετῆς κανόνας οὐχ οἷόν τε τοῖς τούτους
[54] παραβαίνουσι συμφωνεῖν. Εἰς δὲ τὰ ἄλλα πάντα γονέας [t]τιμήσομεν ὑπερβαλλόντως, σώματος ὑπηρεσίαν καὶ χρη- [46]
μάτων χορηγίαν αὐτοῖς παρέχοντες ὅτι μάλιστα [u]προθυμοτάτην. Δίκαιον γὰρ χρῆσθαι αὐτοὺς οἷς ἐγέννησάν τε καὶ

q προκειμένων—ἐλαττόνων om. S. ob homœoteleuton. r ἄλλο] ἄλλα S. s γονεῦσι] τοῖς γονεῦσι S. t τιμήσομεν] τιμήσωμεν S. u προθυμοτάτην] προθυμότατον vel προθυμότατα Bentleius.

8. Εἰ δὴ πρὸς ταὐτὰ—] Haud contemnenda est lectio, quam exhibet G. εἰ γοῦν ἐς ταὐτὰ ἄγοι ἡ ἀμφ. πειθώ,—ἄμαχον τὸ γινόμενον. Et lectori fortasse magis placeat. ASHT.

17. παρέχοντες—] Sic G. ὑπέχοντες editt. pr. Sic Hierocles infra, πάντα πρὸς τὴν ἐκείνων χρείαν ἑτοίμως παρέχεσθαι. Similiter Herodian. 3, 50. ἴσην αὐτοῖς ὑπηρεσίαν παρείχοντο. Euseb. Ecc. Theol. p. 124, τὰς ἐξ αὐτοῦ χορηγίας παρέχειν. Itidem Plato de Leg. 4. p. 717. dicit, πάντα εἶναι τῶν γεννησάντων, πρὸς τὸ παρέχειν αὐτὰ εἰς ὑπηρεσίαν ἐκείνοις κατὰ δύναμιν πᾶσαν. ASHT. ὑπέχοντες S.

18. χρῆσθαι αὐτοὺς οἷς ἐγέννησαν] Sic G., sc. δίκαιον αὐτοὺς χρῆσθαι οἷς ἐγέννησαν. Sic paulo post, ἀπειλοῦσιν ᾧ ἐγέννησαν. αὐτοῖς, οὓς, editt. pr.; rejicit etiam Bentleius; nec tamen melius est, αὐτοῖς, οἷς, quod ipse repositum vult, præsertim ob miram, quam addit, rationem, sc. illa αὐτοῖς, οἷς neutrius esse generis, et ad corpora tantum respicere, cum οὓς animas quoque includat, atque adeo *Pythagoreorum sententiæ repugnet, ex quorum dogmate, filiorum animæ non a paren-*

ἔθρεψαν. Ὁ δὲ τῆς ἀπ' ἐκείνων διαδοχῆς οὐκ ἤρτηται, τοῦτο ἐλεύθερον τῆς ἀπ' ἐκείνων δεσποτείας ἀφίησιν ὁ νόμος, καὶ τὸν ὄντως πατέρα ζητεῖν παρακελεύεται, κἀκείνου ἔχεσθαι, καὶ τῆς πρὸς ἐκεῖνον ὁμοιώσεως πλείστην ἐπιμέλειαν ποιεῖσθαι. Καὶ οὕτως ἀμφότερα συμβαίνει, τά τε θεῖα ἀγαθὰ [v] δύνασθαι τηρεῖν καὶ τὰ ἀνθρώπινα. Καὶ οὔτε δι' οἴησιν ἀρετῆς γονέων θεραπείας [w] ὀλιγωρήσομεν, οὔτε διὰ τὴν ἀνόητον ὕπειξιν τὸ μέγιστον τῶν κακῶν ἀσέβειαν [x] εἰσδεξόμεθα. Εἰ γὰρ [y] προτείνοιεν θάνατον μὴ πειθομένοις, ἢ κλήρου ἀλλοτρίωσιν, οὐδὲν ἐκφοβεῖσθαι δεῖ τοῖς τοιούτοις, ἀλλ' εὖ εἰδέναι τί τὸ ταῦτα πεισόμενον, καὶ [z] ὅτι ᾧ ἐγέννησαν ἀπειλοῦσι μόνῳ· τὸ δὲ ἀπαθὲς τούτων ἐλεύθερον προσήκει τηρεῖν, καὶ μόνῳ Θεῷ εὐπειθές. Τιμὴ οὖν γονέων ἡ ὄντως, ἣν δίδωσιν ὁ τῆς ἀρετῆς σκοπός· μήτε σωμάτων

[v] δύνασθαι S. ponit post ἀγαθά. Vulg. ante συμβαίνει. [w] ὀλιγωρήσομεν] ὀλιγωρήσωμεν S. et mox ὕπεξιν. [x] εἰσδεξόμεθα] εἰσδεξώμεθα S. [y] προτείνειαν] προτείνοιεν S. [z] ὅτι ᾧ] ὅτι ὃ S.

tibus fluunt. At vero Hierocles, salvo hoc dogmate (de quo tamen non omnino hic cogitasse videtur) de σωμάτων ὑπηρεσίᾳ loquens, parentibus debita a filiis, recte pronomine masculino uti potuit, sc. οὓς ἐγέννησαν, *quos genuerunt*, i. e. quorum corpora parentes genuerunt; cum usu tritus et omnibus notus loquendi mos sit. Unum tantum ex Homero exemplum accipe,—ψυχὰς Ἄϊδι προΐαψεν ἡρώων, αὐτοὺς δὲ ἑλώρια τεῦχε κύνεσσιν, ubi pronomine αὐτοὺς de corporibus plane utitur. αὐτοὺς, inquit Scholiast., ἀντὶ τοῦ, τὰ σώματα αὐτῶν, sicque Eustath., τὰ μετὰ ψυχὰς μείναντα σώματα. ASHT. αὐτοὺς οἷς S.

2. τῆς ἀπ' ἐκείνων δεσποτείας] Male repeti hic videtur illud ἀπ' e linea præcedente; nam rectius plane est τῆς ἐκείνων δεσποτείας. Attamen nos abunde monuit editoris Cant. temeritas, ne ex conjectura quidquam aut ejiciamus, aut addamus. Sed recte se haberet, ἀπὸ τῆς ἐκείνων δεσποτείας. ASHT. τῆς ἀπ' ἐ. S.

10. κλήρου] In editt. pr. βίου. Sed potius nobis visum est κλήρου, quod e G. [et S.] recepimus, cum de exhæredatione loquatur hic Hierocles: nam βίος facultates denotat, quas ad vitæ sustentationem aliquis jam possidet; κλῆρος autem eas, quas hæreditario jure possessurus est; κλῆρος σημαίνει τὴν κληρονομίαν. Etym. M. Si pater, inquit, tibi interminetur ἀποκλήρωσιν, vel se ἀπόκληρον te relicturum. Ita Arrian. Diss. 1, 24. κληρονόμον με οὐκ ἀπολείψει. et 3, 8. ὁ πατὴρ τὸν δεῖνα ἀποκληρονόμον κατέλιπε. Sic Hierocles supra, p. 54, ἡμῖν τὸν πατρῶον κλῆρον διαφυλάξαι. ASHT.

[a]φειδομένων ἡμῶν μήτε χρημάτων, ἀλλ' ἑκόντων αὐτοῖς ὑποταττομένων εἰς πάντα τὰ τοιαῦτα. Πρέπει γὰρ μήτε
[57] τὴν δι' αὐτουργίας θεραπείαν [b]ἐπειγομένων παραιτεῖσθαι, ἐνευσχημονεῖν δὲ μᾶλλον αὐτῇ, ὅσῳ ἂν μᾶλλον ἐπίπονος γένηται καὶ δουλοπρεπὴς, μήτε οὐσίας δαπανωμένης φειδωλοὺς γενέσθαι, ἀλλὰ πάντα πρὸς τὴν ἐκείνων χρείαν ἑτοίμως παρέχεσθαι, γεγηθότας καὶ ἡδομένους ἐπὶ τοῖς εἰς ἐκείνους πόνοις τε καὶ ἀναλώμασι. Τὸ γὰρ εὐχαρίστως ταῦτα ποιεῖν, καὶ τὸν τῆς ἀρετῆς διασώζει νόμον, καὶ τὸν τῆς φύσεως ἀποδίδωσιν ἔρανον. Τοιαύτη μὲν ἡ [c]τῶν γονέων τιμή· ἡ δὲ τῶν ἀγχιστέων, δευτέρα μετ' ἐκείνην τεταγ-[48] μένη, πρὸς τὴν τῆς φύσεως ἐγγύτητα παραμετρήσει τὴν θεραπείαν, τοσοῦτον τῆς μετὰ γονέας τιμῆς ἑκάστῳ τῶν συγγενῶν νέμουσα, ὅσον ἂν ἡ πρὸς ἐκείνους ἐγγύτης ὑποφαίνῃ· δῆλον δέ [d]ὅτι καὶ ἐπὶ τούτων τῆς ἀρετῆς ἀδεσπότου μενούσης.

VI. 5.

τῶν δ' ἄλλων ἀρετῇ ποιεῦ φίλον ὅστις ἄριστος.

Μετὰ τὴν πρώτην τιμὴν τῆς ἄνω συγγενείας, καὶ τὴν ἑπομένην ἐκείνῃ τὴν περὶ γονέας καὶ συγγενεῖς, ἀκολούθως

[a] φειδομένους ἡμᾶς—ἑκόντας—ὑποτετάχθαι] Sic Needham ex D. φειδομένων ἡμῶν—ἑκόντων—ὑποταττομένων S. Curt. [b] ἐπὶ γονέων] ἐπειγομένων S. [c] τῶν γονέων] τῶν om. S. [d] ἐστι] ὅτι S.

3. ἐπὶ γονέων] Hæc revocamus, quæ ejecit editor Cant., et in eorum locum substituit e MS. Med. ap. Dacer. ἐπειγομένην, nullo plane judicio, cum locus ipse flagitet ἐπὶ γονέων, atque ex altera parte de propinquis paulo post dicatur, δῆλον δὲ καὶ ἐπὶ τούτων—, p. 64. et ibi inferius, διδοὺς ἐπὶ τῶν ἄλλων ἐκλογὴν, ἐπὶ δὲ γονέων ἀρκούμενος τῇ φύσει. ASHT. Dedi ἐπειγομένων cum S. *urgentibus* sc. parentibus.

19. τῆς ἄνω συγγενείας] Sic G. [et S.] loco τῆς πρώτης, quod habent editt. pr., quia τῆς πρώτης unam tantum cognationem significat, sc. ἀθανάτων θεῶν, seu, ut vocat Plat. in Timæ. p. 90. τὴν ἐν οὐρανῷ συγγένειαν, cum τῆς ἄνω triplicem τῶν κρειττόνων συγγένειαν comprehendat, non solum οὐρανίων, sed et αἰθερίων μονίμων, καὶ μεταπιπτόντων, nempe, ἀθανάτων θεῶν, ἡρώων, et καταχθονίων δαιμόνων :

ὁ φιλόποιος παραδίδοται νόμος, τῶν ἔξω τοῦ γένους τὸν
[58] ἄριστον εἰς φιλίαν ἐκλέγεσθαι, καὶ πρὸς τὴν τῶν ἀρετῶν
κοινωνίαν αὐτῷ συνάπτεσθαι, κελεύων· ἵνα τὸν ἀγαθὸν
ἄνδρα δι' ἀγαθὴν αἰτίαν ἔχοιμεν φίλον, καὶ μὴ κατ'
ἄλλας χρείας αὐτὸν οἰκειώμεθα. [e]Ὥστ' ἐοικέναι τὸ παρ-
ἄγγελμα τοῦτο τῇ περὶ τῶν μετηλλαχότων τὸν βίον σπου-
δαίων ἀνδρῶν ὑποθήκῃ. Ὡς γὰρ ἐκεῖ τοὺς ἐπιστήμονας
μόνους ἀνθρώπων ἔλεγε δεῖν τιμᾶν, οὕτως ἐνταῦθα τοὺς ἀγα-
θοὺς φιλοποιεῖσθαι παραινεῖ μόνους· διδοὺς ἐπὶ μὲν τῶν
ἄλλων ἐκλογὴν, ἐπὶ δὲ γονέων καὶ συγγενῶν ἀρκούμενος
τῇ φύσει. Ἁπλῶς γὰρ τὸ πρόσωπον τοῦ πατρὸς καὶ τοῦ
ἀδελφοῦ συνεισάγει τὴν τιμήν· ἐπὶ δὲ τῶν ἄλλων ἡ ἀρετὴ
ποιεῖ τὸ τίμιον, ὥσπερ καὶ ἐπὶ τῶν [f]ἐκ τοῦ βίου ἀπελθόντων.
Τὰ δὲ πρὸ τούτων κατ' αὐτὴν τὴν φύσιν ἐστὶ τίμια. Ἐκεῖ
μὲν θεοὶ, καὶ ἥρωες· ἐνταῦθα δὲ πατέρες, καὶ συγγενεῖς, ἐν
θνητῇ φύσει τῆς ἀθανάτου συγγενείας ἡμῖν εἰκόνας προτεί-
νοντες. Τοιαύτη μὲν ἡ πρώτη θήρα, καὶ ἡ κτῆσις, τοῦ φίλου.
[g]Τίς δὲ ἡ τήρησις αὐτοῦ, ἡ πρὸς κοινωνίαν τῶν ἀγαθῶν ἡμῖν
συντελοῦσα, καὶ τίς ἡ ἀπόθεσις, ἐὰν πρὸς τὸ χεῖρον μετα-
[50] βαλλόμενος φαίνηται, καὶ μὴ πειθόμενος ταῖς πρὸς τὸ βέλ-
τιον ἀγούσαις συμβουλίαις, ἑξῆς λέγει,

VII. 6—8.

[61] πρᾳέσι δ' εἶκε λόγοις, ἔργοισί τ' [h]ἐπωφελίμοισι.
Μὴδ' ἔχθαιρε φίλον σὸν ἁμαρτάδος εἵνεκα μικρῆς,
ὄφρα δύνῃ· δύναμις γὰρ ἀνάγκης ἐγγύθι ναίει.

[e] Ὡς] ὥσπερ S. [f] ἐκ τοῦ βίου] ἐκ τοῦ S. marg. p. m. [g] Τίς δὲ] τὶς δαὶ S. [h] ἐπωφελίμοισι] ἐπωφελίαισι S.

hæc enim est illa ἀΐδιος συγγένεια, de qua secundum tres hasce σχέσεις locutus est Hierocles superius, et quam paulo post vocat ἀθάνατον συγγένειαν. ASHT.

5. ὥστ' ἐοικέναι] Ita G. ὡς editt. pr.

13. τὸ τίμιον] Sic G. S. τὸ defuit in prioribus edd.

17. πρώτη θήρα] Sic G. Editt. pr. [et S.] θήρα πρώτη. ASHT.

Πῶς δεῖ προσφέρεσθαι τοῖς φίλοις ἐνταῦθα διαλέγεται. Καὶ πρῶτον μέν, ὅτι τὰ καλὰ εἰσηγουμένοις αὐτοῖς, καὶ ἐπ᾽ ὠφελείᾳ τῇ ἡμετέρᾳ πράττουσιν ὁτιοῦν, [i]ἑκόντας δεῖ πειθαρχεῖν. Πρὸς γὰρ τοῦτο τὸ κοινωνικὸν ἀγαθὸν ὁ τῆς φιλίας συνάπτει νόμος, ὅπως ἡμεῖς τε ὠφελώμεθα παρ᾽ ἐκείνων εἰς ἀρετῆς ἐπίδοσιν, καὶ παρ᾽ ἡμῶν ἐκεῖνοι. Ὡς γὰρ κοινὴν ὁδὸν τοῦ ἀρίστου βίου πορευομένους, ὅπερ ἂν ἄλλος ἄλλου [k]μᾶλλον προείδῃ, τοῦτο [l]εἰς κοινὸν ὄφελος κατατίθεσθαι δεῖ, πράως μὲν εἴκοντας τοῖς καλῶς ὑφηγουμένοις τῶν φίλων, πράως δὲ αὐτοῖς τῶν καλῶν τὴν κοινωνίαν προτείνοντας· περὶ δὲ χρημάτων, ἢ δόξης, ἤ τινος ἄλλου τῶν ἐκ
[62] τῆς θνητῆς συστοιχίας, μηδεπώποτε αὐτοῖς διαφερομένους. Τοῦτο γὰρ ἦν ἁμαρτάδος εἵνεκα μικρῆς εἰς ἀπέχθειαν καθίστασθαι τοῖς περὶ τὰ μέγιστα ἀγαθὰ φίλοις ἡμῖν ὑπάρχουσιν. Εἰς πάντα οὖν [m]τῶν φίλων ἀνεξόμεθα, ὡς ὑπὸ μεγίστης ἀνάγκης τῆς φιλικῆς διαθέσεως πιεζόμενοι, πλὴν ἑνός. Οὐ γὰρ [n]δὴ καὶ πρὸς τὸ χεῖρον ὑποφερομένοις αὐτοῖς εἴξομεν, οὐδὲ μεταβαλλομένοις ἐκ [o]τῆς περὶ φιλοσοφίαν σπουδῆς εἰς ἑτέραν τινὰ τοῦ βίου πρόθεσιν ἐπακολουθήσομεν, καὶ αὐτοὶ συνεκφερόμενοι τοῖς ἀποπίπτουσιν ἀπὸ τοῦ πρὸς ἀρετὴν σκοποῦ· ἀλλὰ μάλιστα μὲν [p]πάσῃ μηχανῇ πειρα- [52]
σόμεθα τὸν φίλον ἐπανορθώσασθαι, μὴ πείθοντες δὲ ἡσυχίαν ἕξομεν, οὔτε ἐχθρὸν ποιούμενοι, διὰ τὴν προϋπηργμένην φι-

[i] ἑκόντας] ἑκόντ S. ἕκαστον Med. ἕκαστος Salv. male. ex textu leg. εἴκοντας. HOLST. [k] προείδῃ μᾶλλον] μᾶλλον προείδῃ S. [l] καὶ εἰς] καὶ om. S. [m] τοὺς φίλους] τὸν φίλον S. Sal. τῶν φίλων M. Vat. τοῦ φίλου Med. 2. Vid. infr. p. 48, 2. [n] δὴ] δεῖ S. [o] τῆς πρὸς] τῆς ε π S. τῆς περὶ Vat. [p] πάσῃ] πᾶσι S.

4. κοινὸν ἀγαθὸν] κοινωνικὸν ἀγαθὸν G. [et S.], quod nonnullis fortasse magis placeat; sc. πρὸς κοινωνίαν τῶν ἀγαθῶν, et, τῶν ἀρετῶν κοινωνίαν, ut dixit paulo prius. Sic κοινωνικαὶ ἀρεταὶ ap. Plutarch., atque πράξεις κοινωνικαί, et ἔργον κοινωνικὸν ap. Antonin. Verum hoc lectoris judicio relinquimus. ASHT.

6. Ὡς γὰρ κοινὴν—] εἰς κοινὴν γὰρ ὁδὸν—προΐδοι μᾶλλον, τοῦτο εἰς κοινὸν— G. vulg. habet S.

λίαν, οὔτε φίλον ἔτι, διὰ τὴν πρὸς τὸ χεῖρον μεταβολήν. Ὥστε τούτου χάριν τὸν φίλον ποτὲ ἀποθησόμεθα, ὡς μηκέτι δυνάμενον εἶναι κοινωνὸν ἡμῖν ἀρετῆς, ἧς ἕνεκα καὶ τὴν ἀρχὴν φίλον αὐτὸν ἐποιησάμεθα. Ἡ δὲ ἀπόθεσις φυλαττέτω τὸ μὴ εἰς ἔχθραν μεταπεσεῖν. Δεῖ γὰρ, εἰ καὶ ἐκεῖνος τῆς φιλίας ἑαυτὸν ὑπεξήγαγεν, ἡμᾶς γοῦν πλείστην ἐπιμέλειαν ποιεῖσθαι, [q]ὅπως ἂν ἐπανακληθείη πρὸς τὸ δέον, οὐκ ἀγαπῶντας τὴν ἀπόπτωσιν τοῦ φίλου, οὐδὲ ὑπερφρονοῦντας τὸ
[65] καταδεὲς αὐτοῦ τῆς γνώμης, ὀδυρομένους δὲ μᾶλλον καὶ θρηνοῦντας [r]ὑπεραλγεῖν αὐτοῦ καὶ ὑπερεύχεσθαι, καὶ πάντα πειρᾶσθαι ποιεῖν τὰ πρὸς τὴν ἐκ μεταμελείας σωτηρίαν αὐτὸν ἐπανάγοντα. [s]Τοιαῦτα δὲ ἐστι, [t]τό τε περὶ χρημάτων ἢ δόξης [v]αὐτῷ μὴ διαφέρεσθαι, καὶ τὸ μὴ ἐφ' ὕβρει τῆς κοινωνίας αὐτὸν ἀποστερεῖν, μηδὲ φιλοτιμίαν ἑαυτοῦ ποιεῖσθαι τὴν ἐκείνου [w]δυστυχίαν. Ἐπειδὴ δὲ καὶ πρὸς τὴν ἀρίστην τῶν φίλων τήρησιν, [x]καὶ πρὸς τὴν εὔλογον ἀπόθεσιν, καὶ πρὸς τὴν ἐκ μεταμελείας αὐτῶν ἐπανάκλησιν, πλεῖστα συμβάλλεται τὸ ἡμέτερον ἀνεξίκακον, καὶ περὶ μηδενὸς πρὸς τοὺς φίλους μικρολογούμενον, μηδὲ ἐξεταστικὸν πρὸς ἀκρίβειαν, ἀλλ' ὅσον οἷόν τε ὑπομονητικὸν, διὰ τοῦτο ἐπήγαγεν ὅφρα δύνῃ. Εἶτα, ἵνα μὴ τὴν δύναμιν τῷ τῆς προαιρέσεως μέτρῳ κανονίσῃ τις, ἀλλ' αὐτῷ τῷ τῆς φύσεως φορητῷ, ὅσον ἡ ἀνάγκη προσελθοῦσα ἐξευρίσκει, ἐπήγαγε, δύναμις γὰρ ἀνάγκης ἐγγύθι ναίει. Ἕκαστος

q ὅπως] ὅπως ἂν S. r ὑπεραλγεῖν] τ̃ ὑπεραλγεῖν S. τῷ ὑπ. Sal. delenda partic. sic Med. Holst. s ταῦτα] τοιαῦτα S. τοιαῦτα δέ ἐστιν τὸ μήτε π. χρ. μήτε π. δ. ms. ap. Holst. t τὸ μήτε] τότε τ̃ S. Pro τῷ τε mallem τό τε Holst. v μήτε περὶ δόξης αὐτῷ διαφ.] ἢ δόξης αὐτῷ μὴ διαφ. S. αὐτῷ διαφ. καὶ μὴ ὑφ. ὕ. Med. 2. w δυστυχίαν] δυστυχείαν S. x καὶ τὴν] καὶ πρὸς τὴν S.

5. εἰ καὶ ἐκεῖνος] Ita legere non dubitavimus pro εἰ κἀκεῖνος in editt. pr. nam εἰ καὶ, est, *etiamsi*, quod poscit sententia. ASHT. κακεῖνος S.

γὰρ, ὧν οἴεται δύνασθαι, πλέον δυνάμενος ὑπὸ τῆς ἀνάγκης ἐλέγχεται. Τοσοῦτον οὖν προθυμεῖσθαι χρὴ [y]τῶν φίλων ἀνέχεσθαι, ὅσον ἡ ἀνάγκη δείκνυσιν ἡμᾶς δυναμέ- [54]
νους, καὶ [z]τόγε ἐξαίφνης ἀφόρητον φανὲν τῇ τῆς φιλίας
[66] ἀνάγκῃ φορητὸν ποιεῖν. Μὴ γὰρ δή που τὰ πρὸς βίαν
ἐπιταττόμενα [a]μόνα οἰώμεθα προσήκειν γενναίως ὑπομένειν,
ἀλλὰ καὶ τὰ πρὸς φυλακὴν τῶν φίλων καὶ ἀνάκλησιν
συντείνοντα μείζοντος ὑπομονῆς ἄξια δεῖ τίθεσθαι, ὡς τῆς
θείας ἀνάγκης ἐπιτάγματα. Δυνατωτέρα δὲ παρὰ τοῖς
εὖ φρονοῦσιν ἡ τοῦ νοῦ ἀνάγκη τῆς ἔξωθεν βίας. Εἴτε οὖν
πρὸς τὴν ἐκ περιστάσεως ἀνάγκην [b]ἀπίδοις, εἴτε πρὸς τὴν
ἑκούσιον, τὴν ἐκ τῶν ἐπιστημονικῶν ὅρων συμπληρουμένην,
καὶ ἐκ τῶν θείων νόμων καθήκουσαν, ἐξευρήσεις τὸ ἐνυπάρχον
σοι τῆς δυνάμεως μέτρον, ὃ νῦν ὁ λόγος εἰσηγεῖται δεῖν τοῖς
φίλοις εἰσφέρειν, ἐν τῷ προστάττειν μὴ προχείρως αὐτοῖς εἰς
[c]ἀπέχθειαν καθίστασθαι, ἁμαρτάδος εἵνεκα μικρῆς, τὰ
ἔξω τῆς ψυχῆς πάντα μικρὰ τιθέμενος, καὶ ἀπαγορεύων μὴ
φείδοῖ τούτων τὸν φίλον ἐχθρὸν ποιεῖν, ἀδιαφορίᾳ δὲ μᾶλ-
λον τῇ περὶ τὰ τοιαῦτα καὶ τὸν ἀποπεσόντα φίλον ἀνακα-
λεῖσθαι, καὶ πανταχοῦ τοῦτο ἑαυτοῖς συνειδέναι, ὅτι ὅσον ἐφ'
ἡμῖν καὶ τοὺς ὄντας φίλους ἐτηρήσαμεν, καὶ τοὺς πρὸς τὸ
χεῖρον ὑπενεχθέντας ἀνεκτησάμεθα, καὶ οὔτε τὴν ἀρχὴν εἰς
ἔχθραν τινὰ κατεστήσαμεν, οὔτε παρ' ἑαυτοῦ γενόμενον
[69] ἐχθρὸν τοῖς ἴσοις ἠμειψάμεθα. Ταῦτα γὰρ ὁ τῆς φιλίας
[d]ἀπαγορεύει θεσμὸς, μεγίστης οὔσης ἀρετῆς, καὶ ταῖς
ἄλλαις, ὡς τελειότητος, ἐπιφαινομένης. Πέρας μὲν γὰρ

y τῶν φίλων] τὸν φίλων S. z τόγε] τότε S. a μόνα om. S.
b ἀπίδοις] ἀπείδοις S. c ἀπέχθειαν] ἀπέχνειαν S. d ὑπαγορεύει] ἀπα-
γορεύει S.

15. εἰσφέρειν] προσφέρειν G., quod melius videatur. Sic Simplic. in Epict. p. 204. ed. L. B. χρὴ συγγνώμην τῷ φίλῳ προσφέρειν. ASHT. εἰσφέρειν S.

26. τελειότητος] τελειοτάτης G.

τῶν ἀρετῶν ἡ φιλία, ἀρχὴ δὲ ἡ εὐσέβεια. Καὶ ἔστιν ὁ τῆς εὐσεβείας λόγος σπέρμα τῶν ἀγαθῶν ἁπάντων ἡμῖν· ἡ δὲ τῆς φιλίας ἕξις ὁ τελειότατος τῶν ἀρετῶν καρπός. Ὥσπερ οὖν δικαιοσύνης ποιεῖσθαι δεῖ λόγον, οὐ μόνον πρὸς τοὺς [56] δικαίως ἡμῖν προσφερομένους, ἀλλὰ καὶ πρὸς τοὺς ἀδικεῖν ἐγχειροῦντας, ἵνα μὴ τῷ ἀνταδικεῖν εἰς τὴν ἴσην κακεξίαν αὐτοῖς ἔλθωμεν· οὕτω καὶ τῆς φιλίας ἀντέχεσθαι δεῖ, τουτέστι τῆς φιλανθρωπίας [e]τῆς πρὸς ἅπαντας, οἳ τοῦ γένος ἡμῖν κοινωνοῦσιν. Ἐν τάξει δὲ τῇ πρεπούσῃ τὰ τῆς φιλίας μέτρα ποιησόμεθα, τοὺς μὲν ἀγαθοὺς, ὡς ἀποσώζοντας τὴν ἀνθρώπου τελειότητα, καὶ διὰ τὴν φύσιν, καὶ διὰ τὴν γνώμην, παντοίως ἀσπαζόμενοι· τοὺς δὲ φαύλους, [f]ὡς μηδὲν ἀπὸ γνώμης εἰς αἵρεσιν φιλίας ἡμῖν ὑπέχοντας, διὰ μόνην τὴν κοινὴν φύσιν ἀγαπῶντες· διὸ καὶ λέγεται ὀρθῶς, [g]ὡς ὅτι οὐδεὶς ἐχθρὸς τῷ σπουδαίῳ· καὶ, μόνος ὁ ἀγαθὸς ἀγαθῷ φίλος. [7]Ηι μὲν γὰρ τὸν [h]ἄνθρωπον φιλεῖ, οὐδὲ τὸν

[e] τῆς πρὸς] τῆς om. S. [f] ὡς μηδὲν] ὡς ἂν μηδὲν S. [g] ὡς οὐδεὶς] ὡς ὅτι οὐδεὶς S. Vide Stobæum 86, 25, p. 201, 7. n. [d] ed. Oxon. [h] ἄνθρωπον] ἀγαθὸν Curt. marg. Cui reponit Holsten.: hanc lectionem (ἄνθρωπον scil.) sensus loci manifeste requirit, ut ex antecedentibus et seq. apparet, nam homo eo ipso quod homo propter ipsam naturam quam nobiscum habet amandus.

[et Curter. in marg.] haud male; nam sic fere de justitia loquitur in sequentibus, τελειοτάτης οὔσης πασῶν ἀρετῶν, et hic paulo post, ἡ φιλίας ἕξις ὁ τελειότατος τῶν ἀρετῶν καρπός. Sed non mutato opus est. ASHT. τελειότητος S.

8. τῆς πρὸς] Addidimus hic e G. articulum τῆς, emphasis gratia. ASHT.

11. καὶ διὰ] Hic etiam addidimus e G. [et S.] διὰ, quia ἐμφατικώτερον est. ASHT.

15. καὶ, μόνος ὁ ἀγαθὸς ἀγαθῷ φίλος] Edidit Curter. αὐτῷ φίλος, *sibi amicus*, quod editor Cant. e conjectura mutavit in αὐτῷ φ., *ei amicus*, sc. σπουδαίῳ; sed neque sic lectum mihi placet, quia duas (quas vult plane Hierocles) γνώμας Pythagoricas in unam conflat, et posterioris vim enervat: prima est, οὐδεὶς ἐχθρὸς τῷ σπουδαίῳ, atque sic fere Sextus Pythagoricus ap. Galæ. Mythol., *Neminem inimicum deputes*, Altera, μόνος ὁ ἀγαθὸς ἀγαθῷ φίλος. Hujus autem sententiæ vis tota perit, et sensu plane carebit, si pro ἀγαθῷ legas αὐτῷ; nec multo melius erit Curterianum αὐτῷ, etsi sic aliquo in sensu verum est. Mihi igitur pro αὐτῷ, vel αὐτῷ, legendum videtur, ἀγαθῷ, et sic distinguendum, σπου-

κακὸν ἐχθρὸν τίθεται· ἡ δὲ τὸν ἀρετῇ κεκοσμημένον ζητεῖ πρὸς κοινωνίαν, τὸν ἀγαθὸν ἐκ πάντων ἐκλέγεται, μιμού-
[70] μενος καὶ ἐν τοῖς τῆς φιλίας μέτροις τὸν Θεὸν, ὃς μισεῖ μὲν οὐδένα ἀνθρώπων, [hh]τὸν δὲ ἀγαθὸν διαφερόντως ἀσπάζεται. Τὸ γὰρ τῆς φιλανθρωπίας ἀγαθὸν κοινῇ τῷ γένει προτείνων, τῆς προσηκούσης μοίρας ἕκαστον ἀξιοῖ· τοὺς μὲν ἀγαθοὺς πρὸς ἑαυτὸν ἀνάγων, τοὺς δὲ τῆς ἀρετῆς φυγάδας τοῖς τῆς δίκης νόμοις πρὸς τὸ δέον ἀπευθύνων. Τοῦτο γὰρ [i]ἑκατέροις σύμμετρόν τε καὶ ὠφέλιμον. [k]Οὕτως οὖν καὶ ἡμᾶς προσήκει τὴν φιλίαν τηρεῖν πρὸς πάντας ἀνθρώπους μετὰ τῆς πρὸς τὴν ἀξίαν ἀπονεμήσεως. Καὶ γὰρ σωφροσύνην καὶ δικαιοσύνην πρὸς ἅπαντας ἔξομεν, καὶ οὐ πρὸς μόνους τοὺς δικαίους καὶ σώφρονας· οὐδὲ ἀγαθοὶ μὲν τοῖς ἀγαθοῖς ἐσόμεθα, κακοὶ δὲ τοῖς κακοῖς. Οὕτω γὰρ ῥᾳδίως συμμεταβαλλόμενοι τοῖς προσπίπτουσιν οὐδὲν οἰκεῖον ἕξομεν ἀγαθὸν, ὃ διὰ παντὸς, καὶ πρὸς πάντας, τηρήσομεν. Εἰ δὲ ἕξιν τὴν ἀρετὴν κεκτήμεθα, οὐκ ἔστιν ἐπὶ τῷ βουλομένῳ ταύτης ἡμᾶς ἀποστῆσαι· οὐδὲ τοῖς ἐντυγχά-[58]
νουσι τὰς διαθέσεις συναλλοιώσομεν, τὸ μόνιμον τῆς ἀρετῆς εὐτυχοῦντες. [l]Ὅπερ οὖν ἐπὶ τῶν ἄλλων ἀρετῶν, τοῦτο καὶ ἐπὶ τῆς φιλίας δεήσει φυλάττειν, [ll]φιλανθρωπίας, ὡς ἔφαμεν,

[hh] τὸν δὲ] δὲ om. S. [i] τοῖς ἑκατέροις] τοῖς om. S. [k] οὕτω] οὕτως οὖν S. [l] Ὅπερ καὶ] ὅπερ δὲ V. M. et del. δὲ post τοῦτο (ni fallor). [ll] φιλίας] φιλανθρωπίας S. φιλίας Curt. marg. ad q. sic Holst. Non opus hac emendatione. nam p. præced. [49, 8.] generatim illam erga omnes φιλίαν, de qua hic agit, συνανύμως explicat per vocem φιλανθρωπίας, cujus ratio mox ex sequentibus apparet.

δαίῳ· καὶ, μόνος ὁ ἀγαθὸς ἀγαθῷ φίλος. Ita Plato in Lyside, p. 214. ἀγαθὸς ἀγαθῷ μόνος μόνῳ φίλος, et sic fere in Phædro, p. 255. similiter etiam Max. Tyrius, ὁ μὲν ἀγαθὸς ἀγαθῷ φίλος, ἴσος γάρ. Diss. 4. Horum igitur auctoritate freti, sic emendare non dubitavimus. ASHT.

μόνος ἀγαθὸς αὐτῷ φίλος. ἡ μὲν γὰρ τ. ἄ. φιλεῖ,—ἡ δὲ τ. ἀ. κ. ζητεῖ S.

19. Ὅπερ οὖν ἐπὶ τῶν ἄλλων ἀρετῶν, τοῦτο καὶ ἐπὶ τῆς—] Ita G. rectius quam, quod habent editt. priores, ὅπερ καὶ ἐπὶ [sic S.]—, τοῦτο δὲ καὶ ἐπὶ—. ASHT.

οὔσης [m] μεγίστης ἀρετῶν· φιλανθρωπίας δὲ κοινῶς μὲν πρὸς
[73] ἅπαντας, ἰδίως δὲ πρὸς τοὺς ἀγαθοὺς θεωρουμένης, ὅτι καὶ τὸ τῆς [n] φιλίας ὄνομα αὐτῇ μᾶλλον ἐπιπρέπει. Ταῦτα δὲ περὶ τούτων· ἐπὶ δὲ τὰ ἑξῆς προΐωμεν.

VIII. 9—11.

Ταῦτα μὲν οὕτως ἴσθι· κρατεῖν δ' εἰθίζεο τῶνδε·
γαστρὸς μὲν πρώτιστα, καὶ ὕπνου, λαγνείης τε,
καὶ θυμοῦ.—

Συστέλλειν δεῖ ταῦτα πάντα, καὶ τάττειν, ἵνα μὴ παρενοχλῇ τὸν λογισμόν. Φέρε οὖν, τὴν ἀλογίαν ὅλην ἐν τάξει χαλινώσωμεν ὀρθαῖς παιδαγωγίαις, ἐπειδὴ καὶ τὰ ταύτης μέρη χορηγά ἐστι κακίας ἀλλήλοις ἐφεξῆς. Οἷον, γαστὴρ ἄγαν πληρουμένη ὕπνον πολὺν ἐπάγεται. Ἀμφότερα δὲ ἀφθονίαν παρέχεται σπέρματος, ἥτις ἀμέτρως ἐγείρει πρὸς ἀφροδίσια, καὶ τὸ ἐπιθυμητικὸν τῆς ψυχῆς πρὸς τὸ ἀκόλαστον ἐποξύνει. Τούτῳ δὲ τὸ θυμικὸν συνεκφερόμειον διὰ πάσης ἴεται μάχης, νῦν μὲν σιτία καὶ ποτὰ ἐκδικοῦν, νῦν δὲ περὶ [o] ἑταίρας μαχόμενον, καὶ ἄλλοτε ἄλλας ἡδονὰς
[74] φιλονεικοῦν κτήσασθαι. Κρατεῖν οὖν ἐθίζου τούτων, ἀπὸ τῆς γαστρὸς πρώτης ἀρξάμενος, ἵνα τοῦ τε λόγου κατήκοα [p] γένηται τὰ ἄλογα τῆς ψυχῆς εἴδη· καὶ αὐτὸς ἐπὶ σαυτοῦ

[m] μεγίστης οὔσης ἀρετῆς] οὔσης μεγίστης ἀρετῶν S. [n] φιλανθρωπίας] φιλίας S. et mox ἐπιτρέπει S. Mallem ἐπιπρέπει Holst. et sic ed. Needham. [o] ἑταίρας] ἑτέρας S. [p] γένηται] γίγνεται S.

4. ἐπὶ δὲ τὰ ἑξῆς προΐωμεν] Habent quidem editt. omnes ἐπὶ τῶν, quod tamen erratum ex ed. prima traductum mihi visum est, et corrigendum ἐπὶ τὰ, sicut alibi ipse Hierocles haud semel habet, nempe, ἐπὶ τὰ ἑξῆς μεταβαίνωμεν, et ἐπὶ τὰ ἑξῆς μετίωμεν, et ἑξῆς μηνύει τοῖς προϊοῦσιν ἐπὶ τὰς γνώσεις. Sicut et alii sæpissime. Sic Eusebius in Hist. Ecc. 3. 31. ἐπὶ τὴν τῶν ἑξῆς προΐωμεν ἱστορίαν. Et ibid. cap. 32. ἐπὶ τὰ ἑξῆς προβαίνοντες ἴωμεν. Et in Vita Constant. 4. 64. ἐπΐωμεν ἐπὶ τὰ ἑξῆς. ASHT.

21. γένηται] Sic. MS., quod lectioni priori, γίγνηται, prætulimus. Hic autem per ἄλογα εἴδη τῆς ψυχῆς

τὴν εὐσέβειαν, καὶ τὴν περὶ γονέας τιμὴν, καὶ πάντα, ἃ μικρῷ πρόσθεν παρήνεσεν ὁ λόγος, ἀπαραγώγως φυλάξαι δυνηθῇς. Δύναμις γὰρ τῆς τῶν προτέρων τηρήσεως [q]ταυτὶ [60] τὰ ἑπόμενα. [r]Ἐπεὶ παραβαθείη ἂν πάντα ἐκεῖνα, μὴ ἑπομένων τῷ λογισμῷ τῶν παθητικῶν δυνάμεων. [s]Ἡ γὰρ θυμὸς ἐξετάραξε κατὰ γονέων, ἡ ἐπιθυμία πρὸς ἀπείθειαν αὐτῶν [s]ὥπλισε. Καὶ πάλιν, ἡ θυμὸς πρὸς βλασφημίαν ἐπήγειρεν, ἡ ἐπιθυμία χρημάτων πρὸς ἐπιορκίαν. Καὶ ὅλως τὰ κακὰ διὰ ταύτας πράττεται τὰς δυνάμεις, [t]μὴ τῆς λογικῆς ψυχῆς πρὸς τὸ δέον αὐτὰς ἀπευθυνούσης. Ἐν- τεῦθεν ἀσέβειαι παντοῖαι, καὶ πόλεμοι συγγενικοὶ, καὶ φίλων προδοσίαι, καὶ πάντα τῆς παρανομίας τὰ εἴδη· ὡς καὶ βοᾶν ἀναγκάζεσθαί τινας,

Μανθάνω μὲν οἷα [v]δρᾶν μέλλω κακά·
θυμὸς δὲ κρείσσων τῶν ἐμῶν βουλευμάτων.

[v]Ἄλλους δὲ, ἢ τοὺς αὐτοὺς, ἄλλοτε βοᾶν,

q ταυτὶ] ταύτὴ S. r Ἐπεὶ παραβαθείη] ἔπη παραθείη S. s ὥπλισε] ὅπλισε S. t μὴ τῆς] καὶ τῆς S. v μέλλω δρᾶν] δρᾶν μέλλω S. et sic mox, qui ὦ ἐκ μηδείας Εὐριπίδου in marg.

vult τὸ θυμικὸν, et τὸ ἐπιθυμητικὸν, quæ δυνάμεις ejus vocantur in sequentibus. Sic Nemesius, διαιροῦσιν, εἰς δυνάμεις, ἢ εἴδη, ἢ μέρη, τὴν ψυχήν. De Nat. Hom. cap. 15. Itidem Iamblic. Vit. Pythag. τρία ψυχῶν ἐν ἡμῖν εἴδη, τὸ μὲν, ᾧ λογιζόμεθα, τὸ δὲ, ᾧ θυμούμεθα, τρίτον δὲ, ᾧ ἐπιθυμούμειθα. ASHT.

8. ἐπήγειρεν] Sic G. S. ἤγειρεν, edd. prior.

10. οὐσίας] G. [et S.] pro οὐσίας legunt hic ψυχῆς, et sic Aurispæ versio, *animi;* atque haud scio an melius sit, quia respicit Hierocles ad τρία εἴδη τῆς ψυχῆς secundum Platonicos, vultque τὸ λογικὸν, seu, λογικὴν ψυχὴν, duabus partibus inferioribus imperare, sc. τῷ θυμικῷ, et τῷ ἐπιθυμητικῷ. ASHT.

14. Μανθάνω—] Euripidis est hic in Medea ver. 1078. καὶ μανθάνω μὲν οἷα τολμήσω κακά. Unde vides Hieroclem omittere καὶ (quod facit etiam Plutarch. περὶ δυσωπ.) et pro τολμήσω legere, μέλλω δρᾶν· Atque sic quidem legunt alii, sed inverso ordine, δρᾶν μέλλω. Ita enim citatur hic versus ab Alcinoo Doctr. Plat. c. 24. Luciano pro Merc. Conduct., Arriano Diss. 1. 28, Simplicio in Epict. p. 40, 68, 74. ed. L. B. sc., καὶ μανθάνω μὲν οἷα δρᾶν μέλλω κακά. ASHT.

Μανθάνω μὲν οἷα δρᾶν μέλλω κακά·
ἐπιθυμία δὲ κρείσσων τῶν ἐμῶν βουλευμάτων.

καὶ,

[x]Εὖ μέν μοι δοκεῖς λέγειν· πέπονθα δὲ τὸ τῶν πολλῶν πάθος, οὐ [y]πάνυ σοι πείθομαι.—

[77] Τὸ γὰρ λογικὸν γένος πρὸς τὴν τῶν καλῶν αἴσθησιν εὐφυῶς διακείμενον εὐανάμνηστόν ἐστι, καὶ [z]εὐέγερτον πρὸς τὴν τοῦ ὀρθοῦ λόγου διδασκαλίαν, ὅταν μὴ ταῖς παθητικαῖς ὀλκαῖς, ὥσπερ τισι μολυβδίσιν, ὑποφέρηται πρὸς κακίαν. Δεῖ οὖν καὶ αὐτοὺς ἡμᾶς εἰδέναι τὰ δέοντα, καὶ τὰς ἀλόγους δυνάμεις ἐθίσαι, ὅσον οἷόν τε, καὶ αὐτὰς τῷ ἐν ἡμῖν λόγῳ συνέπεσθαι. Οὕτω δὲ ταχθέντων τῶν παθῶν, ἱκανὸς ὁ λογισμὸς γένοιτο ἂν ἀπερισπάστως φυλάξαι τὰ πρῶτα παραγγέλματα, περὶ ὧν εἴρηται, ταῦτα μὲν οὕτως ἴσθι. Περὶ δὲ τῶν ἐξῆς ἐθίζου κρατεῖν εἶπεν, ἐνδεικνύμενος, ὅτι τὸ μὲν λογικὸν διδασκαλίᾳ καὶ ἐπιστήμῃ τάττεται, τὸ δὲ [62] ἄλογον ἐθισμοῖς καὶ πλάσεσι τρόπον τινὰ σωματικαῖς· οὕτω δὲ καὶ τῶν ζώων τὰ ἄλογα μόνῳ ἔθει ἄγεται ὑπὸ τῶν ἀνθρώπων. Ἐθισθεῖσα οὖν γαστὴρ ζητεῖν τὰ μέτρια τάς τε ἄλλας ἐπιθυμίας τοῦ σώματος κοσμιωτέρας παρέχεται, καὶ τὸν θυμὸν ἐμμελέστερον, ἵν' ἐφ' ἡσυχίας τὰ περὶ τῶν

[x] Εὖ μέν μοι] S. in marg. Πλάτων. Locus est in Gorg. p. 513 C.
[y] πάνυ] πάνυ σοι S.G.
[z] Med. et Vat. εὐέγερτον.

7. εὐάγωγον] Ita legimus ope G. ubi scribitur εὐάγαγον, sed plane per incuriam pro εὐάγωγον, quod quidem loco manifeste est aptius quam εὐέγρετον in prius editis. Sic ipse Hierocles de providentia (ap. Phot. Cod. 251.) dicit τὴν ὕλην πρὸς πάντα εὐάγωγον. Ita et Epict. ap. Arrian. Diss. 4. 9. idem fere tradens, quod hic Hierocles, inquit, οὐδέν ἐστιν εὐαγωγότερον ἀνθρωπίνης ψυχῆς. ASHT. εὐέγερτον S. ex em. nescio an εὐέργετον pr.

19. μέτρια] Sic recte pro μέτρα legit editor Cant. e MSS. Gall.; sed omisit, ut opinor, articulum τὰ; nam rectius certe est τὰ μέτρια. Atque sic postea lectum invenies. ASHT. μέτρια absque τὰ S.

δεόντων [a]βουλευώμεθα, μὴ σφόδρα ὑπὸ τῶν συνοικούντων παθῶν ἐνοχλούμενοι· ὅθεν καὶ τὸ ἑαυτοὺς γνῶναι ὃ ἐσμὲν τῇ
[78] ἀληθείᾳ, καὶ τὸ αἰδεῖσθαι οὓς ἔγνωμεν, διδασκόμεθα. [b]Ἐκ δὲ τῆς γνώσεως ταύτης, καὶ τῆς [c]συνεισιούσης αὐτῇ αἰδοῦς, ἡ τῶν [d]αἰσχρῶν φυγὴ παραγίνεται. Τὰ γὰρ κακὰ αἰσχρὰ [c]λέγεται, ὡς ἀπρεπῆ, καὶ ἀνάξια δρᾶσθαι ὑπὸ λογικῆς οὐσίας· περὶ ὧν τὰ ἑξῆς ἐπιλέγει.

IX. 11—12.

[f]Πρήξῃς δ' αἰσχρόν ποτε μήτε μετ' ἄλλου,
μήτ' ἰδίῃ· πάντων δὲ μάλιστ' αἰσχύνεο σαυτόν.

[h]Ἡ γὰρ καθ' ἑαυτοὺς πράττοντές τι αἰσχρὸν ἀδιάφορον αὐτὸ ἡγούμεθα, ὃ μετ' ἄλλου οὐκ ἂν ἐπράξαμεν ποτε, τὸν κοινωνὸν τῆς πράξεως αἰσχυνόμενοι· ἢ ἀνάπαλιν, συμπεριφερόμενοί τισι πράττομεν ἃ μή ποτ' ἂν καθ' ἑαυτοὺς ἐδράσαμεν, τῇ κοινωνίᾳ τῶν [g]συμπραττόντων εἰς παρρησίαν τοῦ ἔργου [h]προκαλούμενοι. Διὰ τοῦτο προανεῖλεν ἑκατέραν ὁδὸν τῆς εἰς τὸ αἰσχρὸν καὶ τὸ κακὸν παρεκβάσεως. Εἰ γὰρ τὸ αἰσχρὸν τῇ ἀληθείᾳ φευκτόν, οὐκ ἄν ποτε διὰ
[81] περίστασιν αἱρετὸν γένοιτο. Διὸ συνάψας εἶπε, μήτε μετ' ἄλλου, μήτ' ἰδίῃ· ἵνα μήτε μόνωσις ἐπεγείρῃ σε πρὸς τὸ μὴ πρέπον, μήτε κοινωνία εὐαπολόγητόν σοι ποιήσῃ [64] τὴν ἁμαρτίαν. Εἶτ' ἐπήγαγε τὴν αἰτίαν, τὴν μόνην τῶν κακῶν ἀποτρέπουσαν, πάντων δὲ μάλιστ' αἰσχύνεο

[a] βουλευώμεθα] βουλευοίμεθα S. [b] Ἐκ δὲ τῆς] δὲ om. S. [c] συνεισιούσης] συνεισούσης S. [d] αἰσχρῶν] ἐχθρῶν S. [e] λέγονται] λέγεται S. [f] Πρήξεις δ' αἰσχρὸν] πρήξεις δ' αἰσχρῶν S. [g] συμπραττόντων] πραττόντων S. [h] προκαλούμενοι] προσκαλούμενοι S.

2. ἐνοχλούμενοι] Sic G. S. ἐλαυνόμενοι edd. pr.

16. προανεῖλεν] Sic G. rectius legit quam προκαθεῖλεν in prius editis. Ita Hierocles alibi, ἀσωτίας προαναιρεῖ τὰς ἀφορμάς. Et τὸ ἄθεον προαναιρεῖ τῆς ἀρετῆς τὴν οὐσίαν. Ut et alias. ASHT. προανελειν ἀνεῖλεν S.

σαυτόν. Ἐὰν γὰρ ἐθισθῇς σαυτὸν αἰσχύνεσθαι, ἕξεις πανταχοῦ, ὃν αἰδεσθήσῃ, οἰκειότατον φύλακα καὶ ἀναπόδραστον. Ἐπεὶ πολλοὶ μονωθέντες φίλων, ἢ οἰκετῶν, ἔδρασαν ταῦτα, ἃ πρότερον [i]ποιῆσαι δι' ἐκείνους ἠσχύνοντο. Ἆρ' οὖν οὐδένα εἶχον [k]συνόντα; ἐῶ Θεόν· (πορρωτέρω [l]γὰρ οὗτος τῆς τῶν κακῶν συνειδήσεως·) ἀλλὰ ἑαυτοὺς οὐκ εἶχον καὶ τὸ τοῦ συνειδότος κριτήριον; Εἶχον μὲν οὖν· ἀλλ' ἠγνόουν ὅτι εἶχον, τοῖς πάθεσι κατατεινόμενοι. Οἱ δὲ τοιοῦτοι τὸ ἐν αὐτοῖς λογικὸν ἄτιμον καὶ ἀνδραπόδου φαυλότερον ἔθεντο. Οἰκειότατον οὖν ἐπίτροπον ἔχε σαυτόν· καὶ πρὸς τοῦτον ἐπιστρέφων κατάρχου τῆς ἀποτροπῆς τῶν κακῶν. Ἡ γὰρ ἑαυτοῦ αἰδὼς ἑκάστῳ φυγὴ τῶν αἰσχρῶν καὶ ἀναξίων τῆς λογικῆς οὐσίας ἐξ ἀνάγκης γίνεται. Ὁ δέ οὕτως ἀπαξιῶν τὰ κακὰ πῶς πρὸς ἀρετὴν οἰκειοῦται, ἐπάγει,

X. 13—16.

Εἶτα δικαιοσύνην ἀσκεῖν ἔργῳ τε, λόγῳ τε.

[82] Μὴδ' ἀλογίστως σαυτὸν ἔχειν περὶ μηδὲν ἔθιζε·
ἀλλὰ γνῶθι μὲν ὡς θανέειν πέπρωται ἅπασι·
χρήματα δ' ἄλλοτε μὲν κτᾶσθαι φιλεῖ, ἄλλοτ' ὀλέσθαι.

Ὁ ἑαυτὸν αἰσχυνόμενος φύλαξ ἑαυτοῦ γίνεται μηδαμοῦ κακίᾳ περιπεσεῖν. Κακίας δὲ εἴδη [m]πλείονα· κατὰ μὲν τὸ λογικὸν, ἀφροσύνη· κατὰ δὲ τὸ θυμικὸν, δειλία· κατὰ δὲ τὸ ἐπιθυμητικὸν, φιληδονία καὶ φιλοχρηματία· κατὰ δὲ

[i] δι' ἐκείνους ποιῆσαι] ποιῆσαι δι' ἐκείνους S. [k] συνόντα; ἐῶ θεὸν om. S. cum lacuna et ras. [l] γὰρ οὗτος ras. S. [m] πλείονα] κακαπλείονα S.

6. ἑαυτοὺς οὐκ εἶχον καὶ τὸ τοῦ συνειδότος κρ.] Sc. τὸν ἔνοικοι θεὸν, ut e Platonis Philebo postea vocat, quem et δαίμονα σύνοικον appellat idem Plato in Timæo. Ita Antoninus sæpissime commemorat τὸν ἐν ἡμῖν Θεόν. Non possum vero non e multis proferre Epicteti illa apud Arrian. Diss. 1, 14. ὅταν κλείσητε τὰς θύρας,—μέμνησθε μηδέποτε λέγειν, ὅτι μόνοι ἐστέ· οὐδέ ἐστε, ἀλλ' ὁ Θεὸς ἔνδον ἐστὶ, καὶ ὁ ὑμέτερος δαίμων. ASHT.

23. κατὰ δὲ πάσας— ἀδικία] Ita

πάσας ὁμοῦ τὰς δυνάμεις, ἀδικία. Τετράδος οὖν ἀρετῶν [66]
ἐδέησεν ἡμῖν πρὸς τὴν τῶν τοιούτων κακῶν ἀποτροπήν· φρο-
νήσεως μὲν, περὶ τὸ λογιζόμενον· [n]ἀνδρείας δὲ, περὶ τὸ
θυμούμενον· σωφροσύνης δὲ, περὶ τὸ ἐπιθυμητικόν· δικαιο-
σύνης δὲ, περὶ πάσας ὁμοῦ τὰς δυνάμεις, τελειοτάτης 5
οὔσης [o]καὶ διὰ πασῶν ἀρετῆς, περιεκτικῆς τῶν ἄλλων, ὡς
οἰκείων μερῶν· διὸ καὶ ταύτης πρώτης ἐμνημόνευσεν ὁ λόγος·
εἶτα φρονήσεως, καὶ ἐφεξῆς τῶν ἀπὸ τῆς φρονήσεως [p]ἀπο-
[85] γεννωμένων ἀρίστων ἐπιτηδευμάτων, καὶ εἰς τὴν τῆς δικαιο-
σύνης ὁλότητα συντελούντων. Ὁ γὰρ ὀρθῷ λογισμῷ χρώ- 10

[n] ἀνδρίας] ἀνδρείας S. [o] πασῶν ἀρετῶν καὶ] καὶ διαπασῶν ἀρετῆς S. καὶ διὰ πασῶν ἀρετῆς Vat. Salv. [p] ἐπιγενομένων] ἀπογενναμένων S. ἀπογενομένων Vat. ἀπογεννωμ. Med.

fere Sallust. c. 10. κακία, λόγου μὲν ἄνοια, θυμοῦ δὲ δειλία, ἐπιθυμίας δὲ ἀκολασία, ὅλης δὲ τῆς ψυχῆς ἀδικία. Vides vero Hieroclem hic κακίας τρία εἴδη secundum triplicem ψυχῆς apud Platonicos partitionem dispescere. Nam, ut ait Epiphanius in Expos. Fid. Cathol., Πλάτων λέγει εἶναι τρία μέρη τῆς ψυχῆς, λογικὸν, θυμικὸν, ἐπιθυμητικόν. Atque sic quidem ipse Plato in Timæo p. 89, εἴπομεν πολλάκις, ὅτι τρία ψυχῆς τριχῇ ἐν ἡμῖν εἴδη κατώκισται. Tribus autem hisce κακίας εἴδεσι adjungit ἀδικίαν, ut omnium communem; atque adeo virtutes quatuor cardinales his oppositas introducit in sequentibus, τετράδος οὖν ἀρετῶν ἐδέησεν ἡμῖν—. Similiter etiam Sallustius in capite supra citato, τριμερῆ ποιεῖ τὴν ψυχὴν, ἐκ λόγου, καὶ θυμοῦ, καὶ ἐπιθυμίας· ἀρετὴ δὲ, λόγου μὲν φρόνησις, θυμοῦ δὲ ἀνδρεία, ἐπιθυμίας δὲ σωφροσύνη· ὅλης δὲ τῆς ψυχῆς δικαιοσύνη. ASHT.

5. τελειοτάτης οὔσης πασῶν ἀρετῶν, καὶ περιεκτικῆς τῶν ἄλλων] Debetur hæc lectio Gudianæ MSti Medic. collationi, quæ primo adspectu rectissima nobis apparuit. Edidit Curter., καὶ διὰ πασῶν ἀρετῶν περιεκτικῆς τῶν ἄλλων, omnino male; quam lectionem corrigere volens editor Cant., corrupit potius quam emendavit; nimirum, pro καὶ διὰ, futilem plane conjecturam, μὰ Δία intrusit, et e MS. Med. coll. Salvin. addidit καὶ μέτρων, quibus nullus est hic locus, sic sc., τελειοτάτης οὔσης, μὰ Δία, πασῶν ἀρετῶν, καὶ μέτρων περιεκτικῆς τῶν ἄλλων. Nam de virtutum τετράδι tantum loquitur Hierocles; et quænam, obsecro, sunt illa μέτρα ἄλλα, quæ justitiæ sunt ὡς οἰκεῖα μέρη? missis igitur ambabus istis lectionibus, hanc tibi, ut verissimam, proponimus. Consimili autem modo de justitia loquitur Simplicius in Epict. c. 37. ed. L. Bat. δικαιοσύνη, ἡ μὲν ἀντιδιῃρημένη πρὸς τὰς ἄλλας ἀρετὰς, ἡ δὲ πάσας ἐν ἑαυτῇ συλλαβοῦσα. Itidem Aristot. Eth. 5, 1. κρατίστη τῶν ἀρετῶν εἶναι δοκεῖ ἡ δικαιοσύνη, καὶ παροιμιαζόμενοί φαμεν, ἐν δὲ δικαιοσύνῃ συλλήβδην πᾶσ' ἀρετή ἐστι. ASHT. Mihi lectio codicis G. valde suspecta est: ideo veterem reposui.

μενος, ἐν μὲν τοῖς δεινοῖς τὴν [q]ἀνδρείαν σύμμαχον κτᾶται· ἐν δὲ τοῖς ἡδέσι, τὴν σωφροσύνην· ἐν πᾶσι δὲ ὁμοῦ, τὴν δικαιοσύνην. Καὶ οὕτως [r]ἀρχὴ μὲν τῶν ἀρετῶν ἡ φρόνησις εὑρίσκεται· πέρας δὲ, ἡ δικαιοσύνη· διὰ μέσου δὲ, ἡ [s]ἀνδρεία καὶ σωφροσύνη. Ἡ γὰρ πάντα ἐκλογιζομένη δύναμις, καὶ τὸ ἑκάστου [t]πρόσφορον ἐν ταῖς πράξεσιν ἀεὶ ζητοῦσα, ἵν' εὐλόγως ἕκαστα διατεθείη, ἡ τῆς φρονήσεώς ἐστιν ἕξις, ἀρίστη διάθεσις οὖσα τῆς λογικῆς ἡμῶν οὐσίας, [v]ἀφ' ἧς καὶ ταῖς ἄλλαις δυνάμεσιν ἡ εὐκοσμία [w]παραγίνεται, ὡς ἀνδρίζεσθαι μὲν τὸν θυμὸν, σωφρονεῖν δὲ τὴν ἐπιθυμίαν, καὶ τὴν δικαιοσύνην τῆς [x]ἀναλογίας ἔχεσθαι, καὶ ταύτῃ κοσμεῖσθαι τὸν θνητὸν ἡμῶν ἄνθρωπον ἐκ περιουσίας τῆς ἐνούσης ἀρετῆς τῷ ἀθανάτῳ ἀνθρώπῳ. Προηγουμένως γὰρ αἱ ἀρεταὶ ἀπὸ νοῦ εἰς ψυχὴν λογικὴν ἐλλάμπονται, καὶ ταύτης εἰσὶν οἰκεῖον εἶδος, καὶ τελειότης, καὶ εὐζωΐα. Εἰς δὲ τὴν ἀλογίαν καὶ τὸ θνητὸν σῶμα μετουσία τις τῶν ἀρετῶν ἔρχεται, ὅπως ἂν καὶ τὰ συμπεφυκότα τῇ λογικῇ οὐσίᾳ εὐσχημοσύνης καὶ μετριότητος πληρωθῇ. [y]Τὸ δὲ τῶν θείων ἀγαθῶν [68]
ἡγεμονοῦν ἡ φρόνησις αὕτη, καλῶς ἐνιδρυθεῖσα τῇ λογικῇ
[86] ψυχῇ, δίδωσι περὶ πάντων εὖ βουλεύεσθαι, καὶ τὸν μὲν θάνατον ἀνδρείως φέρειν, τὴν δὲ ἀποβολὴν τῶν χρημάτων πράως καὶ ἐμμελῶς. Πάσας γὰρ τὰς μεταβολὰς τῆς θνητῆς φύσεως, καὶ τῆς ἑπομένης αὐτῇ τύχης, σωφρόνως καὶ ἀνεκπλήκτως [z]ὑπομένειν ἡ φρόνησις δύναται. Τὴν γὰρ φύσιν ἐκλελόγισται τῶν πραγμάτων, καὶ οἶδεν, ὡς ἀνάγκη

q ἀνδρίαν] ἀνδρείαν S. r ἀρχὴ] ἀρχὴν S. s ἀνδρία καὶ σ.] ἀνδρεία καὶ ἡ σ. S. t πρόσφορον ἐν om. S. v ἀφ' ἧς] ἐφ' ἧς S. w παρέπεται] παραγίνεται S. x ἀναλογίας ἔχεσθαι] ἀλογίας ἀνέχεσθαι S. ut Curt. y τὸ δὲ] Τὸ δὴ S. z ἡ φρόνησις ὑπομένειν] ὑπομένειν ἡ φρόνησις S.

11. ἀναλογίας ἔχεσθαι] Ita rectissime lectum in D.; quam lectionem illustrant hæc Aristotelis verba, μέσον τὸ δίκαιον, τοντέστι τοῦ παρὰ τὸ ἀνάλογον· τὸ γὰρ ἀνάλογον, μέσον· τὸ δὲ δίκαιον, ἀνάλογον. Ethic. 5, 3. ASHT.

23. αὐτῇ] Sic G. S. ταύτῃ edd.

τὸ συμπλασθὲν ἐκ γῆς καὶ ὕδατος [a]διαλυθῆναι πάλιν εἰς αὐτὰ, καὶ πρὸς τὴν ἀνάγκην οὐκ ἀγριαίνεται, οὐδὲ ἀπρονόητα εἶναι τίθεται τὰ καθ' ἡμᾶς, ἐὰν τὸ θνητὸν ἀποθνήσκῃ. Γινώσκει γὰρ ὡς θανέειν πέπρωται ἅπασι, καί τις ὡρισμένος ἐστὶ χρόνος πρὸς διαμονὴν τοῖς θνητοῖς [b]ἡμῶν σώμασιν, οὗ ἐνστάντος, οὐ δεῖ χαλεπαίνειν, ἀλλ' ὡς νόμῳ θείῳ ἑκόντας ἕπεσθαι. Τοῦτο γὰρ νῦν ἡ πεπρωμένη δηλοῖ, ὅροις τισὶν ἀναγκαίοις πεπερατῶσθαι τὴν θνητὴν ἡμῶν ζωήν· φρονήσεως δὲ ἴδιον εἶναι τοῖς τῶν κρειττόνων ἕπεσθαι δόγμασιν, οὐ τὸ μὴ ἀποθανεῖν, ἀλλὰ τὸ εὖ ἀποθανεῖν, ζητούσης. Ὁμοίως δὲ καὶ τὴν τῶν χρημάτων φύσιν οὐκ ἀγνοεῖ, ὅτι νῦν μὲν ἦλθε, νῦν δὲ ἀπῆλθε, κατά τινας ὡρισμένας αἰτίας, αἷς ἀντιτείνειν ἀβέλτερον. Τῶν γὰρ οὐκ ἐφ' ἡμῖν τῆς κτή-
[89] σεως ἡμεῖς οὐ κύριοι. Οὐκ ἐφ' ἡμῖν δὲ τὸ σῶμα, καὶ τὰ χρήματα· καὶ ἁπλῶς, ὅσα τῆς λογικῆς ἡμῶν οὐσίας ἔξω κεῖται, οὔτε τὴν ἀρχὴν κτήσασθαι ἐφ' ἡμῖν, οὔτε φυλάξαι ἐφ' ὅσον βουλόμεθα· τὸ δὲ, προσγινομένων καὶ ἀπογινομένων αὐτῶν, μετὰ ἀρετῆς ἀποδέχεσθαι αὐτὰ καὶ ἀποτίθεσθαι, τοῦτο ἦν ἐφ' ἡμῖν, καὶ τῆς λογικῆς οὐσίας ἴδιον, ἂν μὴ ἀλογίστως ἔχειν περὶ τῶν συμβαινόντων ἑαυτὴν ἐθίζῃ, ἀλλὰ τοῖς θείοις ἕπηται μέτροις, οἷς πάντα τὰ περὶ ἡμᾶς ὥρισται. Ἐνταῦθα οὖν τὸ ἐφ' ἡμῖν δύναμιν ἔχει μεγίστην, [70] ἐν τῷ εὖ κρῖναι περὶ τῶν οὐκ ἐφ' ἡμῖν, καὶ μὴ τῇ τούτων προσπαθείᾳ τὴν τοῦ αὐτεξουσίου ἀρετὴν προσαπολέσαι. Τί οὖν ἡ ἔμφρων κρίσις λέγει; Παρόντι μὲν τῷ σώματι καὶ

[a] εἰς αὐτὰ πάλιν διαλυθῆναι] διαλυθῆναι πάλιν εἰς αὐτὰ S.
[b] σώμασιν ἡμῶν] ἡμῶν σώμασιν S.

14. τὰ χρήματα—] Deesse videtur καὶ, vel, ἢ, ante τὰ; sic enim inferius, τῷ σώματι, καὶ τῷ πλούτῳ, et paulo post, σώματος, ἢ χρημάτων. Sic igitur lego et distinguo, σῶμα, καὶ τὰ χρήματα· καὶ ἁπλῶς —. ASHT. καὶ om. S.

21. ἕπηται] Sic G. S. ἕπεσθαι editt. pr.

24. προσαπολέσαι] Sic G. προσαπολέσθαι S. edd.

25. ἔμφρων] Hanc nos veram plane lectionem e G. exhibemus [et sic S.], sc. ἔμφρων κρίσις, *pru-*

τῷ πλούτῳ καλῶς χρῆσθαι, καὶ πρὸς ὑπηρεσίαν ἀρετῆς· ἀπιόντων δὲ, εἰδέναι τὸ δέον, καὶ πρὸς ταῖς ἄλλαις ἀρεταῖς ἀλυπίαν κερδαίνειν. Οὕτω γὰρ καὶ ἡ πρὸς θεοὺς εὐσέβεια τηρηθήσεται, καὶ τὰ τῆς δικαιοσύνης μέτρα, εἰ τὸ λογικὸν [c]ἐκμάθοι ταῖς περιστάσεσιν εὖ καὶ καλῶς χρῆσθαι, καὶ τοὺς τῆς φρονήσεως ὅρους ἀντιτιθέναι τοῖς δοκοῦσιν ὡς ἔτυχε καὶ ἀτάκτως συμβαίνειν. Ἄλλως γὰρ οὐκ ἂν ἀρετὴ φυλαχθείη, ἂν μὴ ὀρθοδοξία τις [d]ἐνυπάρχῃ τῇ λογικῇ οὐσίᾳ. Οὔτε γὰρ τοῖς κρείττοσιν ἕπεσθαι δύναται, ὡς κρείττοσιν,
[90] ἀλλὰ, ὡς ὑπὸ τυράννων βιαζόμενος, διατεθήσεται· οὔτε τῶν συζώντων λόγον τινὰ ποιήσεται, οὔτε σώματος, ἢ χρημάτων τὴν ἀρίστην οἰκονομίαν ἐξευρήσει, ἀλογίστως ἔχειν ἑαυτὸν ἐθίσας. Ὅρα γὰρ ὅτι οἱ ἐξάπαντος φεύγοντες τὸν θάνατον, ἢ τὰ χρήματα τηρεῖν ἐπιθυμοῦντες, πολλαῖς ἐξ ἀνάγκης ἀδικίαις χρήσονται καὶ βλασφημίαις, ἀρώμενοι μὲν κατὰ θεῶν ἀνόσια, καὶ [e]μὴ προνοεῖσθαι φάσκοντες, ἐπειδὰν περιπέσωσιν οἷς ἀνοήτως ἔφευγον, ἀφειδῶς δὲ τοὺς ἄλλους ἀδικοῦντες, καὶ τὰ πάντων ἀθροίζειν [f]πειρώμενοι πρὸς τὸ [g]ἑαυ-

[c] ἐκμάθοι] ἐκμάθ S. [d] ἐνυπάρχῃ] ἐν ὑπ. S. [e] μὴ προνοεῖσθαι] προνοεῖσθαι μὴ S. Curt. Mutavit Needham auctore Bentleio. [f] πειρώμενοι] πειρῶνται S. [g] ἑαυτοῖς] αὐτοῖς S.

dens judicium. ἔμφρων, φρόνιμος. Hesych. Τὸ ἔμφρον, inquit Antoninus, σημαίνει τὴν ἐφ' ἕκαστα διαληπτικὴν ἐπίστασιν, καὶ τὸ ἀπαρενθύμητον. 10, 8. At εὔφρων, quod in prius editis exstat, de judicio inepte prædicari videtur, videlicet, εὔφρων κρίσις, *lætum*, seu, *hilare judicium*. εὔφρων, ἡδὺς, ἱλαρός. Hesych. εὔφρων, ὁ ἡδύς· ἔμφρων δὲ, ὁ φρόνιμος. Phavorin. ἔμφρων, ὁ φρονήσεως πληρωθείς. Plut. Amator. Sic autem Hierocles in sequentibus, πῶς γὰρ ἂν δόξῃ ἔμφρονος εἶναι—; ASHT.

9. δύναται] Curter. hic, temporis causa, legendum conjecit δυνήσεται; unde editor Cant. fidenter mutavit in δύνηται, nos vero præter codicum fidem nihil lectori obtrudendum esse judicantes, retinuimus δύναται, quod Atticorum more stare potest, qui τεχνολόγων regulas de temporum et modorum convenientia sæpe negligunt, ut exemplis docet Budæus p. 20, 21. ASHT.

13. ὅτι οἱ ἐξάπαντος] Ita supplevimus e G. [et S.], cum in editt. pr. deesset plane ὅτι. ASHT.

18. τὰ πάντων] τὰ πάντα G., cui suffragatur Aurispæ versio, *omnium rerum*. ASHT.

τοῖς λυσιτελὲς, ὡς οἴονται. Καὶ οὕτως ἐκφανὴς ἡ τῆς ψευδοδοξίας ἐν αὐτοῖς γίνεται βλάβη, ὡς τὰ μέγιστα τῶν κακῶν ἐκβλαστάνειν· ἀδικίαν μὲν πρὸς τοὺς ὁμοίους, ἀνοσιότητα δὲ πρὸς τοὺς κρείττονας. Ὧν καθαρεύσειεν ἂν ὁ τοῖς προκειμένοις στίχοις πειθόμενος, ὁ τῇ εὐλογίστῳ κρίσει τὸν θάνατον [h]γενναίως ὑπομένων, καὶ τὴν τῶν χρημάτων [72] ἀποβολὴν οὐκ ἀφόρητον ἡγούμενος. Ἐξ ὧν καὶ πρὸς δικαιοσύνην ἀφορμὰς λαμβάνει, ὡς δέοι τῶν ἀλλοτρίων ἀπέχεσθαι, καὶ βλάπτειν μηδένα, μηδὲ ὠφέλειαν ἑαυτοῦ τὰς τῶν ἄλλων ποιεῖσθαι συμφοράς. Τούτων δὲ οὐδὲν τηρῆσαι δυνατὸς ἔσται ὁ θνητὴν ὑπολαμβάνων εἶναι τὴν ἑαυτοῦ ψυχὴν, [93] καὶ ἀλογίστως ἔχειν ἑαυτὸν ἐθίσας, τί μέν ἐστι τὸ ἀποθνῆσκον ἡμῶν [i]μηδαμῶς λογιζόμενος, καὶ τὸ τῶν χρημάτων δεόμενον, τί δὲ τὸ ἀσκοῦν τὴν ἀρετὴν, καὶ τὸ ἐκ ταύτης ὠφελούμενον. Μόνη γὰρ ἡ τούτων διάκρισις προθυμίαν εἰς ἀρετῆς ἄσκησιν ἂν παράσχοι, καὶ πρὸς τὴν τῶν καλῶν κτῆσιν ἐπεγείρειεν ἡ ἐκ τοῦ Γνῶθι σεαυτὸν καὶ Αἰσχύνεο σαυτὸν ἔνθεος ὁρμή. Πρὸς γὰρ τὴν ἡμετέραν ἀξίαν καὶ τὰ τῶν ἄλλων καθήκοντα παραμετρεῖσθαι δεῖ ἐν ἔργοις τε καὶ λόγοις. Ἡ δὲ τῶν καθηκόντων τήρησις ἀπαράβατος δικαιοσύνη ἂν εἴη· διὸ καὶ προτέτακται τῶν ἄλλων ἀρετῶν, ἵνα τῶν καθηκόντων [k]γένηται μέτρον. Δικαιοσύνην, γάρ φησιν, ἄσκει ἔργῳ τε λόγῳ τε. Οὐκ οὖν οὐδὲν βλάσφημον ἐρεῖς

[h] γενναίως] γενέως S. [i] μηδαμῶς λογιζόμενος om. S. addidit Needham ex D. [k] γένηται] γίνεται S.

1. ὡς οἷόν τε] In G. [et S.] legitur ὡς οἴονται, quod non contemnendum, si referatur ad λυσιτελὲς, sc. πρὸς τὸ ἑαυτῶν λυσιτελὲς, ὡς οἴονται, *in suum, ut opinantur, emolumentum*; hæc utique est eorum ψευδοδοξία, ut mox sequitur. ASHT.

11. ὁ θνητὴν ὑπολαμβάνων εἶναι τὴν ἑαυτοῦ ψυχὴν] Aptissime hic Hierocles, sumta occasione, ψυχῆς ἀθανασίαν introducit, eamque pro virtutum omnium fundamento ponit; quod et in sequentibus repetit, et fusius prosequitur. Ἀθανασίαν vero hic vult a parte post, sc. post corporis dissolutionem: huic autem adjungit postea ἀθανασίαν quoque a parte ante (sc. προβιοτὴν) atque ex ambabus demum conjunctis animæ ἀϊδιότητα infert in sequentibus. ASHT.

ἐν ἀπωλείαις χρημάτων, ἢ νόσων ἀλγηδόσιν, ἵνα μὴ ἀδικῆς ἐν λόγῳ· ἀλλ᾽ οὐδὲ τὰ τῶν πλησίον ἁρπάσεις, οὐδὲ μηχανήσῃ δυστυχίας ἀνθρώποις, ἵνα μὴ ἀδικῆς [l]ἐν ἔργῳ. Δικαιοσύνης γὰρ [m]τὴν ψυχὴν φρουρούσης, τὰ προσήκοντα ἂν πράττοιμεν καὶ περὶ Θεοὺς, καὶ περὶ ἀνθρώπους, καὶ περὶ ἡμᾶς αὐτούς. Τῆς δὲ δικαιοσύνης τὸ ἄριστον [94] μέτρον ἐστὶν ἡ φρόνησις· ὅθεν τῷ, δικαιοσύνην ἄσκει, ἐπήγαγε, μηδ᾽ ἀλογίστως σαυτὸν ἔχειν περὶ μηδὲν ἔθιζε· ὡς μὴ δυναμένης ὑποστῆναι δικαιοσύνης ἄνευ φρονή- [74] σεως. Τοῦτο γάρ ἐστιν [n]ὄντως δίκαιον, ὃ ἡ τελεία φρόνησις ὁρίζει. Αὕτη δ᾽ ἂν εἴη ἡ περὶ μηδενὸς ἀλογίστως ἔχουσα, ἀλλ᾽ ἐπεσκεμμένη μὲν περὶ τοῦ θνητοῦ σώματος, ἐπεσκεμμένη δὲ περὶ τῶν εἰς τὴν τούτου χρείαν συντελούντων· πάντα δὲ ἀτιμότερα ἀρετῆς τιθεμένη, [o]καὶ μεγίστην ὠφέλειαν τὴν ἀρίστην διάθεσιν τῆς λογικῆς ψυχῆς, ἀφ᾽ ἧς καὶ τὰ ἄλλα κοσμεῖται κατὰ δύναμιν. Τοιοῦτος μὲν τῶν προκειμένων ἐπῶν ὁ σκοπὸς, τὴν τετράδα τῶν πρακτικῶν ἀρετῶν ἀναφῆναι καὶ παραδοῦναι τοῖς ἀκροαταῖς μετὰ τῆς ἀγρύπνου τηρήσεως, καὶ παραφυλακῆς τῆς ἐν λόγοις καὶ ἔργοις πρεπούσης. Τὸ μὲν γὰρ φρόνησιν, τὸ δὲ ἀνδρείαν, τὸ δὲ σωφροσύνην, παραδίδωσι· τὸ δὲ προηγούμενον αὐτῶν τὴν ἐπὶ πάσαις ταῖς ἄλλαις ἀρεταῖς κοινῶς ἐπιθεωρουμένην δικαιοσύνην ἀσκεῖσθαι παραινεῖ· τὸ δὲ, χρήματα δ᾽ ἄλλοτε μὲν [97] κτᾶσθαι φιλεῖ, [p]ἄλλοτ᾽ ὄλεσθαι, παρίστησιν, ὅτι τῇ σωφρονικῇ διαθέσει καὶ ἡ ἐλευθεριότης παρέπεται, ἀρετὴ οὖσα περὶ χρημάτων πρόσοδον καὶ δαπάνην. Τὸ γὰρ μόνον τότε αὐτὰ κτᾶσθαι, [q]καὶ ἀποκτᾶσθαι, ὅτε δίδωσιν ὁ λόγος,

l ἐν ἔργῳ] ἐν om. S. m ψυχὴν] τὴν ψυχὴν S. n ὄντως] οὕτως S. o καὶ μεγίστην] καὶ om. S. p ἄλλοτε δ᾽] ἄλλοτ᾽ S. q καὶ ἀποκτᾶσθαι om. S.

12. ἐπεσκεμμένη μὲν—, ἐπεσκεμμένη δὲ—] Nescio an melior sit lectio, quam exhibet hic G., ἀλλ᾽ ἐπεσκεμμένως μὲν περὶ τοῦ σώματος ἔχουσα, ἐπεσκεμμένως δὲ καὶ περὶ τῶν—. ASHT. cum vulg. consentit S.

21. παραδίδωσι] Ita G. S. δίδωσι editt. pr. Sic supra, τετράδα ἀρετῶν παραδοῦναι.

μικρολογίας καὶ [r]ἀσωτίας προαναιρεῖ τὰς ἀφορμάς. [s]Πάντα δὲ ταῦτα, ὡς ἀπὸ πηγῆς καὶ ἀρχῆς πρώτης, τοῦ [t]ἑαυτὸν αἰσχύνεσθαι προάγεται. Τοῦτο δὲ τὸ παράγγελμα προείληφεν ἐν ἑαυτῷ τὸ Σαυτὸν γνῶθι, ὃ πασῶν μὲν σπουδαίων πράξεων, πασῶν δὲ θεωρητικῶν γνώσεων, προϋποκεῖσθαι δεῖ. Ἐπεὶ πόθεν εἰσόμεθα, ὅτι προσήκει ἡμῖν [v]μετριάσαι τῶν παθῶν, καὶ γνῶναι τὰ ὄντα; Ἀπορεῖται γὰρ περὶ αὐτῶν, πρῶτον μὲν, εἰ δυνατὰ [w]ταῦτα ἀνθρώποις· ἔπειτα, εἰ ὠφέλιμα τοῖς ἔχουσι γίνεται. Φαίνεται γὰρ πᾶν τοὐ- [76]
ναντίον ἐλαττούμενος ἐν τοῖς κατὰ τὸν βίον [x]ὁ σπουδαῖος, τῷ μὴ λαμβάνειν ἀδίκως ὅθεν οὐ δεῖ, καὶ τῷ ἀναλίσκειν δικαίως εἰς ἃ δεῖ· καὶ περὶ τὸ σῶμα παντὸς μᾶλλον εὐεπιχειρήτως διάκειται, μήτε [y]ἄρχειν αὐτὸς ἐπιτηδεύων, μήτε ἀνελευθέρως θεραπεύων τοὺς ἄρχοντας. Ὥστε, εἰ μή τις ἄλλη οὐσία ἐν [a]ἡμῖν εἴη ἀπὸ τῆς ἀρετῆς ὠφελουμένη, σχολῇ γε ἂν πλοῦτον ἢ δυναστείαν [z]δι' αὐτὴν προησοίμεθα. Ὅθεν
[98] καὶ οἱ θνητὴν οἰόμενοι τὴν ψυχὴν, περὶ τοῦ [a]μὴ προΐεσθαι τὴν ἀρετὴν κομψεύονται μᾶλλον ἢ ἀληθεύουσιν. Εἰ γὰρ μὴ εἴη τι ὑπομένον ἡμῶν μετὰ θάνατον, καὶ τοῦτο φύσιν ἔχον ἀληθείᾳ καὶ ἀρετῇ κοσμεῖσθαι, (οἷον δή φαμεν εἶναι τὴν λογικὴν ψυχὴν,) οὐκ ἂν ἔφεσις ἡμῖν καθαρὰ γένοιτο τῶν

[r] ἀσωτίας] ἀσ͡ματι S. [s] Ταῦτα δὲ πάντα] πάντα δὲ ταῦτα S. [t] ἑαυτὸν] ἑαυτ͡ S. [v] μετριάσαι] μετριᾶσαι S. [w] ἀνθρώποις ταῦτα] ταῦτα ἀνθρώποις S. [x] ὁ σπουδαῖος] σπουδαί¬ S. i. e. σπουδαίοις. [y] ἄρχειν] ἄρχ̂ S. [z] δι' αὐτὴν προησοίμεθα] αὐτὴν προσδεξώμεθα S. M. 2. προσδεξόμεθα Sal. προσεξόμεθα Curt. qui γρ. προησόμεθα in marg. προησοίμεθα Needh. ex Bentleii em. [a] μὴ προΐεσθαι] προσίεσθαι S.

16. δυναστείαν δι' αὐτὴν π.] Nos hic præter morem, cogente sententia, et monstrante ipso Hierocle, sic legere non dubitavimus. Nam si αὐτὴν jungas cum δυναστείαν, sensui detrahes potius, quam augebis; ac melius abesse poterit: atque hac, ut opinor, de causa Curter., et editor Cant., in versione αὐτὴν negligunt. Addita autem præpositione διὰ, sententiæ vis et ratio elucent, sc. σχολῇ— δυναστείαν δι' αὐτὴν προησοίμεθα, i. e. δι' ἀρετὴν, quæ præcessit; atque sic idem fere de divitiis et principatu hic dicetur, quod de corpore infra dicit, πῶς προησόμεθα δι' ἀρετὴν τὸ σῶμα; ASHT.

καλῶν. Προαναιρεῖται γὰρ ἡ ὑποψία τῆς φθορᾶς τὴν περὶ ταῦτα σπουδήν, καὶ πρὸς ἀπολαύσεις ἄγει σωματικὰς, ὁποῖαί ποτ' ἂν ὦσιν αὐταὶ, καὶ πόθεν ἂν πορίζεσθαι δύνωνται. Πῶς γὰρ ἂν δόξῃ ἔμφρονος εἶναι, κατ' αὐτοὺς, ἢ μετρίως καθεστηκότος, μὴ πάντα χαρίζεσθαι τῷ σώματι, δι' ὃ καὶ ἡ τῆς ψυχῆς ὑπόστασις σώζεται, οὐκ οὔσης μὲν καθ' αὑτὴν, ἐπιγινομένης δὲ τῇ ποιᾷ διαπλάσει τοῦ σώματος; Πῶς δὲ προησόμεθα δι' ἀρετὴν τὸ σῶμα, μέλλοντες καὶ τὴν ψυχὴν αὐτὴν ἅμα τῷ σώματι διαφθείρειν, ὥστε μηδαμοῦ εἶναι τὴν ἀρετὴν, ἧς ἐφέσει τὸν θάνατον ὑπεμείναμεν; Ἀλλὰ περὶ μὲν τούτων ἱκανῶς τοῖς θείοις ἀνδράσιν ἀποδέδεικται, ὅτι τε ἀθάνατος ἡ ψυχὴ, καὶ ὅτι διὰ μόνης ἀρετῆς κοσμεῖσθαι πέφυκε. Νῦν δὲ τὸ παρὸν ἐπισφραγισάμενοι δόγμα, ἐπὶ τὰ ἑξῆς μεταβαίνωμεν, τοσοῦτον τοῖς προειρημένοις [b] ἐπειπόντες, ὅτι ὥσπερ τῇ ἀγνοίᾳ τῆς οὐσίας ἡμῶν πᾶσα ἐπεισρεῖ κακία, οὕτω τῇ ἑαυτῶν γνώσει, καὶ
[101] ἀπαξιώσει τῶν μὴ πρεπόντων λογικῇ φύσει, ἡ τῶν καθηκόντων ἀπαραλόγιστος τήρησις εὑρίσκεται πανταχοῦ· τοῦτο δὲ [78]
τῶν κατὰ μέρος ἀρετῶν γίνεται μέτρον. Ὡς γὰρ πρὸς κανόνα τὴν οὐσίαν ἡμῶν ἀποβλέποντες, τὸ δέον ἐν πᾶσιν εὑρίσκομεν, κατὰ τὸν ὀρθὸν λόγον συμφώνως τῇ ἑαυτῶν οὐσίᾳ διαζῶντες. Πᾶν γὰρ ὃ ἀμείνονα τὴν ψυχὴν ποιεῖ, καὶ πρὸς τὴν φύσει πρέπουσαν εὐζωΐαν αὐτὴν ἀνάγει, τοῦτο ὄντως ἀρετὴ, καὶ φιλοσοφίας νόμος· τὰ δὲ μόνον πρὸς ἀνθρωπίνην εὐσχημοσύνην τείνοντα, δουλοπρεπῆ ἐστὶ σοφίσματα, καὶ σκιαγραφία τῶν καλῶν τὸν παρὰ τῶν πολλῶν ἔπαινον

[b] ἐπειπόντες] ὑπειπόντες Vat.

3. ὁποῖαί ποτ' ἄν] G. om. ποτε.

12. ἀποδέδεικται] Ita legimus e G., etsi priorum lectionem ἐπιδέδεικται non improbamus. ASHT. ἐπιδέδ. S.

26. σκιαγραφία τῶν καλῶν,—τοῦ δοκεῖν, οὐ τοῦ εἶναι] Hierocles hic ad duo Platonis loca respicere videtur, primum, ad hæc in Phædone verba, σκιαγραφία τὶς ἦ ἡ τοιαύτη ἀρετὴ, καὶ τῷ ὄντι ἀνδραποδώδης, καὶ οὐδὲν ὑγιὲς, οὐδ' ἀληθὲς ἔχῃ.

θηρωμένη, καὶ τοῦ δοκεῖν μόνον, [c]οὐ τοῦ εἶναι, ἀγαθὸν τὴν πᾶσαν ποιουμένη φροντίδα. Καὶ ταῦτα μὲν περὶ τούτων. [d]Τοῖς δὲ ὀρθοῖς λογισμοῖς ἐξ ἀνάγκης ἕπεται καὶ περὶ τῶν δοκούντων ἀτάκτως κατὰ τὸν βίον συμβαίνειν μὴ ἀλογίστως ἔχειν, ἀλλ' εὖ καὶ γενναίως ἀπολελογίσθαι τὰς τούτων αἰτίας, καὶ φέρειν αὐτὰ μηδὲν [e]ἐγκαλοῦντας τοῖς ἐπιμελητα῀ς ἡμῶν, [f]οἳ πρὸς ἀξίαν ἀπονέμοντες ἑκάστῳ τὰ προσήκοντα, οὐ τῶν ἴσων ἠξίωσαν ἅπαντας τοὺς μὴ ὁμοίως προβεβιωκότας. [g]Πῶς γὰρ ἂν, προνοίας μὲν οὔσης, καὶ τῆς ψυχῆς ἡμῶν ἀφθάρτου μὲν κατ' οὐσίαν προαιρέσει δὲ [h]αὐτοκινήτῳ πρὸς ἀρετὴν ἢ κακίαν ὁρμώσης, ἐνῆν τὰ ἴσα τοῖς μὴ ἴσοις τοὺς τοῦ πρὸς ἀξίαν φύλακας νόμου ἀποδι-

[c] οὐ τοῦ] αὐτοῦ S. Curt. em. Casaub. αὐτοῦ] mallem ἀλλ' αὐτοῦ, vel ἀντὶ τοῦ, vel ἄνευ τοῦ, vel potius simpliciter οὐ τοῦ, quod verissimum, et sic Salv. HOLST. αὐτοὺς—ἀγαθοὺς—ποιουμένους M. [d] Τοῖς δὲ] δὲ om. S. [e] ἐγκαλοῦντες] ἐγκαλοῦντας S. [f] οἳ πρὸς] εἰ πρὸς S. [g] Πῶς γὰρ] πῶς γὰρ ἂν S. [h] αὐτοκινήτῳ] αὐτ῀κινήτῳ S.

Deinde ad illa De Repub. 2, ubi dicit, ἄνδρα ἁπλοῦν, κατ' Αἰσχύλον, οὐ δοκεῖν, ἀλλ' εἶναι ἀγαθὸν ἐθέλοντα, —ἀφαιρετέον τὸ δοκεῖν· &c. de Amphiarao autem hæc dicit Æschylus, οὐ γὰρ δοκεῖν ἄριστος, ἀλλ' εἶναι θέλει, &c. In Ἑπτ. ἐπὶ Θηβ. ASHT.

6. ἐγκαλοῦντες] Editor Cant. reposuit hic ἐγκαλοῦντας, nullo auctore, sed *clamante*, ut ait, *constructione*. At meminisse debuit, scriptores Atticos ad Grammaticorum regulas non semper esse exigendos, qui neglectis τεχνολόγων legibus casus sæpe variant, ut Budæus aliique dudum observarunt. Atque variationem huic similem postea in voce φέροντες deprehendes, [p. 114. Needh.] ubi plura notabimus. ASHT. Ut hic ἐγκαλοῦντας ita p. 114 S. præbet φέροντας.

ib. τοῖς ἐπιμελητα῀ς ἡμῶν] Sc. δαίμοσιν αἰθερίοις, qui sunt μέσον γένος τῶν λογικῶν, et modo ἥρωες, modo ἄγγελοι vocantur, ut in superioribus dixit. Hos autem postea τοὺς πρὸ ἡμῶν ἀθανάτους διοικητὰς appellat; et in lib. de Provid. ap. Phot. Cod. 251, τοὺς φύλακας καὶ ἐφόρους ἡμῶν, et θείους δικαστὰς, ac θείους ἐπιστάτας vocat, dicitque eos, ὑπὸ Θεοῦ τεταγμένους δικαστὰς ἡμῶν ἐπιμελεῖσθαι, adeo ut quicquid aut agimus, aut patimur, per totam hanc terrestrem vitam, a descensu animæ in corpus ad exitum usque, ad eorum curam et administrationem pertineat. ASHT.

8. προβεβιωκότας] His plane gemina habet Noster de Providentia p. 264. οὐ γὰρ ἡ θεία κρίσις τοῖσδε μὲν ἡμῶν ἐμφέρει τὰ δεινὰ, τοῖσδε δὲ τὰς εὐπαθείας ἀποδίδωσιν, ἀλλ' ἐξ ὑποθέσεως τῆς τῶν προβεβιωμένων ἀξίας. NEEDHAM.

δόναι, ἀλλὰ μὴ τὴν προσήκουσαν [i] ἀπονέμειν ἑκάστῳ τύχην,
[102] ἣν καὶ προϊὼν εἰς γένεσιν ὁ ἄνθρωπος κληροῦσθαι λέγεται;
Εἰ οὖν μὴ μῦθος τὸ [k] εἶναι πρόνοιαν, ἀπονέμουσαν ἑκάστῳ
τὰ πρέποντα, καὶ τὴν ψυχὴν ἡμῶν ἀθάνατον εἶναι, δῆλον,
ὡς μεταστῆσαι δεῖ τὴν αἰτίαν τῶν ἀλγεινῶν ἀπὸ τοῦ διοι- 5
κοῦντος ἐφ' ἡμᾶς αὐτοὺς, ἐξ οὗ καὶ τὸ ἰᾶσθαι τὰ δυσχερῆ
δύνασθαι δώσει ὁ λόγος. [l] Ἐν ἑαυτοῖς γὰρ εὑρόντες τὰς
αἰτίας τῆς τοσαύτης [m] ἀνωμαλίας, πρῶτον μὲν τῷ ὀρθῷ τῆς
κρίσεως [n] ἐπελαφρυνοῦμεν τῶν συμβαινόντων τὸ μοχθηρόν· [80]
ἔπειτα ταῖς ἱεραῖς μεθόδοις καὶ ταῖς ὀρθαῖς νουθετήσεσι 10
[o] μεθαρμόζοντες τὴν ψυχὴν πρὸς τὸ ἄμεινον, παντελῶς ἑαυ-
τοὺς τῶν ἀλγεινῶν ἐλευθερώσομεν. Τὸ δὲ πάσχοντα κακῶς
μηδ' αἰσθάνεσθαι τὰς αἰτίας, μηδὲ καταμαντεύεσθαι τοῦ
εἰκότως συμβαίνοντος, ἑαυτὸν ἦν ἐθίσαντος ἀλογίστως
ἔχειν περὶ παντὸς, ὃ νῦν ἀπηγόρευσεν ὁ λόγος. Ἀνάγκη 15

[i] ἑκάστῳ ἀπονέμειν] ἀπονέμειν ἑκάστῳ S. [k] πρόνοιαν εἶναι] εἶναι πρόνοιαν S. [l] Ἐν ἑαυτοῖς] ἐναυτοῖς S. [m] ἀνωμαλίας] ἀνομ. S. [n] ἐπελαφρυνοῦμεν] ἐπελαφρύνομεν S. vulg. em. Needham. [o] μεθαρμόζοντες] μεθορμίζοντες S. vulg. em. Bentleius.

2. κληροῦσθαι λέγεται] Ad hæc recte intelligenda nihil aliud adducamus opus est, quam Pythagoreorum dogma a Platone jamdudum explicatum: qui in decimo de Rep. p. 617. tradit prophetam sortes ex Lachesis sinu accepisse, indeque sublime quoddam tribunal conscendisse, et animas his allocutum esse: Οὐχ ὑμᾶς δαίμων λήξεται, ἀλλ' ὑμεῖς δαίμονα αἱρήσεσθε. πρῶτος δ' ὁ λαχὼν πρῶτος αἱρείσθω βίον, ᾧ σύνεσται ἐξ ἀνάγκης. DACERIUS.

4. τὴν ψυχὴν ἀθάνατον εἶναι] Hierocles hic, secundum Pythagoræ et Platonis sententiam, ψυχῆς ἀθανασιαν a parte ante introducit; ut per hanc animarum προβιοτὴν, et μετενσωμάτωσιν, vitæ hujus ἀλγεινῶν ex anteactæ vitæ meritis rationem reddat, atque adeo providentiæ in iis unicuique pro merito dispensandis ordinem defendat. Hac autem ὑποθέσει delectatus, tanquam solida, eam in sequentibus, ut et in Libris de Providentia, ἄνω καὶ κάτω, ut ait Photius, versat; cum revera sit ἐπισφαλὴς, καὶ ματαία, καὶ σαθρὰ, atque Providentiæ injuriam potius faciat, quam justam ei defensionem præbeat, uti observat idem Photius in Cod. 251. Nostri vero propositi tantum est, ut hujus ἀθανασίας hic introductæ causam lectori indicemus, quæ a viris doctissimis non satis animadversa videtur, ut in sequentibus ostendemus. ASHT.

γὰρ τὸν ἀζητήτως ἔχοντα τῆς ἀληθοῦς αἰτίας ἐπὶ τὴν κρείττονα οὐσίαν μεταφέρειν τὸ ἔγκλημα, ἢ ὅτι οὐκ ἔστι παντελῶς, ἢ ὅτι οὐκ ἐπιμελεῖται ἡμῶν ὀρθῶς. Τὰ δὲ τοιαῦτα δοξάσματα οὐ μόνον τὰ ἐκ προβιοτῆς κακὰ ἐπιτείνει, ἀλλὰ καὶ εἰς πᾶσαν πονηρίαν τὴν ψυχὴν ἐπεγείρει, καὶ τῆς αὐτεξουσίου θεραπείας αὐτὴν ἀποστερεῖ, τῷ προστιθέναι
[104] [p] λανθάνουσαν τὰς αἰτίας τῶν νῦν δυσχεραινομένων. Πῶς δὲ δεῖ περὶ τούτων φιλοσοφεῖν, ἐπάκουσον αὐτῶν τῶν ἐπῶν.

XI. 17—20.

ὅσσα τε δαιμονίῃσι τύχαις βροτοὶ ἄλγε' ἔχουσιν,
[q] ἣν ἂν μοῖραν [r] ἔχῃς ταύτην φέρε, μὴδ' ἀγανάκτει.
Ἰᾶσθαι δὲ πρέπει καθόσον δύνῃ· ὧδε δὲ φράζευ·
οὐ πάνυ τοῖς ἀγαθοῖς τούτων πολὺ μοῖρα δίδωσι.

Πρὸ τῆς ἄλλης ἐξηγήσεως ἐκεῖνο προειπεῖν δεῖ, ὅτι ἄλγεα νῦν λέγει τὰ ἐπίπονα, καὶ τραχυτέραν ἡμῖν τὴν ὁδὸν τοῦ βίου παρασκευάζοντα· οἷον νόσον, πενίαν, φιλτάτων ἀποβολήν, ἀδοξίαν ἐν πόλει. Ταῦτα γὰρ χαλεπὰ μέν ἐστι, καὶ δυσδιάθετα κατὰ τὸν βίον· οὐ μὴν ὄντως κακὰ, οὐδὲ αὐτῇ τῇ ψυχῇ βλαβερὰ τυγχάνει, ἐὰν μὴ αὐτὴ ἐθέλῃ [s] διά τι τούτων εἰς κακίαν ἀποκλῖναι· ὃ καὶ ἐπὶ τῶν [t] ἀγαθῶν
[106] δοκούντων πάθοι ἄν, μὴ βουληθεῖσα καλῶς αὐτὰ μεταχειρίζεσθαι· οἷον [v] ὑγίειαν, καὶ πλοῦτον, καὶ δυναστείαν. [82]
[w] Ἔστι γὰρ καὶ ἐν τούτοις κακυνθῆναι, καὶ ἐν τοῖς ἐναντίοις ἀρετὴν κτήσασθαι. Τὰ δὲ ὄντως κακὰ, τὰ ἐκ προαιρέσεώς ἐστιν ἁμαρτανόμενα, οἷς συνεισελθεῖν [w] ἀρετὴ φύσιν οὐκ

[p] λανθάνουσαν τὰς αἰτίας] λανθάνουσ ι τ αἰτί S. λανθανούσας αἰτίας Needham ex D. ubi λανθάνουσας (sic acc.) notante Dacerio. [q] ὃς ἂν] ἣν ἂν S. [r] ἔχῃς] ἔχεις S. em. qui ταύτην pro πράως. [s] διὰ] διά τι S. M. 2. [t] δοκούντων ἀγαθῶν πάθῃ] ἀγαθῶν δοκούντων πάθοι S. Vat. M. 2. [v] Ὑγείαν] ὑγίειαν S. [w] ἀρετὴ] ἀρετ S. ἀρετὴν Vat.

7. Πῶς δὲ] Sic G. S. Καὶ πῶς δὲ edd. vett.

ἔχει. [x] Ταῦτα δέ ἐστιν ἀδικία, καὶ ἀκολασία, καὶ πάντα ὅσα τὴν τοῦ καλοῦ σύζευξιν οὐκ ἐπιδέχεται. Οὐ γάρ ἐστιν οὐδενὶ τῶν τοιούτων τὸ καλῶς ἐπιφθέγγεσθαι· οἷον, ἀδικεῖ καλῶς, ἀκολασταίνει καλῶς· ὥσπερ ἐπὶ τῶν ἐκτὸς κακῶν λέγομεν, νοσεῖ καλῶς, πένεται καλῶς, ὅταν εὖ καὶ κατὰ τὸν ὀρθὸν λόγον τὰ τοιαῦτα [y] φέρῃ ὁ ἄνθρωπος. Ταῖς δὲ ψυχικαῖς πονηρίαις οὐκ ἐπιφέρεται τὸ καλῶς, διότι ἀποστροφαί εἰσι καὶ ἀποτεύγματα τοῦ ὀρθοῦ λόγου, ὃν φύσει ἐνόντα, καὶ ἐγγεγραμμένον αὐτῇ, παρορᾷ ἡ [z] ἀνθρώπου ψυχὴ ὑπὸ τῆς προσπαθείας ἀποτυφλουμένη. Τεκμήριον δὲ τοῦ [a] ἐνεῖναι τὸν ὀρθὸν λόγον τοῖς ἀνθρώποις, τὸ καὶ τὸν ἄδικον, ἐν οἷς [b] αὐτῷ μηδὲν διαφέρει, κρίνειν δικαίως, καὶ τὸν ἀκόλαστον, σωφρονικῶς· καὶ ὅλως, τὸν κακὸν ὀρθαῖς ἐπιβολαῖς χρῆσθαι, ἐν οἷς ἀπροσπαθής ἐστι· διὸ καὶ μεθίστασθαι δύναται ὁ φαῦλος εἰς ἀρετὴν καταγνώσει τῆς προτέρας κακίας. Οὐ μὴν διὰ τοῦτο ἐνυπάρχειν δεῖ καὶ τὸν μὴ ὀρθὸν λόγον, ἵνα ἀρχὴ τῶν κακιῶν οὗτος
[109] γένηται, ὥσπερ ἐκεῖνος τῶν ἀρετῶν. Ἀρκεῖ γὰρ παρὼν ὁ ὀρθὸς λόγος, ὥσπερ νόμος ἐν πόλει, τά τε κατ' αὐτὸν πραττόμενα καὶ τὰ παρ' αὐτὸν διορίζειν, καὶ τὰ μὲν ἀποδέχεσθαι, τὰ δὲ σωφρονίζειν. Καὶ οὐδὲν δεῖ κακῶν ἀρχῆς,

[x] Ταῦτα] τὰ S. [y] φέρει] φέρῃ S. [z] ἀνθρωπίνη ψυχὴ Vat.
[a] ἐνεῖναι] ⏜ S. (i. e. εἶναι). ἐνεῖναι Vat. [b] μηδὲν αὐτῷ] αὐτ μηδὲν S.

2. Οὐ γάρ ἐστιν οὐδενὶ τῶν τοιούτων τὸ **καλῶς** ἐπιφθέγγεσθαι] Ita fere Aristoteles, Eth. 2. 6. οὐκ ἔστιν οὐδέποτε περὶ αὐτὰ κατορθοῦν, ἀλλ' ἀεὶ ἁμαρτάνειν· οὐδ' ἔστι τὸ εὖ— περὶ τὰ τοιαῦτα. ASHT.

5. νοσεῖ καλῶς, πένεται καλῶς] Sic Aristot. de Repub. 7. 13. χρήσαιτο δ' ἂν σπουδαῖος ἀνὴρ καὶ πενίᾳ, καὶ νόσῳ—καλῶς. Atque ita Simplic. in Epict. Enchir. c. 23. τὸ νοσεῖν καλῶς, καὶ τὸ πένεσθαι καλῶς, ἐφ' ἡμῖν ἔστι. Ipse quoque Epict. ap. Arrian. 3. 10. τοῦ πυρέττειν καιρός ἐστι; τοῦτο καλῶς γενέσθω. Τοῦ διψᾶν; δίψα καλῶς· τοῦ πεινᾶν; πείνα καλῶς. ASHT.

21. οὐδὲν δεῖ κακῶν ἀρχῆς] Rectissima est hæc et Platonicorum communis sententia; qui malum non ὑπόστασιν, sed παρυπόστασιν esse definiunt, et σκοποῦ ἀποτυχίαν. Sic Sallust. c. 12. οὐδὲν ἐν τῷ κόσμῳ φύσει κακόν. Et Proclus, πᾶν τὸ

οὔτε ἐνυποκειμενης, οὔτε ἔξωθεν κακοποιὸν αἰτίαν ἐνδιδούσης· ἀγαθῶν δὲ δεῖ ἀρχῆς μάλιστα καὶ μόνης, [c] καὶ τῆς μὲν κεχωρισμένης τῶν λογικῶν οὐσιῶν, οἵός ἐστιν ὁ Θεὸς, τῆς δὲ ἐνυπαρχούσης αὐταῖς, καὶ τῇ κατ᾽ οὐσίαν ἐπαφῇ κυβερνώ- [84]
σης, οἵός ἐστιν ὁ ὀρθὸς λόγος. Τοιαύτη μὲν ἡ τῶν κακῶν διάκρισις· ὧν οὐ τὰ προαιρετικά φησιν ἐκ τῆς δαιμονίας τύχης τοῖς ἀνθρώποις ἀπονέμεσθαι, ἀλλὰ τὰ περιστατικὰ, [d] ἃ νῦν ἐν τοῖς οὐκ ἐφ᾽ ἡμῖν κεῖται, πάλαι δὲ προαιρετικαῖς ἁμαρτίαις ἐπηκολούθησεν, ἀλγεινὰ μὲν ὄντα, ὡς ἔφαμεν, τὸν δὲ παρὰ τῆς ἀρετῆς κόσμον ἐπιδεχόμενα. Καὶ γὰρ πενίαν ἐκόσμησε σώφρων δίαιτα, καὶ ταπεινότητα γένους ἐπηνωρθώσατο φρόνησις, καὶ παίδων ἀποβολὴν πράως ἤνεγκεν ὁ δίκαιος βίος, ὁ δυνάμενος εἰπεῖν, τέθνηκε τὸ παιδίον; [e] οὐκ οὖν ἀπεδόθη; καὶ, ἤδειν θνητὸν γεγεννηκώς. Ὁμοίως δὲ καὶ τὰ ἄλλα πάντα, τῷ τῆς ἀρετῆς κάλλει περιβληθέντα, γίνεται εὐσχημονέστερα. Ἐξῆς δὲ

[c] καὶ τῆς] καὶ om. S. [d] ἃ νῦν] ἃ νῦν μὲν Vat. [e] οὐκοῦν] οὐκ οὖν S.

κακὸν κατὰ παρυπόστασίν ἐστι, in Plat. Timæ. p. 116. Itidem in Plat. Theol. 1. 17. ἡ τῶν κακῶν παρυπόστασις οὐκ ἐκ δυνάμεως ὑφέστηκε, ἀλλ᾽ ἐκ τῆς ἀσθενείας τῶν δεξαμένων τὰς τῶν θεῶν ἐλλάμψεις. Similiter Simplic. in Epict. c. 13. αἱ παρατροπαὶ οὐκ ἔχουσι προηγουμένην ὑπόστασιν ἀλλὰ παρυφιστᾶσι τοῖς οὖσι— &c. Cæterum de hac re consulas velim eundem Simplicium in Epict. cap. 34. fusius disserentem. Ed. L. Bat. ASH'T.

13. ὁ δίκαιος βίος] Sic usurpatur apud Aristot. de Mundo: συνεπιμαρτυρεῖ δὲ καὶ ὁ βίος ἅπας, τὴν ἄνω χώραν ἀποδοὺς θεῷ, i. e. *assentiuntur omnes mortales.* Et apud Lucianum Dialogus inscribitur Βίων πρᾶσις, *Hominum* vel *Mancipiorum auctio*, non *Vitarum*, ut male redditur: quod sæpius ab aliis etiam notatum. Sic certe Sextus Empiricus adv. Mathematicos p. 57 A. τὸ μὲν γὰρ ἀναισθητεῖν τὰ νεκρὰ τῶν σωμάτων, οὐχ ὁ ποιητὴς μόνος οἶδεν, ἀλλὰ καὶ ὁ σύμπας βίος. NEEDH.

ib. **τέθνηκε τὸ παιδίον;**—] Epicteti est hoc dictum in Enchir. c. 15. τὸ παιδίον ἀπέθανεν; ἀπεδόθη. Ἡ γυνὴ ἀπέθανεν; ἀπεδόθη· Id vero, quod sequitur, ἤδειν θνητὸν γεγεννηκώς, Anaxagoræ tribuit Laert. 2. 13. et alii, inquit, Soloni, alii Xenophonti. Vide not. Casaub, et Menag. de quo dicto Epictetus ap. Arrian. 3. 24. dicit, μέγα ἐπὶ πάντων τὸ, ἤδειν θνητὸν γεγεννηκώς. ASHT.

16. Ἐξῆς δὲ ζητεῖ ὁ λόγος] Hierocles, explicata τῶν ἀλγεινῶν natura (quod prævertendum esse dixerat)

[110] ζητεῖ ὁ λόγος τίνες αἱ δαιμόνιαι τύχαι, καθ' ἃς οἱ βροτοὶ τὰς ἐκτὸς δυσχερείας ἔχουσιν. [f] Εἰ μὲν γὰρ προηγουμένως ἡ θεία κρίσις δίδωσι τῷδε μὲν πλοῦτον, ἑτέρῳ δὲ πενίαν, δαιμονίαν ἔδει ταύτην προαίρεσιν καλεῖν, καὶ μὴ τύχην· εἰ δὲ μηδὲν ἐπιστατεῖ ταῖς τῶν τοιούτων [g] λήξεσι, ἀλλ' ὡς ἔτυχε καὶ αὐτομάτως συμπίπτει τὸν μὲν εὐτυχῆ εἶναι, ὥς φασι, τὸν δὲ δυστυχῆ· [h] τύχην μόνον ἔδει ταύτην καλεῖν, καὶ μὴ δαιμονίαν τύχην. Εἰ δὲ πρὸς [i] τὴν ἀξίαν ἑκάστῳ τὰ προσήκοντα ἀπονέμει ὁ ἐπιτροπεύων ἡμῶν Θεὸς, καὶ τοῦ μὲν εἶναι τοιούσδε ἢ τοιούσδε ἡμᾶς οὐκ ἔστιν αἴτιος, τοῦ δὲ τὰς ἀμοιβὰς ἀποδοῦναι κατὰ τοὺς θεσμοὺς τῆς δίκης μόνον ἐστὶ κύριος, εἰκότως συνάψας εἶπε δαιμονίας τύχας τὰς τῆς κρίσεως [k] ἀποφάνσεις· [l] ἢ μὲν θεῖον καὶ νοερόν ἐστι τὸ κρῖνον δαιμονίας καὶ ἐπιστημονικὰς αὐτὰς προσειπὼν, ἢ δὲ οἰκείᾳ προαιρέσει κακύνεται τὸ κρινόμενον, καὶ διὰ τοῦτο γίνεται τῶν δυσχερῶν τούτων ἄξιον, προσθεὶς τὸ τύχας, ὅτι [86] οὐ προηγουμένως τόνδε τινὰ κολάσαι ἢ τιμῆσαι πρόκειται τῷ Θεῷ, ἀλλ' ἀεὶ τὸν τοιόνδε ἢ τοιόνδε γενόμενον· τούτου δὲ τὴν αἰτίαν ἐν ἡμῖν κεῖσθαι. Τὴν μὲν οὖν ἐπιπλοκὴν τῆς [113] ἡμετέρας προαιρέσεως καὶ τῆς ἐκείνου κρίσεως τύχην ἀπογεννᾶν, ὥστε εἶναι τὸ ὅλον τοῦτο δαιμονίαν τύχην, τὴν ἐπὶ

[f] Εἰ μὲν] εἰ μὲν γὰρ S. [g] λήξεσι] Sic S. in marg. λέξεσι in text. [h] τύχην] τύχην μόνον S. [i] ἀξίαν] τὴν ἀξίαν S. [k] ἀποφάσεις V. [l] ἢ μὲν] εἰ μὲν S. qui mox εἰ δὲ pro ἢ δέ. ἢ et ἢ M.

pergit nunc ad eorum causam in illis, δαιμονίῃσι τύχαις, investigandam. Ζητεῖ ὁ λόγος, i. e. *ego disserens quæro*. Curter. non male vertit, *quærit oratio;* corrigit vero editor Cant., *quærit versus;* nimis autem inepte, quasi versus, seu, versus scriptor, quæreret, quid ipse velit per δαιμονίας τύχας, cum Hieroclis plane commentantis sit ὁ λόγος; et est quidem phrasis usitatissima. Sic de ipso Hierocle Photius in Cod. 214. ταῦτα ὁ Ἱεροκλέους λόγος σπουδάζων κατασκευάζει. Et de seipso Simplic. in Epict. p. 175. ed. L. Bat., τὸ αἴτιον ζητεῖ ὁ λόγος. Itidem Proclus, ζητεῖ ὁ λόγος δι' ἣν αἰτίαν, in Plat. Timæ. p. 32. atque ipse postea Hierocles de his loquens a se explicatis dicit, δι' ὧν τὸ δύσκολον ἀπεύθυνεν ὁ λόγος. ASHT.

τοῖς ἡμαρτημένοις θείαν ψῆφον· καὶ συνεισάγειν οὕτω τὴν τῶν ὀνομάτων τεχνικὴν εὕρεσιν, τήν τε θείαν ἐπιστασίαν, καὶ τὸ αὐτεξούσιον τῆς ψυχῆς, καὶ [m]ἀθάνατον· καὶ μήτε καθ' εἱμαρμένην ἢ πρόνοιαν πάντα γίνεσθαι, μήτε ὡς ἔτυχε, καὶ ἀπὸ ταυτομάτου, μήτε κατὰ τὸ αὐτοπροαίρετον ἡμῖν τὸν βίον διατίθεσθαι πάντα. Ἀλλ' ὅσα μὲν ἐν τοῖς ἐφ' ἡμῖν ἁμαρ- 5

[m] ἀθάνατον] leg. αὐθαίρετον Holst.

1. συνεισάγειν οὕτω τὴν τῶν ὀνομάτων τεχνικὴν εὕρεσιν—] Sic edidit Curter. Paris. 1583. editor vero Cant., qui raro admodum, ut e multis locis apparet, illam editionem consuluit, e Londinensi, sæpe vitiata, pro συνεισάγειν exhibuit hic συνεισάγει, quod loci sententiam plane perturbat; ut huic igitur medelam adhiberet, auctore Bentleio, addidit διὰ, sc., συνεισάγει οὕτω διὰ τὴν—. Sed non tali nobis auxilio opus est; nam satis sana est lectio Curteriana, et rite sic distincta, ὥστε εἶναι—ψῆφον, καὶ συνεισάγειν οὕτω τὴν τῶν ὀνομάτων τεχνικὴν εὕρεσιν τήν τε θείαν ἐπιστασίαν—. Dicit igitur hanc artificiose excogitatam vocabulorum conjunctionem (sc. δαιμονίαν τύχην) ea, quæ sequuntur, in se includere, et simul inferre, sc. τήν τε θείαν ἐπιστασίαν, καὶ τὸ αὐτεξούσιον ψυχῆς, καὶ ἀθάνατον. ASHT.

3. ἀθάνατον] Dicit Mer. Casaubonus *nihil hic quicquam esse, quod ad animæ immortalitatem pertineat;* lectum igitur vult αὐτόματον. Idem quoque sentientes Bentleius et editor Cant. (qui ἀπροσδιόνυσον vocat hanc vocem ἀθάνατον) multa e propria conjectura nobis eligenda proponunt. Nos vero horum nullum admittimus; præsertim cum omnes codices MSS. (ut fatetur editor Cant.) in vocabulo ἀθάνατον consentiant; atque id quidem rectissime. Nam Hierocles hic eam plane vult ψυχῆς ἀθανασίαν, quam superius introduxit, sc. a parte ante, πρὶν ἐν τῷδε τῷ ἀνθρωπίνῳ εἴδει γενέσθαι, ὥστε καὶ ταύτῃ ἀθάνατον εἶναι τὴν ψυχὴν, ut dicit Plato in Phædone c. 16. ex qua hypothesi providentiæ in hujus vitæ malis dispensandis defensionem instituit, docendo, ea esse istius προβιοτῆς ἀμοιβὰς, atque adeo hic demum concludit, hanc Carminis δαιμονίαν τύχην significare, et τεχνικῶς complecti θείαν ἐπιστασίαν, et ψυχῆς αὐτεξούσιον, una cum hac ejus προβιοτῇ, seu ἀθανασίᾳ. Illi igitur horum τεχνικὴν συμπλοκὴν dissolvunt, et totius argumentationis fundamentum tollunt, qui vocem ἀθάνατον hic rejiciunt. Hujusmodi autem τεχνικὴ εὕρεσις videtur esse in καταχθόνιοι δαίμονες, versu tertio, prout ab Hierocle explicatur. ASHT.

6. διατίθεσθαι] G. [et sic S.] hanc nobis lectionem suppeditavit; quæ potior visa est, quam τίθεσθαι, in editt. prior.; sic enim hoc verbo utitur in lib. de Providentia, ubi dicit, non tale esse τὸ ἡμέτερον αὐτεξούσιον, ut possit τὰ ἀνθρώπινα πάντα διατίθεσθαι, ὡς βούλεται. ap. Phot. Cod. 251. col. 1393. ASHT.

τάνομεν, ταῦτα εἰς προαίρεσιν ἀναφέρεσθαι· ὅσα δὲ ἐπὶ τοῖς ἡμαρτημένοις κατὰ τοὺς τῆς δίκης ἕπεται νόμους, εἰς εἱμαρμένην· τὰ δὲ προηγουμένως παρὰ τοῦ Θεοῦ ἐκδιδόμενα ἀγαθὰ, εἰς πρόνοιαν· εἰς δὲ τὸ εἰκῇ, καὶ ὡς ἔτυχεν, οὐδὲν τῶν ὄντων ἀναφέρειν τὴν αἰτίαν· ἀλλ' οὐδὲ τῶν γινομένων· εἰ [p]μὴ ἄρα κατὰ συμβεβηκὸς, καὶ κατ' ἐμπλοκὴν τῶν ἀπὸ προνοίας καὶ εἱμαρμένης καὶ προαιρέσεως προηγουμένως ἐνεργουμένων, ἐπακολουθήσει τὸ ὡς ἔτυχε τοῖς πρωτουργοῖς αἰτίοις. Οἷον φέρε, ὁ δικαστὴς τὸν φονέα κολάζειν βούλεται, καὶ οὐ τόνδε τὸν ἄνθρωπον· κολάζει δὲ καὶ τοῦτον, ὃν οὐκ ἐβούλετο, ὅταν αὐτὸς ἑαυτὸν εἰς τὴν τοῦ φονέως ἐναρμόσῃ τάξιν. Καὶ γίνεται προηγουμένη μὲν ἡ κατὰ τοῦ φονέως αὐτῷ ψῆφος· κατὰ συμβεβηκὸς δὲ, ἡ κατὰ τοῦδε τοῦ ἀνθρώπου, ὅτι ἐκὼν ὑπέδυ τὸ τοῦ φονέως πρόσ-
[114] ωπον. Καὶ πάλιν, ὁ πονηρὸς ἄνθρωπος φονεῦσαι μὲν ἐβούλετο, δοῦναι δὲ ἐπὶ τούτῳ δίκας οὐκ ἤθελεν. Ὥστε καὶ ἐπὶ τούτου γίγνεσθαι προηγουμένην μὲν τὴν φονικὴν διάθεσιν, ὡς ἀπὸ τοῦ αὐτεξουσίου τῆς ψυχῆς ἠρτημένην· [88]
κατὰ συμβεβηκὸς δὲ ἐπακολουθεῖν τὰς ἐπὶ [q]ταύτῃ στρεβλώσεις τε καὶ [r]αἰκίας. Τούτων δὲ πάντων αἴτιος ὁ νόμος, ὁ καὶ τῷ δικαστῇ τὴν προαίρεσιν τοῦ κολάζειν τοὺς φαύλους ἐντιθεὶς, καὶ τῷ φονεῖ τὴν τιμωρὸν [s]ψῆφον ἐπάγων. Ταυτὸ δή μοι τοῦτο καὶ ἐπὶ τῆς θείας ἐπιστασίας λογίζου· προαιρέσεως ἀνθρωπίνης δρᾶσαι κακὰ βουληθείσης, καὶ προαιρέσεως νομοφυλάκων δικαστῶν ἐπανορθοῦσθαι τὰ κακὰ πάσῃ μηχανῇ πειρωμένης, τὴν συνδρομὴν δαιμονίαν τύχην ἀποτελεῖν, καθ' ἣν ὁ τὰ τοιάδε εἰργασμένος τῶν τοιῶνδε γίνεται ἄξιος τιμημάτων· τοῦ μὲν προηρῆσθαι τὰ

p μὴ ἄρα] μὴ om. S. qui mox ἐπλοκήν. q ταύτῃ] ταυτ S.
r αἰκίας] κκιας S. i. e. κακίας ut vulg. Emendavit Bentleius. s ψῆφον] τύχην S.

φαῦλα εἰς τὸ αὐτεξούσιον τοῦ κρινομένου τὴν αἰτίαν ἀναφέροντος, τοῦ δὲ ἑπομένου τῇ ἀξίᾳ τιμήματος εἰς τὴν τῶν κρινόντων νομοφυλακικὴν ἐπιστήμην· τούτων δὲ συναγωγέα εἶναι τὸν νόμον, τὸν ἀγαθὰ μὲν εἶναι πάντα κατὰ δύναμιν, φαῦλον δὲ μηδὲν εἶναι, διατεταγμένον. Οὗτος γὰρ προϋφεστὼς ἐν τῇ τοῦ Θεοῦ ἀγαθότητι οὐκ ἐᾷ ἀνευθύνους εἶναι τοὺς κακοὺς, ἵνα μὴ ἐμμένον τὸ κακὸν εἰς ἀναισθησίαν παντελῆ τῶν ἀγαθῶν ἐλάσῃ, ὧν τὴν ἀναγκαίαν ὑπόμνησιν ἡ παρὰ τῶν νομοφυλάκων [t]δίκη χορηγεῖ. Συνάγει οὖν ὁ νόμος, ὡς εἴρηται, τοὺς πεφυκότας κρίνειν, καὶ τοὺς πεφυκότας κακύνεσθαι, δι' ἀμφοτέρων τὸ οἰκεῖον ἀπεργαζόμενος ἀγαθόν. Εἰ γὰρ τὸ διδόναι δίκην τοῦ μὴ διδόναι ἐστὶ λυσιτελέστερον, καὶ πρὸς σωφρονισμὸν τῆς ἀμετρίας τῶν κακῶν ἡ δίκη βλέπει, δῆλον ὅτι πρὸς τὸ ὠφελεῖν καὶ ὠφελεῖσθαι συνήρμοσεν ὁ νόμος τὰ δύο ταῦτα γένη· τὸ μὲν κριτικὸν, ὡς νομοφυλακικὸν, τοῦ ἑτέρου προτάξας· τὸ δὲ ἁμαρτάνειν καὶ κρίνεσθαι πεφυκὸς, ὡς παρανομητικὸν, τῷ ἀμείνονι παραδοὺς γένει κατὰ τὴν ἀξίαν αὐτὸ μεταχειρίζεσθαι, ὅπως ἂν εἰς ἀνάμνησιν καὶ ἔννοιαν ἔλθῃ ποτὲ τοῦ νόμου, δι' ὧν πάσχει κακῶς. Ὃν γὰρ ἐν τῷ πράττειν κακῶς ἀπηρνοῦντο, τοῦτον ἐν τῷ πάσχειν κακῶς ἐπιποθοῦσιν οἱ ἄνθρωποι. Οἷον, ὁ ἀδικῶν οὐ βούλεται εἶναι Θεὸν, ἵνα μὴ τὸ [v]δοῦναι δίκην, ὥσπερεί τινα Ταντάλου λίθον ἐπι-

[117] [90] 5 10 15 21

[t] δίκη—εἴρηται τοὺς om. S.

[v] διδόναι] δοῦναι S.

11. τὸ οἰκεῖον—ἀγαθόν] Sc. τὸ κόψαι τὴν κακίαν, ut in sequentibus dicit. ASHT.

15. συνήρμοσεν] Sic G. pro δίδωσιν, quod exhibent editt. prior. Συνήρμοσεν, i. e. συνῆγεν. Sic enim supra dicit τὸν νόμον συναγωγέα εἶναι τοῦ κρινομένου et τοῦ κρίνοντος, et paulo post, συνάγει ὁ νόμος τοὺς πεφυκότας κρίνειν, καὶ τοὺς πεφυκότας κακύνεσθαι. ASHT. συνείρμοσεν S.

20. δι' οὗ] Ferri quidem potuit satis commode priorum lectio, δι' ὧν, sed aptior nobis visa est hæc MS^ti G. δι' οὗ, sc. νόμου, et sic legit Aurispa, *per quam*. Ita postea dicit, τὸν νόμον κολάζειν κακὸν, et κόψαι τὴν κακίαν. ASHT. δι' ὧν S.

κρεμάμενον, ἔχῃ· ὁ δὲ ἀδικούμενος βούλεται εἶναι Θεὸν, ἵν' ἐπικουρίας ὧν πέπονθε τύχῃ. Διὸ τοὺς ἀδικοῦντας εἰς τὸ ἀδικεῖσθαι περιστῆναι δεῖ, ἵν' ὃ μὴ [w]ἔβλεπον ἐν τῷ δρᾶν, [x]τῷ τῆς πλεονεξίας πάθει μεθύοντες, ἐν τῷ πάσχειν μεταμάθωσι, τῷ τῆς ἐλαττώσεως ἀνιαρῷ παιδευόμενοι· εἴ γε καλῶς ὑπέχοιεν δίκας. Εἰ δὲ τῇ ἰταμότητι τῆς προαιρέσεως ἔτι κακύνοιντο, αὐτοὶ μὲν ἴσως ἧττον ὠφελοῦνται· [y]παράδειγμα δέ που [z]γίνονται πάντως παιδευτικὸν τοῖς εὖ φρονοῦσι, καὶ διαισθάνεσθαι δυναμένοις τὰς αἰτίας τῶν τοιούτων παθῶν. Ταύτας τῆς κρίσεως ἀρχὰς κυριωτάτας ἀποδεχόμεθα, τὴν ἀγαθότητα τοῦ Θεοῦ, τὸν ἀπὸ ταύτης νόμον, τὸν ἐν ἡμῖν παρανομούμενον ὀρθὸν λόγον, καὶ, ὥσπερ τινὰ ἔνοικον Θεὸν, πλημμελούμενον· ἀποτέλεσμα δὲ τῆς κρίσεως, τὰ ἄλγεα, ὥς φησι, ταῦτα, ὅσα τραχύτερον ἡμῖν ποιεῖ τὸν βίον ταῖς περὶ σῶμά τε καὶ τὰ ἐκτὸς λύμαις· ἃ δὴ πράως φέρειν ὁ [a]παρὼν εἰσηγεῖται λόγος ἐνθυμουμένους τὰς αἰτίας αὐτῶν, καὶ ὅσον οἷόν τε περικόπτοντας, καὶ μετατιθέντας εἰς ὠφέλειαν τὰ δοκοῦντα βλαβερά· μάλιστα μὲν τῶν θείων ἀγαθῶν ἑαυτοὺς ἀξίους παρέχεσθαι διὰ τῆς ἀκροτάτης ἀρετῆς. Εἰ δέ [b]τῳ τοῦτο οὔπω ἐν ὀρέξει, τῶν γοῦν πολιτικῶν ἀγαθῶν διὰ τῆς μέσης ἀρετῆς τυγχανέτω. Τοῦτο γὰρ ἦν, ὃ, πρὸς τὸ πάσχειν καλῶς τὰ ἀλγεινὰ καὶ ἰᾶσθαι αὐτὰ, ἐπιταττόμεθα. Τίς οὖν ἡ ἴασις, ἢ τὰ προειρημένα πάντα, ἀφ' ὧν [c]καὶ ἡ εὐλόγιστος τῶν ἀλγεινῶν [d]ὑπομονὴ, καὶ ἡ θεραπευτικὴ μέθοδος

[118]

[w] ἔβλεπον] βλεπον S. sine acc. [x] τῷ τῆς] τὸ τῆς S. [y] παράδειγμα δὲ πάντως που γ. π. Vat. M. [z] γίνονται] γίγνεται S. [a] παρὼν] παρὸν S. [b] τις τούτων] τωι τοῦτο S. M. [c] καὶ ἡ] ἡ om. S. [d] ὑπομονὴ] ἡδονὴ S. Vat. Med. Sal.

25. ὑπομονὴ] Sic restituendum suadebat Bentleius, cum ineptum sit εὐλόγιστος ἀλγεινῶν ὀδύνη, *rationalis ærumnarum dolor* et adhuc ineptius, quod in suo codice reperit Aurispæ, εὐλόγιστος ἀλγεινῶν

ὑποδείκνυται; Κεφάλαιον δὲ τῶν εἰρημένων, ὅτι ὁ Θεὸς, [92]
[121] νομοθέτης ὢν ἅμα καὶ δικαστὴς, τίθεται μὲν τὰ ἀγαθὰ, ἀναιρεῖ δὲ τὰ κακά· διὸ καὶ πάντη κακῶν ἐστιν ἀναίτιος· τοὺς δὲ κακυνθέντας αὐτεξουσίοις ὁρμαῖς, καὶ τὸν ἐν αὐτοῖς [c]ὀρθὸν λόγον ἀμνημονήσαντας, ὡς μὲν κακοὺς κολάζει τῷ νόμῳ τῷ ἀπαγορεύοντι τὰ κακά· ὡς δὲ [f]ἀνθρώπους, τῇ ἐπεισιούσῃ ἐπιπλοκῇ τοῦ νόμου πρὸς τὴν προαίρεσιν, ἣν [g]δὴ τύχην καλοῦμεν. Οὐ γὰρ ἁπλῶς τὸν ἄνθρωπον, [h]ᾗ ἄνθρωπον, κολάζει ὁ νόμος, ἀλλ' ᾗ κακόν. Τοῦ δὲ κακὸν γενέσθαι τὴν πρώτην αἰτίαν εἶχεν ἡ προαίρεσις· [i]ἐπειδ' ἂν οὖν κακὸς γένηται, (ὅπερ ἦν ἐφ' ἡμῖν, ἀλλ' οὐκ ἐπὶ τῷ Θεῷ,) τότε δίδωσι δίκας, (ὅπερ ἦν ἐπὶ τῷ θείῳ νόμῳ, ἀλλ' οὐκ ἐφ' ἡμῖν). Σκοπὸς δὲ τοῦ νόμου μόνος ἂν εἴη πρέπων τε Θεῷ, καὶ [k]ἡμῖν ἐπωφελὴς, τὸ [l]ἀποκόψαι τὴν κακίαν, καὶ ἀποκαθᾶραι τοῖς παντοδαποῖς τῆς δίκης σωφρονισμοῖς, καὶ ἐπιστρέψαι τὴν ὑποπεσοῦσαν τῇ πονηρίᾳ ψυχὴν εἰς ἀνάμνησιν τοῦ ὀρθοῦ λόγου. Καὶ οὕτως ἑστῶτος τοῦ νόμου, καὶ τὰ αὐτὰ ἀεὶ φθεγγομένου, τὴν ἀξίαν ἕκαστος τὴν

[c] ὀρθὸν λόγον] ὀρθ˜ λογ˜ S. [f] ἀνθρώπους] ;θ͞ ἄ͞νος S. [g] δὴ] δεῖ S. [h] ᾗ ἄνθρωπον] ᾗ ἄνθρωπος S. ᾗ ἄνθρωπος Curt. ἄνθρωπον V. M. et mox κακὸν V. M. κακὸς S. Curt. [i] ἐπειδὰν δὲ] ἐπειδ' ἂν οὖν S. et sic V. M. [k] ἡμῖν] ἐν ἡμῖν S. [l] κόψαι] ἀπὸ κόψαι S. ἀποκ. V. M.

ἡδονὴ, *calamitatum ex ratione procedens voluptas.* Rectius certe ἀλγεινῶν ὑπομονὴ, *ærumnarum tolerantia:* refertur enim ad πράως φέρε: et paulo superius πάσχειν κακῶς τὰ ἀλγεινὰ καὶ ἴασθαι αὐτά. Sic Noster p. 52. ὑπομονητικὸν, et p. 54. γενναίως ὑπομένειν, et μείζονος ὑπομονῆς ἄξια, et p. 68. τὰς μεταβολὰς ὑπομένειν. Nostram antem lectionem planius firmat infra p. 94. ἔπειτα καὶ ἰάσονται κατὰ δύναμιν τὰ τοιαῦτα ἐξ αὐτοῦ τοῦ φέρειν πράως, τὰς μεθόδους τῆς θεραπείας αὐτῶν διδασκόμενοι. NEEDHAM.

3. πάντη κακῶν ἐστιν ἀναίτιος] Sic Simplic. in Epict. p. 24. ed. L. Bat. παντοίας ὁ Θεὸς κακίας ἀναίτιός ἐστι, et p. 184. λαμπρᾷ τῇ φωνῇ βοῶμεν, ὅτι ὁ Θεὸς κακίας ἀναίτιος. Ita et ipse Hierocles apud Stobæ. Ecl. Eth. fin., ὁ Θεὸς οὐδαμῇ οὐδαμῶς κακῶν αἴτιος ἐστι. ASHT.

4. αὐτεξουσίοις] Ita G. S. αὐτεξουσίαις editt. pr.

13. πρέπων τε Θεῷ—] Ita G. S. τῷ Θεῷ pr. edd.

14. κόψαι] διαποκόψαι G.

ἑαυτοῦ ἄλλοτε ἄλλην ποιήσας οὐ τῶν αὐτῶν ἀεὶ τυγχάνει· οὐ γὰρ δίκαιον τοῦτό γε, οὐδὲ ἡμῖν συμφέρον. Τὴν δὲ μεταβολὴν τῆς κρίσεως ἡ τοῦ κρινομένου μεταβολὴ δίδωσι· τὸν γὰρ μὴ [m]τὸν αὐτὸν διαμείναντα πῶς τῶν αὐτῶν ἐστιν
[122] ἀξιοῦν; Καλῶς φέρειν οὖν τὰς δαιμονίας τύχας δεῖ, καὶ μὴ ἀγανακτεῖν διδόντα δίκην, καὶ, ὅσον ἐπὶ τῇ θείᾳ κρίσει, καθαιρόμενον, διὰ τῶν δοκούντων ἐμποδίων εἶναι πρὸς εὐπάθειαν [n]τοῦ τῇδε βίου. Ὁ δὲ τοιοῦτος λογισμὸς ἴασίς τε γίνεται τῶν προημαρτημένων, καὶ ἐπιστροφὴ πρὸς τὸν ἐνυπάρχοντα ἡμῖν [o]ὀρθὸν λόγον· πῶς γὰρ ὁ κακίας εἶναι καρποὺς τὰ ἀλγεινὰ τιθέμενος οὐ φεύξεται τὴν εἰς ταῦτα κατάγουσαν αὐτὸν αἰτίαν, καὶ, εἰ δεῖ χαλεπαίνειν ἐν τοῖς [94]
λυπηροῖς, ἑαυτῷ μᾶλλον οἰήσεται δεῖν χαλεπαίνειν, ἢ τῷ κωλύοντι τὴν πονηρίαν Θεῷ διὰ τῶν ὀργάνων τῆς δίκης, δι' ὧν ἐστὶ συνιέναι καὶ ἀναμιμνήσκεσθαι, οἷον ἦν ἄρα ἀγαθὸν μὴ ἀφίστασθαι τῶν θείων νόμων, μηδὲ ἑκόντας κακύνεσθαι.

[m] τὸν αὐτὸν] Sic mss. Gall. Med. ap. Needham et sic Bentl. τοιοῦτ) S. edd. pr. [n] τοῦ τῇδε βίου] τοῦ θείου βίου V. M. male. Holst. [o] λόγον ὀρθὸν] ὀρθὸν λόγον S.

5. **Καλῶς φέρειν**] Legendum opinor πρᾴως, ut habet versus, et sæpe repetit Hierocles; atque sic plane Aurispa, *æquo animo;* quin et ipse Curter. vertit, *æquo animo;* adeo ut typothetæ sphalma tantum videatur hic καλῶς, pro πρᾴως, etsi aliquo quidem modo recte stare potest, ut in superioribus, νοσεῖν καλῶς, et πένεσθαι καλῶς, pag. 82. ASHT.

14. κωλύοντι] Bentleius restituendum censet κολούοντι, *imminuenti, reprimenti.* Sic ap. Plutarchum κολούειν ἀξίωμα *imminuere dignitatem:* et apud Suidam legimus, ὑβριστὴν δῆμον κολούειν, ἀντὶ τοῦ ἐμποδίζειν, *insolentem populum coërcere:* et κολούει· ἐλαττοῖ. Τοὺς μὲν ἵνα ἐπιρρώσῃ, τοὺς δὲ κολούσηται, *ut hos quidem confirmaret, illos autem coërceret.* Verbum philosophis usitatissimum: sic Noster p. 100. κακίαν ἐλαττοῖ. Sed cum videam τὸ κωλύειν exponi *reprimere, castigare, inhibere,* nihil mutandum censeo, quod sensus iste huic loco non incommodus sit, et Aurispa vertat, *malitias corrigit et expellit.* NEEDHAM. De v. κολούειν et ejus cum κωλύειν permutatione multa dabit Wyttenbachius ad Plutarch. p. 69 E.

15. συνιέναι] Sic G. quod, cum tempore conveniat cum ἀναμιμνήσκεσθαι, prætulimus prius edito, συνεῖναις. ASHT. συνεῖναι S.

Οὐ γὰρ ὡς ἔτυχε τὰ ἀλγεινὰ τοῖς ἀνθρώποις διανέμεται, εἴπερ Θεὸς καὶ δίκης ὅροι προεστήκασιν ἡμῶν, τὴν ἀξίαν μοῖραν ἐφ' ἑκάστοις ἐπάγοντες· διὸ, καὶ τὸ [p]οὐ πάνυ τοῖς ἀγαθοῖς τὰ ἀλγεινὰ συμπίπτειν, εὔλογον. Πρῶτον μὲν γὰρ οἴσουσιν αὐτὰ πράως τῇ εὐαρεστίᾳ τῆς θείας κρίσεως, καὶ τῇ τῆς ἀρετῆς προσκτήσει, δι' ἣν πραότερα μὲν τὰ χαλεπὰ γίνεται. [q]Εὐέλπιστος δὲ τοῦ λοιποῦ ὁ βίος μηδαμῶς ἐνοχλήσειν ἡμᾶς τὰ τοιαῦτα, εἴπερ ἀγαθοῖς [125] [r]γινομένοις κατὰ μὲν τὴν ἀκροτάτην [s]ἀρετὴν τὰ θεῖα ἀγαθὰ ἡμῖν ἀπόκειται, κατὰ δὲ τὴν μέσην ἕξιν, τὰ ἀνθρώπινα. Ἔπειτα καὶ ἰάσονται κατὰ δύναμιν τὰ τοιαῦτα ἐξ αὐτοῦ τοῦ φέρειν πράως, τὰς μεθόδους τῆς θεραπείας αὐτῶν διδασκόμενοι. Πῶς γὰρ οἷόν τε ταῖς ἱεραῖς ἱκετείαις θεοπρεπῶς χρήσασθαι μὴ πρόνοιαν καὶ δίκην ἐφορᾶν τὰ ἀνθρώπινα τιθεμένους, καὶ τὴν ψυχὴν ἡμῶν [ss]ἀθάνατον οὖσαν τοιούτων ἑκάστοτε τυγχάνειν τῶν ἔξωθεν, οἵων ἂν ἑαυτὴν ἀξίαν [t]παράσχηται ἐκ τῶν προαιρετικῶν κινημάτων; Ὁ γὰρ μὴ εἰς ταῦτα ἀναφέρων τὴν παροῦσαν μοῖραν, πόθεν τοῦ πράως φέρειν αὐτὴν τὰς ἀφορμὰς [v]λήψεται; πόθεν δὲ τοῦ ἰᾶσθαι τὴν τέχνην; οὐκ ἔστιν εἰπεῖν. Εὐαρεστῆσαι μὲν γὰρ αὐτόθεν τοῖς τοιούτοις οὐκ ἔστιν, ὡς ἀδιαφόροις ἢ καὶ ἀμείνοσι τῶν ἐναντίων, ἐπειδὴ παρ' ἑαυτῶν φευκτὰ εἶναι φαίνεται, ἀλγεινὰ ὄντα καὶ ἐπίπονα. Τὰ δὲ τοιαῦτα οὐ προσίεται ἡμῶν ἡ φύσις, ὡς τὰ δι' αὐτὰ αἱρετὰ, [96]

p οὐ πανὺ] οὐ del. Vat. sed male. Sal. μή. Holst. q εὐέλπιστος δὲ Vat. et Med. r γενομένοις] γινομένοις S. s ἀρετὴν—δὲ τὴν om. S. ss ἀθάνατον] Leg. αὐθαίρετον Holst. t παράσχοιτο] παράσχηται S. Vat. Med. v λήψηται] λήψεται S.

7. Καὶ εὔελπις δὲ] εὐέλπιστος δὲ G. εὐέλπιστα δὲ S.

15. τὴν ψυχὴν ἡμῶν ἀθάνατον οὖσαν] Sc. a parte ante; de qua ψυχῆς ἀθανασίᾳ satis supra diximus, in not. p. 65 et p. 70, atque ejus apud Hieroclem in hoc argumento usum a Casauboni Bentleiique suspicionibus, quas hic recoquit editor Cant., vindicavimus. ASHT.

24. ὡς τὰ δι' ἑαυτὰ—] Sic G.

εἰ μὴ ἄρα ἀγαθόν τι προσδοκώμενον εἴη ἐπὶ τῇ τληπαθείᾳ τῶν δυσχερῶν. Ἀνάγκη οὖν δυσχεραίνειν, καὶ δυσαρεστίας ἐμπίπλασθαι, καὶ προσεπιτείνειν τὰ ἀλγεινὰ ἐκ τῆς περὶ τὴν οὐσίαν ἡμῶν ἀγνοίας, καὶ οὐδὲν μὲν ἧττον δίδοναι δίκας·
[126] τὴν μεγίστην δὲ ἐπικτᾶσθαι κακίαν, ἐὰν ἀπρονόητον τὸ πᾶν, ἢ κακῶς φροντιζόμενον, οἰηθῶμεν. Τοῦτο δὲ ταυτόν ἐστι τῷ μὴ οἴεσθαι εἶναι Θεὸν, ἢ ὄντα μὴ προνοεῖν, ἢ προνοοῦντα μὴ ἀγαθὸν εἶναι καὶ δίκαιον· ἃ δὴ τῆς παντοδαπῆς ἀσεβείας ἐστὶ [w] τὰ συνεκτικώτατα, καὶ πρὸς πᾶσαν κακίαν συνωθοῦντα τὸν τοῖς τοιούτοις ἐαλωκότα δοξάσμασιν. Ὡς γὰρ ἡ εὐσέβεια μήτηρ τῶν ἀρετῶν ἀνεφάνη, οὕτω καὶ πάσης κακίας ἡγεμὼν ἡ τῆς εὐσεβείας ἀπόπτωσις. Μόνος οὖν ἐξευρήσει τούτων τὴν ἴασιν ὁ πράως αὐτὰ φέρειν [x] δεδιδαγμένος· τοῦτο δὲ διὰ φιλοσοφίας μόνης παραγίνεται, [y] τὰς πάντων τῶν ὄντων οὐσίας ἀκριβῶς ἐπισταμένης, καὶ τὰς ἑπομένας ταῖς οὐσίαις αὐτῶν ἐνεργείας, ὧν εἱρμὸς καὶ σύνταξίς ἐστιν ἡ τῶν ὅλων διοίκησις, ἀφ' ἧς καὶ τὰς δαιμονίας τύχας ἀπονέμεσθαι ἀνάγκη· εἶναι δὲ τὴν ἑκάστῳ ἀπονεμηθεῖσαν ἀξίαν, τὴν νῦν λεγομένην μοῖραν, ἠρτημένην τῆς τε προνοίας τοῦ Θεοῦ καὶ τῆς κοσμικῆς εὐταξίας καὶ τῆς ἀνθρωπίνης προαιρέσεως. Εἰ γὰρ μὴ εἴη Θεοῦ πρόνοια, οὐκ ἂν εἴη τάξις ἐν κόσμῳ, ἣν καὶ εἱμαρμένην ἂν εἴποι τις. Εἰ δὲ μὴ ταῦτα εἴη, δίκη καὶ κρίσις τῶν κακῶν οὐκ ἂν γένοιτο· ἀλλ' οὐδὲ τιμὴ καὶ

[w] συνεκτικώτατα] τὰ σ. S. M. [x] δεδιδαγμένος S. ἐκδιδαγμένος Curt. [y] τὰς πάντων] Rectius τῆς π. Holst.

ὡς δι' αὐτὰ edd. pr. τὰ δι' αὐτὰ S. διὰ ταῦτα Curt. et δι' ἑαυτὰ marg.

6. Τοῦτο δὲ ταυτόν ἐστι τῷ μὴ οἴεσθαι εἶναι Θεὸν—] Huic consimile dicit Justin. Mart. in Apol. 1. sect. 36, εἰ δέ τις ἀπιστεῖ μέλειν τούτων τῷ Θεῷ, ἢ μὴ εἶναι αὐτὸν ὁμολογήσει, ἢ ὄντα χαίρειν τῇ κακίᾳ φήσει, ἢ λίθῳ ἐοικότα μένειν, καὶ μηδὲν εἶναι ἀρετὴν, μηδὲ κακίαν· ἥπερ μεγίστη ἀσέβεια καὶ ἀδικία ἐστί. Sed de his, quæ optime paucis hic declarat Hierocles, consulas velim Platonem fusius disserentem in lib. 10. de Legibus, et Simplicium in Epict. Enchir. cap. 38. ed. L. Bat. ASHT.

ἀποδοχὴ τῶν ἀγαθῶν. Προνοίας δὲ οὔσης καὶ τάξεως,
[129] πάντας ἔδει τοὺς νῦν γεννωμένους τῶν ἴσων ἀγαθῶν τυγχάνειν, εἰ μηδὲν παρ' ἑαυτῶν εἰς τὴν ἀνισότητα συνετέλεσαν. Φαίνονται δὲ οὐ τῶν ἴσων τυγχάνοντες. Δῆλον οὖν, ὡς τὸ τῆς προαιρέσεως ἄνισον, ὑποβληθὲν τῇ τῆς προνοίας κρίσει, οὐκ ἐᾷ τὴν ἴσην αὐτοῖς ἀπονέμεσθαι μοῖραν, εἴγε τῶν πρὸς [98] ἀξίαν ἀνάγκη τυγχάνειν. Μὴ ταραττέτω δὲ ἡμᾶς τὸ καὶ ἐπὶ ζώων ἀλόγων, καὶ φυτῶν, καὶ αὐτῶν τῶν ἀψύχων τὴν αὐτὴν ἀνωμαλίαν ἐπιφαίνεσθαι, ἣν καὶ ἐπ' ἀνθρώπων. Οὐ γὰρ διὰ τοῦτο τὰ καθ' ἡμᾶς ἀπρονόητα, [y] εἴγε καὶ ἐκείνοις ταῦτα, ὡς ἔτυχε, συμβαίνει, ἢ καὶ ἐπ' ἐκείνων δίκη καὶ κρίσις, καὶ ἀρετῆς καὶ κακίας ἐκλογισμοί, ἐπεὶ τὰ καθ' ἡμᾶς οὕτως ἠκρίβωται. Πρῶτον μὲν γὰρ τὰ ἄψυχα οὕτως [z] ἔγκειται ὡς κοινὴ ὕλη φυτοῖς, καὶ ζῴοις, καὶ ἀνθρώποις· [a] ἔπειτα τὰ φυτὰ ζῴοις καὶ ἀνθρώποις κοινὴ τροφὴ πρόκειται, καὶ [b] ἔνια δὲ ζῴων ζῴοις τε καὶ ἀνθρώποις. Διὸ καὶ ποιεῖ ταῦτα εἰς ἄλληλα, οὐ τὴν τῶν πασχόντων ἀξίαν ἐπισκεπτόμενα, ἀλλὰ τὴν αὐτῶν πεῖναν ἢ τὴν νόσον θεραπεύοντα, καὶ ὅλως τὸ ἐνδεὲς αὐτῶν πληροῦντα, ὅθεν ἂν τοῦτο ποιεῖν ἐξῇ. Ὥστε δυστυχίας ἀφορμὴν εἶναι τοῖς ζῴοις τὴν ἡμετέραν χρείαν ἐκ τῶν παρατυχόντων πληρουμένην, [c] καὶ τῆς δοκούσης εὐτυχίας αὐτοῖς αἴτιον τὸ παρ'
[130] ἡμῶν [d] προσπαθές. Εἰ μὲν οὖν προϊὼν ὁ λόγος καὶ ἄλλους κρείττονας ἡμῶν τινας [e] εἰσήγαγεν, οὕτως ἀποχρωμένους ἡμῖν πρὸς πλήρωσιν τῆς ἑαυτῶν ἐνδείας, ὡς ἡμεῖς τοῖς ἀλόγοις φαινόμεθα χρώμενοι, θνητοὺς ἐκείνους ἔδει ὁμολογεῖν, καὶ φαίνεσθαι τὰ σώματα τῶν ἀνθρώπων εἰς τὴν ἐκείνων χρείαν ἀναλισκόμενα· εἰ δὲ μηδὲν τῶν πρὸ ἀνθρώπου θνητὸν

[y] εἴ γε] εἴ γε καὶ S. [z] ἔγκειται] ἔκκειται S. [a] ἔπειτα—ἀνθρώποις om. S. [b] ἔνια δὲ] δὲ om. S. [c] καὶ τῆς] τῆς om. S. [d] προσπαθές] προσπαθέσθαι S. [e] ἀντεισήγαγεν] εἰσήγαγεν S.

24. ἀντεισήγαγεν] G. legit εἰσῆγεν. Sed malim hic τινας ἂν εἰσήγαγεν. ASHT.

(ἐπειδὴ καὶ αὐτὸς ἔσχατος ὢν τῶν λογικῶν γενῶν, καὶ διὰ τοῦτο ἀθάνατος εἰς σῶμα θνητὸν ἐκ περιστάσεως ἔρχεται, καὶ συγγενές τι τοῖς ἀλόγοις ἀναλαβὼν ὄργανον ἐπὶ γῆς πολιτεύεται,) οὐδὲν ἂν εἴη τὸ ταῖς ἡμετέραις δυστυχίαις εἰς τὴν ἑαυτοῦ θοίνην [f]ἀποχρησόμενον· οὐκ οὖν οὐδὲ τὸ ἀτάκτως χρησόμενον ἡμῖν προθυμίᾳ πληρώσεως. Δίκη τοίνυν καὶ τάξις τοῖς πρὸ ἡμῶν ἀθανάτοις τοὺς ὅρους τῆς περὶ ἡμᾶς [100] διοικήσεως νομοθετεῖ, ταῦτα μηχανᾶσθαι περὶ ἡμᾶς, ἃ τήν τε ἐνταῦθα κακίαν ἡμῶν ἐλαττοῖ, καὶ πρὸς αὐτοὺς ἐπιστρέφειν ἡμᾶς [g]δύναται. Κήδονται γὰρ ἡμῶν, ὡς συγγενῶν, ἐκπεσόντων. Ὅθεν αἰδὼς, καὶ νέμεσις, καὶ αἰσχύνη [h]ἀποτρέπουσαι τῶν κακῶν, ἀνθρώπους μόνους ἐπιστρέφεσθαι λέγονται ὀρθῶς. [i]Τὸ γὰρ λογικὸν ζῷον μόνον συναισθάνεσθαι τῆς δίκης πέφυκε. Τοῖς μεγίστοις οὖν ὅροις διεστῶτας ἡμᾶς ἀπὸ τῶν ἀλόγων διεστώσῃ πάμπολυ καὶ τῇ διοικήσει χρῆσθαι προσήκει. Σύμμετρος γὰρ ταῖς οὐσίαις τῶν ὄντων καὶ ὁ τῆς προνοίας θεσμός· καὶ ὡς ἕκαστα ὑπέστη παρὰ [133] τοῦ δημιουργοῦ Θεοῦ, οὕτω καὶ προνοίας ἀξιοῦται. Φαίνεται

[f] ἀποχρησόμενον] ἀποχρησ̄μενον S. [g] δύναται] δύνανται S. [h] ἀποτρέπουσαι] ἀποτρέπουσα S. [i] Τὸ γὰρ] γὰρ om. S.

7. τοῖς πρὸ ἡμῶν ἀθανάτοις] Sc. δαίμοσιν αἰθερίοις, quos ἐπιμελητὰς ἡμῶν appellavit, uti nos superius notavimus, in not. p. 64. ASHT.

16. ὄντων] Nos hic, præter morem nostrum, rei ipsius evidentia coacti, pro ὅλων [sic S.] in prius editis legimus ὄντων. Nam phrasis illa, οὐσίαι τῶν ὅλων, absona plane est, et a philosophis minime usurpata. Illi enim nunquam de τῶν ὅλων, i. e. τοῦ παντὸς, (quod unum est) οὐσίαις loquuntur; sed de partium ejus, τῶν ὄντων sc., οὐσίαις disserunt, et ostendunt quo modo πάντα τὰ ὄντα ταῖς οὐσίαις speciatim distincta unum illud τὸ πᾶν constituunt. Atque de hac τῶν ὄντων secundum naturas distinctione loquitur hic plane Hierocles, dicens, τὸ λογικὸν ζῷον ens esse φύσει distinctum ἀπὸ τῶν ἀλόγων, atque adeo diversam διοίκησιν requirere, quia providentiæ lex ταῖς οὐσίαις τῶν ὄντων, i. e. *entium naturis*, congrua est. Quin et de hac re supra locutus Hierocles, p. 77, hac ipsa phrasi usus est, ubi dicit philosophiam τὰς πάντων τῶν ὄντων οὐσίας ἀκριβῶς ἐπίστασθαι, καὶ τὰς ἑπομένας ταῖς οὐσίαις αὐτῶν ἐνεργείας, ἧν εἱρμὸς καὶ σύνταξίς ἐστιν ἡ τῶν ὅλων διοίκησις. Hanc autem et veram et necessariam esse lectionem e multis posthac notandis porro apparebit. ASHT.

δὲ, ἐπὶ μὲν τῶν ἀνθρωπίνων ψυχῶν, ἑκάστην αὐτὸς ὑποστήσας· ἐπὶ δὲ τῶν ἀλόγων μόνα γένη, προτείνων τῇ διαπλαττούσῃ αὐτὰ φύσει, ὡς Πλάτωνι δοκεῖ, καὶ Τιμαίῳ τῷ [k]Πυθαγορείῳ, οὐδὲν μὲν [l]τῶν θνητῶν προσεχὲς δημιούργημα εἶναι τοῦ Θεοῦ [m]τιθεμένοις, τὰς δὲ ἀνθρωπίνας ψυχὰς [n]ἐκ τοῦ αὐτοῦ κρατῆρος γενέσθαι τοῖς τε ἐγκοσμίοις θεοῖς, καὶ τοῖς δαίμοσιν, ἢ τοῖς ἀγαυοῖς ἥρωσι· διὸ πρόνοια ἐπ' ἀνθρώπων ἐστὶ καθ' ἕνα ἕκαστον, πῶς ἀφίσταται τῶν ἐκεῖ· πῶς πρὸς τὰ τῇδε νεύει· πῶς ἐνταῦθα πολιτεύεται· πῶς ἂν ἐντεῦθεν ἀνακομισθείη ἐκεῖσε· ὧν οὐδὲν δεῖ περὶ τῆς ἀλόγου ζωῆς πραγματεύεσθαι. Οὔτε γὰρ ἦλθεν ἀδυνατήσασα ἐπισπέσθαι Θεῷ· οὔτε ἐπὶ γῆς δύναται πολιτεύεσθαι, ὡς φυτὸν οὖσα οὐράνιον· οὔτε πρός τι ξύννομον ἄστρον ἀνάγεσθαι πέφυκε. Καὶ ταῦτα μὲν πρὸς τὸ παρὸν ἀπολελογήσθω

[k] Πυθαγορείῳ] πυθαγορίῳ S. [l] προσεχὲς τῶν θνητῶν] τῶν θνητῶν προσεχὲς S. [m] τιθεμένοις] τιθέμενοι S. [n] γίνεσθαι ἐκ τοῦ αὐτοῦ κρατῆρος] ἐκ τ. α. κ. γενέσθαι S.

3. Πλάτωνι δοκεῖ] Paucula in hanc rem legantur apud Platonem in Tim. p. 41 D. NEEDHAM.

ib. Τιμαίῳ τῷ Πυθαγορείῳ] Hæc omnia hausisse videtur Hierocles ex Timæo Locro Περὶ ψυχᾶς κόσμω, quem, uti Noster, *Pythagoreum* vocant Cicero de Finibus B. et M. et Proclus in Timæum Platonis. Locus autem Timæi, ex quo hujus περιοχῆς sensus derivatus est, sic se habet: Τὰν μὲν ὧν ἀνθρωπίναν ψυχὰν ἐκ τῶν αὐτῶν λόγων καὶ δυναμίων συγκερασάμενος καὶ μερίξας διένειμε, τᾷ φύσει τᾷ ἀλλοιωτικᾷ παραδούς· διαδεξαμένα δ' αὐτὸν ἐν τῷ ἀπεργάζεν θνατά τε καὶ ἐφαμέρια ζῶα, ὧν τὰς ψυχὰς ἐπιρρύτους ἐνάγαγε. NEEDHAM.

5. ἐκ τοῦ αὐτοῦ κρατῆρος] Sic Plato in Timæo p. 41, πάλιν ἐπὶ τὸν πρότερον κρατῆρα, ἐν ᾧ τὴν τοῦ παντὸς ψυχὴν κεραννὺς ἔμισγε, τὰ τῶν πρόσθεν ὑπόλοιπα κατεχεῖτο μίσγων. In quæ verba vide Procli Comment. p. 314, —. Similia autem his habet ipse Timæus in libro Περὶ ψυχᾶς κόσμω. ASHT.

10. περὶ τῆς ἀλόγου ζωῆς] i. e. de animabus ἀλόγων ζώων. Illa autem, quæ sequuntur, e Platonis Phædro sumta sunt, p. 248. ASHT.

12. ὡς φυτὸν οὖσα οὐράνιον] Sic Plato in Timæo p. 90, ἡμᾶς αἴρει, ὡς ὄντας φυτὸν οὐράνιον. Ad quæ respicit Palladas in Epigrammate, Ἀλλ' ὁ Πλάτων σοὶ τῦφον ὀνειρώττων ἐνέφυσεν, Ἀθάνατόν σε λέγων, καὶ φυτὸν οὐράνιον. Anthol. 1, 81. ASHT.

13. πρός τι ξύννομον ἄστρον ἀνάγεσθαι] Hæc sunt Platonis verba in Timæo p. 42, in quæ vide Procli Comment. p. 319. ASHT.

ἡμῖν πρὸς τοὺς δυσχεραντικοὺς, καὶ πανταχόθεν τὸ ἀπρονόητον κατασκευάζοντας· πρὸς οὓς καὶ ταῦτα εἰπεῖν δίκαιον, ὅτι ἐκ μὲν τοῦ πράως τὰ δυσχερῆ φέρειν ὁ ἀνθρώπινος τρόπος εὐλόγιστος ἀναφαίνεται, καὶ πρὸς τὸ παρὸν ἐπελα- [102]
φρύνων τὰ δυσχερῆ, καὶ πρὸς τὸ μέλλον ἰώμενος. Ὑμεῖς δὲ
ἀγανακτοῦντες τί καὶ ὀνήσετε, εἰ μὴ μόνον [o]προσθείητε τοῖς
[134] πόνοις τὸ μέγιστον τῶν κακῶν ἀσέβειαν, καὶ αὐτὰ δὲ τὰ χαλεπὰ τραχύτερα ἑαυτοῖς ἐξεργάσησθε τῷ παρὰ τὴν ἀξίαν πάσχειν αὐτὰ δοκεῖν; Ὁ γὰρ νοσῶν, ἐὰν ἀγανακτῇ ὅτι νοσεῖ, δι' αὐτὸ τοῦτο μᾶλλον νοσήσει. Διὸ οὐδὲ χαλεπαίνειν δεῖ πρὸς τὴν ἀξίαν τῆς ἀποδόσεως [p]γινομένης, ἵνα μὴ καὶ χειρόνων ἐν ἕξει [q]γενώμεθα διὰ τὴν ἐπὶ τοῖς παροῦσι βλάσφημον δυσφορίαν. Σκεψώμεθα δὲ αὐτὸ καὶ τῇδε· εἴ τις πενίαν λαβὼν πράως [r]φέρει, πρὸς τῇ ἀπὸ τῆς πραότητος ἀλυπίᾳ καὶ ἐξευρήσει τινὰ [s]τοῦ βίου παραμυθίαν· τοῦτο μὲν, τοῦ λογισμοῦ πόρον ἐξευρίσκοντος εὐλόγου διατροφῆς, τῷ μὴ συγκεχύσθαι τῇ λύπῃ· τοῦτο δὲ, [t]ἀγαμένων αὐτὸν τῶν πλησίον τῆς ἔμφρονος καρτερίας, καὶ συνεκποριζόντων, ὅση δύναμις, τὰ ἀναγκαῖα πρὸς τὸν βίον. Ὁ δὲ ἀγανακτῶν, καὶ γυναικείως πικραινόμενος, πρῶτον μὲν ἑκουσίως λύπας προσκτᾶται· ἔπειτα προσδεδεμένος τῷ τὴν πενίαν πενθεῖν, ἄπορος παντελῶς γίνεται, οὔτε παρ' ἑαυτοῦ τι σχολάζων εἰς πόρον [v]συμβάλλεσθαι, οὔτε [w]παρὰ τῶν πλησίον συντελούμενος, ὅσον μὴ ἐλέου χάριν αὐτῷ τις προσρίψειεν· ὃ πάλιν ἐκ τῆς διαθέσεως τοῦ διδόντος ἐπιτείνει τὴν λύπην τῷ

[o] προσθείητε] προσθείηται S. [p] γενομένης] γινομένης S. [q] γενώμεθα] γενόμεθα S. [r] φέρει] φέρηι S. [s] τοῦ βίου] τοῦ om. S. [t] ἀγαμένων] ἀγομένων S. [v] συμβάλλεσθαι] συμβαλέσθαι S. [w] παρὰ τῶν] παρὰ τὸν S.

3. ἐκ τοῦ πράως—] Editor Cant. addidit hic μὲν, sc. ἐκ μὲν τοῦ, sed unde non dicit, nec eo opus est. ASHT. ἐκ μὲν τοῦ S. ubi mox ἀναφένεται.

20. ἑκουσίας] Sic G. Editt. pr. [et S.] ἑκουσίως. Ipse Hierocles alibi, ἑκουσία πενία, et, ἀκούσιαι λύπαι. ASHT.

εἰς τοῦτο χρείας καταστάντι. Ἐκ πάντων οὖν τῶν εἰρη-
[137] μένων πράως φέρειν δεῖ τὰ συμβαίνοντα, καὶ ὅση δύναμις
ἰᾶσθαι δεῖ, ταῖς ἀδιαστρόφοις ἐννοίαις τὰς αἰτίας αὐτῶν
ἐκλογιζομένους, καὶ συνορῶντας, ὅτι προνοίας οὔσης, οὐκ
ἀμελεῖται ὁ ἀγαθὸς νῦν γενόμενος, κἂν παλαιῶν μηνιμάτων
ἐφέλκηται στίγματα. Κατ' αὐτὸ γὰρ τὸ κτᾶσθαι τὴν
ἀρετὴν καὶ τὸ ἐπίπονον αὐτῶν διαφεύγει, καὶ τὴν ἴασιν
ἐξευρίσκει, παρ' ἑαυτοῦ μὲν τὴν βοήθειαν τῆς ἀλυπίας εἰσ- [104]
φέρων, παρὰ δὲ τῆς προνοίας τὴν ἀπόλυσιν τῶν χαλεπῶν
κομιζόμενος. [x] Ἡ γὰρ ἡμετέρα κακία, καὶ κρίσις θεία
τιμωρουμένη τὴν πονηρίαν, τὰ χαλεπὰ συνεφόρησεν· εἰκότως
δὲ ταῦτα λύεται πάλιν ἀρετῇ τε ἡμετέρᾳ, καὶ νόμῳ προ-
νοίας, ἀπολύοντι τῶν κακῶν [y] τοὺς παρ' ἑαυτῶν πρὸς τὸ
ἀγαθὸν ἐπιδεδωκότας. Τοσαῦτα ἂν λάβοιμεν καὶ ἐκ τούτων
τῶν ἐπῶν δόγματα πρὸς ἀρετῆς στοιχείωσιν [z] συντελοῦντα.
Τοὺς γὰρ περὶ Προνοίας, καὶ Εἱμαρμένης, καὶ Τοῦ ἐφ' ἡμῖν,
ἀληθεστάτους λόγους περιέχοντα ἀναπέφηνε, δι' ὧν τὸ τῆς
τῶν φαινομένων ἀνωμαλίας δύσκολον [a] ἀπηύθυνεν ὁ λόγος,
καὶ διὰ πάντων ἀπέδειξε τῶν κακῶν ἀναίτιον τὸν Θεόν.
Εἰ δέ τις ταῦτα τοῖς προτέροις ἐπισυνάψειεν, εἷς ἐκ πάντων
ἀναφανήσεται λόγος, τὴν τῆς ψυχῆς [b] ἀϊδιότητα βεβαιού-
[138] μενος. Τὸ γὰρ δικαιοσύνην ἀσκεῖν, καὶ γενναίως ἀποθνή-

[x] Ἡ] τῇ S. [y] τοὺς παρ'] τὸ ὑπὲρ S. [z] συντελοῦντα] τελοῦντα S.
[a] ἀπεύθυνεν] ἀπηύθυνεν S. [b] ἀϊδιότητα] ἰδιότητα S.

5. γενόμενος] Ita G. γινόμενος editt. pr. cum S.

ib. παλαιῶν μηνιμάτων—] Sc. τῶν ἐκ προβιοτῆς, quæ ab Hierocle in lib. de Providentia vocantur παλαιῶν ἁμαρτημάτων ἀμοιβαὶ, ap. Phot. Cod. 251. Sic Iamblic. de Myst. sect. 4. c. 4. τιμωρίαν ἐπάγουσι στοχαζόμενοι τῶν ἐν προτέροις βίοις ἁμαρτημάτων. Atque ita ipse Plato in Phædro p. 244, meminit νόσων καὶ πόνων δι' ἁμαρτήματα ἐκ μηνιμάτων που θεῶν ἔν τισι γενομένων. ASHT.

21. ψυχῆς ἀϊδιότητα] Sc., ejus ἀθανασίαν tam a parte ante, quam a parte post, ut mox sequitur. Utramque enim docuit Pythagoras, ut in ejus vita narrat Porphyrius p. 24. ed. Kust. et sic quidem ipse Plato in Phædone. ASHT.

σκειν, [c] καὶ περὶ τὰ χρήματα ἐλευθερίως διακεῖσθαι, τοῦ μὴ συναποθνήσκειν τῷ σώματι τὴν ψυχὴν μάλιστα χρήζει πρὸς κατασκευὴν, ὡς ἤδη εἴρηται. Τὸ δὲ τὰς δαιμονίας τύχας πράως φέρειν, καὶ ἰᾶσθαι δύνασθαι, τοῦ μὴ συγγενᾶσθαι τῷ σώματι τὴν ψυχὴν νῦν ἐφάνη δεόμενον· ἐκ δὲ ἀμφοτέρων τὸ γενέσεως καὶ φθορᾶς κρείττονα εἶναι τὴν ψυχὴν ἀποδείκνυται, καὶ ἑτέραν οὐσίαν παρὰ τὸ θνητὸν σῶμα, αὐτὴν καθ' αὑτὴν οὖσαν ἀΐδιον. Οὐ γὰρ οἷόν [d] τέ ἐστιν ἀπό τινος χρόνου προελθόν τι εἰς γένεσιν εἰς ἀεὶ διαμένειν, ὥσπερ οὐδὲ τὸ ἐξ ἀϊδίου τὴν ὑπόστασιν ἔχον ποτὲ φθορὰν ἀναδέξασθαι. Εἴπερ οὖν μετὰ τὴν τοῦ σώματος φθορὰν ἡ ἀνθρωπίνη ψυχὴ διαμένουσα δίκης καὶ κρίσεως τυγχάνει, καὶ τῶν [e] ἐπιτηδευθέντων ἐν τῷ βίῳ τὰς πρὸς ἀξίαν ἀμοιβὰς ἀποδέχεται, οὐχ οἷόν τε δὲ εἰς ἀεὶ διαμένειν [f] τὸ ἀπὸ χρόνου γενόμενον· [106] δῆλον, ὡς καὶ πρὸ τούτου ἦν τὸν ἅπαντα χρόνον. Καὶ οὕτω τῶν ἀϊδίων γεννημάτων τοῦ δημιουργοῦ Θεοῦ καὶ ἡ ἀνθρωπίνη ψυχὴ ἀνευρίσκεται, ὅθεν αὐτῇ καὶ τῆς θείας ὁμοιώσεως μέτεστιν. Ἐπεὶ [g] δὲ καὶ τοῦτο μετρίας ὑπομνήσεως ἔτυχε, καιρὸς ἂν εἴη καὶ τὰ λοιπὰ ἐπισκέψασθαι.

[c] καὶ περὶ—συναποθνήσκειν S. om. αὐτὴν pro ἑαυτήν. [d] τέ ἐστιν] τέ τι S. qui supra [e] ἐπιτηδευθέντων] ἐπιτηδευμάτων Vat. Med. [f] τὸ ἀπὸ] τὸ δὲ ἀπὸ S. Mox γεννώμενον Holsten. ex ms. cujus nota deest. [g] δὲ καὶ] καὶ om. S.

8. οὐχ οἷόν τε ἐστὶ ἀπὸ χρόνου προελθόν τι—εἰς ἀεὶ διαμένειν] Ita disputant et alii philosophi; atque hoc quidem φυσικῶς veri speciem habet, seposita Dei voluntate; at eo volente, τὸ ἀπὸ χρόνου προελθὸν potest εἰς ἀεὶ διαμένειν, idque de ipsis Diis agnoscit Plato in Timæo p. 41, ἐπεὶ γεγένησθε, ἀθάνατοι μὲν οὐκ ἐστὲ, οὐδ' ἄλυτοι τὸ πάμπαν· οὔτι μὲν δὴ λυθήσεσθέ γε, οὔτε τεύξεσθε θανάτου μοίρας, τῆς ἐμῆς βουλήσεως μείζονος ἔτι δεσμοῦ καὶ ἰσχυροτέρου λαχόντες. ASHT.

16. γεννημάτων] Sic G. [et S.] δημιουργημάτων editt. pr. Sic Simplic. procem. in Epict., ὁ ψυχὴν γεννήσας δημιουργός. Et Proclus in Plat. Timæ. p. 116, πᾶσα ψυχὴ γέννημά ἐστι τοῦ θεοῦ. Sic et ipse Hierocles ap. Phot. Cod. 251, τὸ πρῶτον τῶν τοῦ δημιουργοῦ γεννημάτων. ASHT.

XII. 21—24.

[141] Πολλοὶ δ' ἀνθρώποισι λόγοι [h]δειλοί τε καὶ ἐσθλοὶ
προσπίπτουσ', ὧν μήτ' ἐκπλήσσεο, μήτ' ἄρ' ἐάσῃς
εἴργεσθαι σαυτόν· ψεῦδος δ' ἦν πέρ τι λέγηται,
πρᾴως εἶκε.

Ἡ ἀνθρωπίνη προαίρεσις μήτ' ἐν ἀρετῇ ἀεὶ ἑστῶσα, μήτ' ἐν κακίᾳ, καὶ τοὺς διὰ φωνῆς προϊόντας λόγους ἐπαμφοτερίζοντας ἀπεγέννησεν, ὡς ἐοικότας ταῖς ἐναντίαις αὐτῆς διαθέσεσι. Διὸ τῶν λόγων ἐγένοντο [i]οἱ μὲν ἀληθεῖς, οἱ δὲ ψευδεῖς, [k]οἱ δὲ ἀγαθοὶ, οἱ δὲ κακοί. Ἡ δὲ διαφορὰ αὕτη ἐπιστημονικῆς δεῖται διακρίσεως, ὅπως τοὺς μὲν ἀμείνονας ἐκλεξώμεθα, τοὺς δὲ χείρους ἀποβάλωμεν, καὶ μήτε μισολογίαν [l]νοσήσωμεν παντελῆ, διὰ τὴν τῶν χειρόνων λόγων κατάγνωσιν, μήτε ἀδιακρίτως [m]πάντας εἰσδεξώμεθα, διὰ τὴν τῶν ἀμεινόνων ἀποδοχήν. Ἕπεται γὰρ τῇ μὲν μισολογίᾳ τὸ καὶ τῶν ἀγαθῶν λόγων ἑαυτοὺς ἀποστερεῖν, τῇ δὲ
[142] ἀκρίτῳ φιλολογίᾳ, τὸ λανθάνειν [n]βλαπτομένους ὑπὸ τῶν κεκακουργημένων λόγων. Φιλολογίαν [o]οὖν ἀσκήσωμεν μετὰ κρίσεως τῆς ἀρίστης, ἵνα ἡ μὲν φιλία ἕλκῃ τὸ γένος τῶν λόγων, ἡ δὲ κρίσις ἀπωθῆται τὸν χείρονα. Καὶ οὕτω

[h] δειλοὶ] δηλοὶ S. [i] οἱ μὲν] ἡ μὲν S. qui ponit οἱ δὲ ψευδεῖς post κακοί. [k] οἱ δὲ ἀ.] Mallem leg. ἤτοι vel εἴτε Holst. [l] νοσήσωμεν] νομίσωμεν Vat. [m] πάντας om. S. [n] βλαπτομένους] βλαπτόμενον S. ut vulg. em. Bentleius. [o] γοῦν] οὖν S.

9. οἱ μὲν ἀληθεῖς, οἱ δὲ ψευδεῖς, οἱ δὲ ἀγαθοὶ, οἱ δὲ κακοὶ] Sic G. οἱ δὲ ψευδεῖς editt. pr. post κακοί. et sic S.

19. ἡ φιλία ἕλκῃ τὸ γένος] Pro his Curter. in margine apposuit, ἡ φιληκοΐα πᾶν ἕλκῃ τὸ γένος, quæ non ipsius solum conjecturæ (ut ait) sed codicibus, quos contulit, deberi videntur; nam sic fere habuit etiam codex Venetus, quem Latine vertit Aurispa, sc., *ut audiendi voluntas omne sermonum genus capiat;* nihil enim interest, nisi quod pro ἕλκῃ τὸ Aurispa legisse videatur ἕλοιτο, neque id quidem male, etsi melior est lectio Curteriana, sive (ut declarat) conjectura, atque receptæ lectioni plane anteferenda, sc., ἡ φιληκοΐα πᾶν ἕλκῃ τὸ γένος. ASHT.

τὸ Πυθαγορικὸν τηρήσομεν παράγγελμα, μήτε ἐκπληττό- [108]
μενοι τοὺς πονηροὺς τῶν λόγων, καὶ δι' αὐτὸ τοῦτο, ὅτι
λόγοι εἰσὶν, ἀκρίτως αὐτοὺς εἰσδεχόμενοι· μήτε τῶν ἀγαθῶν
εἰργόμενοι, διότι λόγοι ἦσαν ὁμοίως τοῖς χείροσι. Πρῶτον
μὲν γὰρ [p] οὐχ ἧ λόγοι μεταδιώκοιντο, ἀλλ' ἧ ἀληθεῖς· 5
οὔθ' οἱ ἕτεροι [q] καταγινώσκοιντο, ὡς λόγοι, ἀλλ' ὡς ψευδεῖς.
Ἔπειτα κἀκεῖνο εὐθαρσῶς ἂν εἴποιμεν, ὡς μόνοι λόγοι εἰσὶν
οἱ ἀληθεῖς. Μόνοι γὰρ τῆς λογικῆς οὐσίας τὸ ἀξίωμα
τηροῦσι, καί εἰσι γεννήματα ψυχῆς πρὸς τὸ ἄριστον ἀνα-
τεταμένης, καὶ τὸν οἰκεῖον κόσμον κεκτημένης· οἱ δὲ ψευ- 10
δεῖς τῶν λόγων οὐδὲ λόγοι ὄντως εἰσὶ, πρὸς γὰρ κακίαν
καὶ ψευδοδοξίαν φέροντες, καὶ τὴν εὐγένειαν τῶν λόγων
ἠρνήσαντο, καί εἰσιν ἠλογημένης ψυχῆς καὶ πάθεσι συμ-
πεφυρμένης φωναί. Μήτε οὖν πάντας καταδέχου, φησὶν,
ἵνα μὴ καὶ τοὺς ψευδεῖς· μήτε πάντας [r] ἀπόβαλλε, ἵνα μὴ 15
καὶ τοὺς ἀληθεῖς. Ἑκάτερον γὰρ ἄτοπον, τούς τε [s] ἀγαθοὺς
[145] ἐπίσης μισῆσαι [t] τοῖς χείροσι, καὶ τοὺς ψευδεῖς προσίεσθαι
διὰ τοὺς ἀμείνους. Δεῖ δὴ τοὺς μὲν ἀγαθοὺς ἐπαινεῖν, καὶ
εἰσδεξάμενον αὐτοὺς ἀσκεῖσθαι, καὶ ζητεῖν ὅπη καὶ ἐφ' ὅσον
τῆς ἀληθείας ἐφάπτονται, πρὸς δὲ τοὺς ψευδεῖς τὴν ἀγω- 20
νιστικὴν δύναμιν κτήσασθαι, αὕτη δ' ἂν εἴη ἡ χορηγουμένη
ἐκ τῆς λογικῆς ἐπιστήμης εἰς διάκρισιν ἀληθείας καὶ ψεύ-
δους· δυναμένους [v] δὲ ἀνατρέπειν τὰ ψεύδη, μήτε σφο-
δρῶς μήτε ὑβριστικῶς τοῦτο ποιεῖν, ἀλλὰ σὺν πραότητι
τὴν ἀλήθειαν διώκειν, καὶ μετὰ εὐμενῶν ἐλέγχων τὸ ψεῦδος 25

p οὐχὶ] οὐχ S. οὐχ οἱ Vat. Med. et mox οἱ pro ἧ. q καταγινώ-
σκοιντο] καταγινώσκοντο S. r ἀπόβαλε] ἀπόβαλλε S. s ἀγαθοὺς] ἀγα-
θοὺς ἐπίσης S. t σὺν τοῖς] σὺν om. S. v δὲ καὶ] καὶ om. S.

3. μήτε] Sic G. S. οὔτε editt. pr.

5. οὐχὶ, ἧ λόγοι,—οὔθ' οἱ ἕτεροι—] Male se habere videtur hic locus; nihil enim in primis apparet, cui respondeant οἱ ἕτεροι. Igitur pro οὐχὶ legendum esse opinor, οὔθ' οὗτοι, sc. οἱ ἀγαθοὶ (de quibus proxime locutus est) οὔθ' οἱ ἕτεροι, i. e. πονηροί. ASHT.

ἀνατρέπειν, καὶ, ὡς αὐτό φησι τὸ ἔπος, [w]ψεῦδος δ' ἦν περ τι λέγηται, πρᾴως εἴκοντας, οὐ συγχωροῦντας οὕτως ἔχειν, ὡς λέγεται, ἀλλὰ ἀοργήτως ἀκούοντας. Οὐ γὰρ συγκατατίθεσθαι δεῖν λέγει τῷ ψεύδει τὸ πρᾴως εἶκε, ἀλλ' ἀνεκτικῶς ἀκροᾶσθαι, καὶ μὴ ἐκπλήττεσθαι, εἰ ἄνθρωποι ὄντες τινὲς τῆς ἀληθείας [x]ἀποπεπτώκασιν. [y]Γόνιμος γὰρ ἡ [z]ἀνθρώπου φύσις πολλῶν διαστρόφων δοξασμάτων, ὅταν μὴ ταῖς κοιναῖς ἐννοίαις ὀρθῶς ἕπηται. Οὐδὲν οὖν, φησὶν ὁ λόγος, θαυμαστὸν, εἰ ἄνθρωπος μηδὲν τῶν ἀληθῶν μήτε μαθὼν, μήτε εὑρὼν, εἰς τοῦτο τῆς [a]ἀπονοίας ἦλθε, καὶ ἔθετο δόξας ὑπεναντίας τῇ ἀληθείᾳ. Τοὐναντίον [146] [b]γὰρ ἂν ἦν θαυμαστὸν, εἰ μήτε μανθάνειν μήτε ζητεῖν ἐθέλων τις αὐτομάτως τῇ ἀληθείᾳ περιέτυχεν, ὥσπερ ἐκ τραγῳδίας Θεῷ τινι ἀναφανέντι. Δεῖ οὖν συγγνωμονικῶς ἀκούειν τῶν [110]

[w] ψεῦδος—λέγηται ponit S. infra post εἴκοντα (sic). [x] Post h. v. ἀλυσιτελῶς om. S. et M. 2. [y] Γόνιμος] φρόνιμος S. γόνιμος M. 2. φρόνιμος Vat. male. Holst. [z] ἀνθρώπων] ἀνθρώπου S. [a] ἀπονοίας] ὑπονοίας S. ut vulg. Correxit Needham. [b] γὰρ ἦν] γὰρ ἂν ἦν S.

1. τὸ ἔπος, ψεῦδος δ' ἦν πέρ τι λέγηται, πρᾴως εἴκοντας] Sic restituere ex ipso versu verborum ordinem non dubitavimus, qui male in editt. pr. inversus est, sc. ἔπος, πρᾴως εἴκοντας, ψεῦδος δὲ ἦν—. Sic etiam in editt. Paris. et Lond. inversa sunt versus 14ti verba in Hieroclis comment. Sc. ἀλογίστως ἔχειν σαυτὸν pro ἀλογίστως σαυτὸν ἔχειν, uti recte restituit editor Cant. ASHT.

6. ἀλυσιτελῶς] i. e. Mentiendi tantum gratia, sine ullo sibi emolumento. At deest hæc vox in G.; atque abesse quidem potest, salva sententia. Nam τὸ ψεῦδος hic, qua tale, damnat Hierocles, sc. quatenus veritatem violat, sive inutile, sive utile, sit mentienti. ASHT.

7. Γόνιμος] Hanc emendationem debemus G., pro φόριμος, quod habent editt. pr., atque nobis hoc in sensu alibi nondum occurrit. Exponit vero Hesych. φόριμος, λυσιτελής· quod nihil ad hanc rem. ASHT.

14. ἀναφανέντι] Auctoritate G., et MSS. Gall., maluimus ἀναφανέντι, quam priorum παραφανέντι, [sic S.] quia sic et alii de hac tragicorum machina usurpant. Ita Diogenianus Adagium hoc, ἀπὸ μηχανῆς θεὸς, dictum ait, ἐπὶ τῶν ἀπροσδοκήτως ἐπ' ὠφελείᾳ τινὶ ἀναφαινομένων. Itidem Cornelius ap. Euseb. de Novatiano, αἰφνίδιον ἐπίσκοπος, ὥσπερ ἐκ μαγγάνου τινὸς εἰς μέσον ῥιφεὶς, ἀναφαίνεται. Eccl. Hist. 6, 43. ASHT.

ψευδομένων, καὶ πείρᾳ μανθάνειν οἵων ἡμεῖς ἐκαθάρθημεν κακῶν, τῇ μὲν κοινωνίᾳ τοῦ [c] συγγενοῦς ὑποκείμενοι τοῖς αὐτοῖς πάθεσι, τῷ δὲ ἀλεξικάκῳ τῆς ἐπιστήμης ἐξ ἐναντίας αὐτῶν γενόμενοι. Μέγα δὲ συντελεῖ πρὸς πραότητα καὶ τὸ τῆς ἐπιστήμης θάρσος· ἡ γὰρ ἱκανῶς παρεσκευασμένη ψυχὴ πρὸς τὸ καταγωνίσασθαι τὰς ἐκτροπὰς τῆς ἀληθείας ἀθορύβως οἴσει τὰς ψευδεῖς δόξας, ὡς προεκλελογισμένη πάντα τὰ παρὰ τὸ ἀληθὲς ἐν αὐτῇ τῇ τοῦ ἀληθοῦς κατανοήσει. Τί οὖν ταράξει τοῦτον, ὡς ἄλυτον ὄν; τί δὲ ἰσχυροῦ φαντασίαν παρέξει τούτῳ, [d] ὃς προκατηγώνισται πᾶν τὸ ψεῦδος; Οὐ μόνον οὐκ ἐκ τῆς ἠθικῆς ἀρετῆς τὴν [e] ἀταραξίαν ἔξει ὁ ἐπιστήμων, ἀλλὰ καὶ ἐκ τοῦ θαρσεῖν τοὺς τοιούτους ἀγῶνας. Ταῦτα μὲν περὶ τῆς [f] ἐπιστημονικῆς τῶν λόγων διακρίσεως· περὶ δὲ τῆς διὰ πάντων ἀνεξαπατήτου ἕξεως, ἣν δεῖ κεκτῆσθαι τὸν ἐπιστήμονα, εὐθὺς [g] ἐπισυνάπτει,

XIII. 24—26.

—Ὁ δέ τοι ἐρέω, ἐπὶ παντὶ τελείσθω·
[149] μηδεὶς μήτε λόγῳ σε παρείπῃ, μήτε τι ἔργῳ
πρῆξαι, μηδ' εἰπεῖν, ὅ τι τοι μὴ βέλτερόν ἐστι. [112]

[c] συγγενοῦς] γενοῦς S. [d] ὃς πρ.] Sic ni fallor S. ᾧ πρ. ms. anon. ap. Holst. ᾗ πρ. Curt. [e] ἀταραξίαν] ἀταξίαν S. [f] τῶν λόγων ἐπιστημονικῆς] ἐπιστημονικῆς τῶν λόγων S. [g] ἐπισυνάπτει] ἐπιτάττει ms. ap. Holst.

10. ὃς προκατηγώνισται πᾶν τὸ ψεῦδος] Ita nos e D. recepimus; quæ vera plane est lectio, sc., ὃς προκατηγώνισται, *qui prius expugnaverit*. Atqui ὅς, inquit editor Cant., male pro ᾧ scriptum est; atque sic a se correctum lectori fidenter exhibet, ᾧ προκατηγώνισται, *a quo prius expugnatum est*, minime animadvertens verbum ἀγωνίζομαι deponens esse, et sub passiva forma active per varia tempora significare, ut grammaticorum regulæ docent. Hujus autem usus exempla sunt frequentissima. Sic Plato in Apol. Socr. ταῦτα διειλέγμεθα, et, οἶμαί σε ἐσκέφθαι ibid. Aristot. Rhet. 1, ὁμολογοῦντες διειλέχθαι τοῖς πολεμίοις. Polyb. lib. 1, δοκοῦσιν οἱ Καρχηδόνιοι πεπρᾶχθαι φρονίμως. Justin. Mart. Apol. 1, τὴν ἔντευξιν πεποίημαι. Euseb. Hist. 6. 28, σεσημείωται τὸν καιρὸν ὁ Ὠριγένης. Quin et ipse Hierocles supra, ἔπεται (ἡμᾶς) ἀπολελογίσθαι τὰς τούτων αἰτίας. et p. 90, ἡ φρόνησις τὴν φύσιν ἐκλελόγισται. Non est igitur, cur de hac lectione dubitemus. ASHT.

Τοῦτο διὰ πάντων τείνει τὸ παράγγελμα, ἰσοδυναμοῦν τῷ ἄνω που εἰρημένῳ,

Πρήξεις δ' αἰσχρόν ποτε μήτε μετ' ἄλλου,
μήτ' ἰδίῃ· πάντων δὲ μάλιστ' αἰσχύνεο σαυτόν.

Ὁ γὰρ ἑαυτὸν αἰδεῖσθαι μεμαθηκὼς, καὶ μήτε ἐν μονώσει, μήτε ἐν κοινωνίᾳ, τὴν τοῦ αἰσχροῦ πρᾶξιν ἀνεχόμενος, ἀλλὰ καὶ τὴν φαντασίαν αὐτὴν τοῦ τοιούτου παραιτούμενος διὰ τὸν εἴσω φύλακα λόγον, οὗτός ἐστιν ὁ δυνάμενος νῦν ἀκούειν,

Μηδεὶς μήτε λόγῳ σε παρείπῃ, μήτε τι ἔργῳ.

Μόνος γὰρ ἀνεξαπάτητος, καὶ ὑπ' οὐδενὸς οὐδαμῶς εὐπαραλόγιστος, ὁ τὴν ἀξίαν ἑαυτοῦ γνοὺς ἄνθρωπος, καὶ οὔτε κολακείαις θωπευόμενος, οὔτε τοῖς ἐκδειμαίνουσι ταπεινούμενος, κἂν πολέμιοι ἢ φίλοι ὁποτεραοῦν τούτων προτείνωσιν. Ἐν γὰρ τῷ μηδεὶς πᾶν πρόσωπον κεῖται, καὶ πατὴρ, καὶ
[150] τύραννος, καὶ φίλος, καὶ ἐχθρός. Οἱ δὲ τρόποι τῆς παραγωγῆς ἢ διὰ λόγων ἢ ἔργων γίνονται· [h] λόγων μὲν, θωπευόντων ἢ ἀπειλούντων, ἔργων δὲ, δωρεὰς ἢ τιμωρίας προτεινόντων. Πρὸς πάντα δὴ ταῦτα τετειχισμένην δεῖ τὴν ψυχὴν ἔχειν τῷ ὀρθῷ λόγῳ, πρὸς τὸ ἀμείλικτον καὶ ἀδούλωτον ὑπὸ τῶν ὀπωσοῦν ἔξωθεν προσπιπτόντων ἡμῖν ἡδέων τε καὶ λυπηρῶν. Ὁ γὰρ [i] ὀρθὸς ἐνυπάρχων λόγος, σωφροσύνην καὶ ἀνδρείαν ἑκατέρωθεν παραστήσας τῇ ψυχῇ τοὺς ἀδαμαντίνους φύλακας, ἀνεξαπατήτους ἡμᾶς διατηρήσει καὶ ἀπὸ τῆς τῶν προσηνῶν [k] θωπείας, καὶ ἀπὸ τῆς
τῶν φοβερῶν καταπλήξεως· οἷς ἐπιγίνεται δικαιοσύνη ἀκρι- [114]
βὴς, ἣν παρήγγειλεν ἄνω που ἀσκεῖν ἔργῳ τε λόγῳ τε. Οὕτω μὲν οὖν οὐδεὶς οὐδαμῶς ἡμᾶς ἀναπείσει, ἢ λόγον

[h] Λόγῳ—ἔργῳ] λόγων—ἔργῃ S. λόγων—ἔργων M. 2. [i] ὀρθὸς] ὀρθῶσ S. [k] θωπείας] θεραπείας Med. et Vat. male Salv. conjung. utrumque θεραπείας ἢ θωπείας. Med. 2. θωπείας, neque mutandum: alludit ad locum Platon. II. p. 633 D. Holst.

προέσθαι, ἢ ἔργον τι [l]διαπράξασθαι, ὃ μὴ τῷ ὀρθῷ λόγῳ ἐστὶ σύμφωνον. Εἰ γὰρ πάντων μάλιστ' αἰσχυνοίμεθ' ἑαυτοὺς, δῆλον ὡς οὐδεὶς ἡμῖν αἰδεσιμώτερος ἡμῶν αὐτῶν φανήσεται, οὐδὲ φοβερώτερος, ὡς προκαλέσασθαι παρὰ τὸ δέον [m]εἰπεῖν τι ἢ πρᾶξαι. Ἐπιβλαβὲς γὰρ τῇ ψυχῇ ἑκάτερον. Τὸ δὲ ἐκείνῃ βλαβερὸν, τοῦτο καὶ ἡμῖν ἀσύμφορον· ἐπείπερ Ἡμεῖς ἡ ψυχή. Ἀκριβῶς οὖν ἀκουστέον [n]τοῦ ὅ τι [nn]τοι μὴ βέλτερόν ἐστι· κατ' ἐκείνου [o]φέροντας τὴν
[153] ἀντωνυμίαν [p]τοι, ὃ κυρίως σὺ εἶ. Ἐὰν οὖν, τὸ λεγόμενον,

[l] διαπράξασθαι] πράξασθαι S. [m] εἰπεῖν τι] τι om. S. [n] τὸ ὅτι] τοῦ ὅτι S. M. Vat. [nn] τοι] σοι S. Vat. M. [o] φέροντες] φέροντας S. [p] τοῦ οἷος κυρίως] τοῦ οἷος κυρίως ./. σὺ εἶ S. κυρίως ἐστι M. 2. Sed nihil juvat. Pro τοῦ autem omnino scribendum τοι, et ex sequenti voce rectius prima syllaba abjiceretur, ut legatur ὃς κ. σὺ εἶ. ita sensus loci liquidus erit.—Ex Med. leg. τοῦ σοι ὃς κυρίως. HOLST.

5. εἰπεῖν τι] Editor Cant. hic τι addidit, monitu Bentleii; quod quidem additu necessarium ea, quæ citat, loca demonstrant; præcipue vero locus, qui illum fugit, in Comm. in vers. 2. ubi eadem sunt verba, τῶν δεόντων εἰπεῖν τι, ἢ πρᾶξαι, atque hic quidem operarum tantum incuria omissum videtur, cum Curter. Latine reddat *aliquid*. ASHT.

8. φέροντες] Syntaxis grammatica poscere hic videtur φέρουσι, sc. ἀκουστέον ἡμῖν —, φέρουσι —. Sed Atticorum moris est hæc casuum mutatio, ut a Budæo, Zuingero, aliisque dudum est observatum. Sic Thucyd. lib. 7. Συρακουσίοις κατάπληξις ἐγένετο, ὁρῶντες—, sc. pro ὁρῶσι. Dinarch. Orat. contra Demosth., οὐ προσεκτέον ὑμῖν ἐστι τοῖς τούτων λόγοις, εἰδότας ὅτι—, pro εἰδόσι. Ita et ipse Hierocles pag. 102. ἔπεται—(ἡμᾶς) φέρειν αὐτὰ, μηδὲν ἐγκαλοῦντες, pro ἐγκαλοῦντας, ut ibi notavimus. ASHT.

9. τοι, ὃ—] Sic a Bentleio emendatum reposuit editor Cant. pro τοῦ οἷος in editt. prioribus, quod sensu plane caruit; sicque ego non invitus admitto, quia idem pronomen τοι manifeste vult Hierocles, quod præcessit in illis, ὅ τι τοι μὴ βέλτερον. Quin et Bentleii hic sagacitatem laudo; ita tamen, ut in laudis partem haud minimam veniat Dacerius; cujus versionem Gallicam Needham fortasse inconsulte neglexit, sed, ni multum fallor, vidit et attendit sagacissimus Bentleius, atque secundum illam Græca prius edita interpolavit; sic enim Gallice reddiderat Dacerius, *rapportant ce pronom toy à ce que tu es véritablement*, i. e. referentes hoc pronomen, tibi, ad id, quod tu vere es, quibus Græca hic emendata ad verbum respondent, sc. κατ' ἐκείνου φέροντες τὴν ἀντωνυμίαν τοι, ὃ κυρίως σὺ εἶ. ASHT.

9. Ἐὰν τὸ λεγόμενον] Subaudi ᾖ. Sic postea, ἵν' ᾖ τὸ λεγόμενον. ASHT.

μηδεὶς μήτε δι' ἔργων, μήτε διὰ λόγων, παραγάγῃ σέ τι ποιῆσαι ἢ εἰπεῖν, ὅ τι μὴ συμφέρον ἐστί σοι· σὺ δὲ ἦσθα ἡ λογικὴ ψυχή· οὐκ ἀνέξῃ, ἐὰν εὖ φρονῇς, τοῦ παραβλάπτοντός σε, τὸν ὄντα λογικὴν οὐσίαν. Σὺ γὰρ εἶ ἡ [q]ψυχή· τὸ δὲ σῶμα, σόν· τὰ δὲ ἐκτὸς, τοῦ σώματος. Ἐκ γὰρ τῆς διαστάσεως ταύτης καὶ τὸ ἀσύγχυτον τηρήσεις τῶν φύσεων, καὶ τὴν ἀνθρωπίνην οὐσίαν ἥτις ἐστὶν εὑρήσεις, οὐδέποτε τὸ σῶμα, οὐδὲ τὰ ἐκτὸς, σεαυτὸν εἶναι τιθέμενος, οὐδ' ὑπεραγωνιῶν τούτων ὥσπερ σαυτοῦ, ἵνα μὴ πρὸς φιλοσωματίαν καὶ φιλοχρηματίαν καθελκυσθῇς. Ὅλως γὰρ ὃ ἐσμὲν ἀγνοήσαντες, καὶ οὗ τὴν ἐπιμέλειαν [r]ποιούμεθα συναγνοήσομεν, πάντων μᾶλλον ἐπιμελούμενοι, [s]ἢ ἡμῶν αὐτῶν, ὧν δεῖ προηγουμένην ποιεῖσθαι τήνδε τὴν [t]ἐπιμέλειαν. Εἰ γὰρ τὸ χρώμενον τῷ σώματί ἐστιν ἡ ψυχὴ, τὸ δὲ σῶμα ὀργάνου τάξιν ἐπέχει πρὸς αὐτὴν, τοῦ δὲ ὀργάνου χάριν τὰ ἄλλα πρὸς βοήθειαν τῆς ῥεούσης αὐτοῦ φύσεως [v]ἐξηυρημένα· δῆλον, ὡς τοῦ ἡγουμένου καὶ πρώτου προηγουμένην τε καὶ

q ψυχή] λογικὴ ψυχὴ S. r ποιώμεθα] ποιούμεθα S. s ἢ ἡμῶν] ἢ om. S. t τὴν ἐπιμέλειαν] τήνδε τὴν ἐ. S. v ἐξευρημένα] ἐξηυρημένα S.

1. παραλογίσαιτό σε] Editor Cant. hic addidit σε, quod in prioribus defuit; agnovit vero Aurispa; atque sic G., ubi melius fortasse legitur, παραγάγῃ σε [et sic S]. Ita paulo ante, οἱ τρόποι τῆς παραγωγῆς ἢ διὰ λόγων, ἢ ἔργων, et postea, ὅσα οὐκ ἐᾷ παράγεσθαι ὑπ' οὐδενὸς οὔτε λόγῳ οὔτε ἔργῳ, Comment. in vers. 30. ASHT.

4. Σὺ γὰρ εἶ ἡ ψυχή·] Hoc sæpe inculcat Hierocles, multique alii, quos non operæ est hic citare. Vide vero Plat. Alcib. 1. p. 131. Simplic. Procem. in Epict., Antonin. 4. 41. et 12. 3. ASHT.

5. τὸ δὲ σῶμα, σόν· τὰ δὲ ἐκτὸς] Τὸ σῶμα et τὰ ἐκτὸς sæpe conjunguntur, ut mox: οὐδέποτε τὸ σῶμα, οὐδὲ τὰ ἐκτὸς, σεαυτὸν εἶναι τιθέμενος. et p. 118. πρὸς τὸ σῶμα ἢ τὰ ἐκτὸς δουλαγωγήσωμεν. p. 122. ὠφέλειαν δὲ, οὐ τὴν τοῦ σώματος, οὐδὲ τὴν τῶν ἐκτὸς, et alibi. Sententia autem iterum habetur p. 128. ἡμῶν δέ ἐστιν, ἀλλὰ οὐχ ἡμεῖς,—θυμὸς, ἐπιθυμία, αἴσθησις, αὐτὸ τὸ σῶμα. Τὸ σῶμα, ait, οὐχ ἡμεῖς, ἀλλὰ ἡμῶν sive ἡμέτερον: ut ex distinctione supra allata τὸ σῶμα οὐ σὺ, ἀλλὰ σόν. Res vero externæ corporis sunt, atque ejus usibus et necessitatibus inserviunt. NEEDHAM.

πρώτην δεῖ ποιεῖσθαι τὴν ἐπιμέλειαν· δευτέραν δὲ, τὴν τοῦ δευτέρου. Ὅθεν οὐδὲ ὑγιείας ἀμελήσει ὁ σοφός· οὔ τι προη- [116]
[154] γούμενον τὸ σῶμα δοξάζων, ἀλλὰ [w]πρὸς τὴν τῆς ψυχῆς χρείαν αὐτὸ παιδαγωγῶν, ὅπως ἂν ταῖς ἐνεργείαις αὐτῆς ἀνεμποδίστως ὑπακούῃ· καὶ ἐκ τρίτου τῶν τρίτων ἐπιμελήσεται, οἰκονομῶν τὰ ἐκτὸς πρὸς τὴν τοῦ ὀργάνου σωτηρίαν. [x]Πρώτης οὖν τῆς ψυχῆς, τάχα δὲ καὶ μόνης, ἐπιμελήσεται· εἴπερ ἡ τῶν μετ' αὐτὴν ἐπιμέλεια πρὸς τὴν ταύτης προκοπὴν τείνει. [y]Πᾶν δὲ τὸ παρὰ τὴν ἀρετὴν, τοῦτο ἦν, ὅ τι τοι μὴ βέλτερόν ἐστιν· ᾧ γὰρ συμφέρον ἡ ἀρετὴ, τούτῳ [z]τὸ παρ' ἐκείνην ἀσύμφορον. Κύκλον οὖν περιβάλλεσθαι συμβουλεύει τῶν ἀρετῶν φυλακτικὸν ὁ μηδὲν πείθεσθαι δεῖν λέγων τῷ πειρωμένῳ τῆς ἀρετῆς ἀπάγειν, δι' οἵων ἂν ἔργων ἢ [a]λόγων τῆς πρὸς τὸ χεῖρον ἐκτρεπούσης πειθοῦς [b]προσαγάγῃ τὴν πεῖραν· οἷον, μὴ ὑποσχέσεις προσάγων τύραννος, ἢ ταύτας ἔργῳ βεβαιῶν· μὴ ἀπειλαῖς θορυβῶν, ἢ αἰκίαις βιαζόμενος· μὴ φίλιον πρόσωπον, τῇ οἰκειότητι τὴν ἀπάτην ἐπικρυπτόμενον, ἀπαγάγῃ σε τοῦ συμφέροντος τῇ ψυχῇ· ἦν δὲ ἀλήθεια καὶ ἀρετὴ τὰ ταύτην ὠφελοῦντα μόνα. Ἀνεξαπάτητος δὲ ἔσῃ, εἰ τὴν οὐσίαν τὴν σαυτοῦ [bb]γνοὺς, ἥτις τέ ἐστι, καὶ ᾧ φύσει ἔοικε, τῆς πρὸς [c]ἐκεῖνο ὁμοιώσεως ἀεὶ τὴν ἐπιμέλειαν [cc]ἔχοις· πᾶν δὲ τὸ τῆς ὁμοιώσεως [d]ἀπάγον μεγίστην ἡγοῖο ζημίαν. Τοῦτο γὰρ ἦν, ὅ τι τοι μὴ βέλτερον

[w] πρὸς τὴν] εἰς τὴν Vat. M. [x] Πρώτης] πρώτην S. [y] Πᾶν δὲ] πᾶν δὴ S. [z] τὸ παρ'] τὸ om. S. [a] λόγων τῆς] λόγων τῇ τῆς S. Vat. M. λόγων τὴν M. 2. [b] προσάγῃ unus ms. προσαγωγῇ alter ap. Holst. [bb] γνοὺς] καταγνοὺς ms. ap. Holst. [c] ἐκεῖνο] ἐκεῖνον Vat. et M. Sal. ut subintell. Θεὸς, et eo referendum apparet statim ex pag. seq. HOLST. [cc] ἔχῃς] ἔχοισ S. [d] ἀπάγον] παράγον Vat. M. ἐπειδὴ καὶ V. M.

19. Ἀνεξαπάτητος δὲ ἔσῃ, εἰ τὴν οὐσίαν τὴν σαυτοῦ γνοὺς,—] Ita fere de vi a tyranno illata Epictet. ap. Arrian. 1. 18. ὁ τύραννος δήσει· τί; τὸ σκέλος. Ἀλλ' ἀφελεῖ· τί; τὸν τράχηλον. Τί οὖν οὐ δήσει, οὐδ' ἀφελεῖ; τὴν προαίρεσιν. Διὰ τοῦτο παρήγγειλον οἱ παλαιοὶ τὸ, γνῶθι σεαυτόν· &c. ASHT.

22. ἀπάγον] Ita G. rectius plane, quam παράγον [sic S.] in ante editis. Sic autem supra, τῆς

[157] ἐστι, τὸ τῆς θείας ὁμοιώσεως ἀπάγον· ἐπειδὴ καὶ βέλτερον ἡμῖν τὸ πρὸς τὴν τοιαύτην ὁμοίωσιν φέρον. Τί οὖν προσάξει τις [dd]ἱκανὸν ἀποστῆσαι ἡμᾶς τῆς πρὸς Θεὸν ὁμοιώσεως καὶ φιλοσοφίας; χρημάτων [e]δόσιν, ἢ ἀφαίρεσιν; Ἀλλὰ με- [118]
μαθήκαμεν μετὰ τοῦ ὀρθοῦ λόγου καὶ προσίεσθαι ταῦτα καὶ ἀποτίθεσθαι, καὶ τὸ ἄστατον τῆς κτήσεως αὐτῶν ἡμᾶς οὐ λανθάνει. Τί γάρ; ἂν μὴ [f]οὗτος αὐτὰ ἀφέληται, [καὶ γενναίως αὐτῶν ὑπομείνω τὴν ἀποβολὴν] κλέπτης αὐτὰ οὐκ ἀφαιρήσεται; ναυάγιον αὐτὰ οὐ παραιρήσεται; πόσοι δὲ ἄλλοι τρόποι [g]διαφθορὰν χρημάτων ἐπάγουσιν; [τ]Ὧν ἕνεκα καὶ τὸν ὑπὲρ ἀρετῆς λογιούμεθα λόγον, [h]ἐκουσίαν

dd ἱκανὸν] ἱκανῶς S. e δόσις ἢ ἀφαίρεσις S. f οὗτος] οὕτος S. M.
g διαφθορὰν] διαφορὰν S. h ἐκουσίαν] ἀκουσίαν S.

ἀρετῆς ἀπάγειν, et ἀπαγάγῃ σε τοῦ συμφέροντος, atque paulo post hæc ipsa phrasis repetitur, τὸ τῆς ὁμοιώσεως ἀπάγον. ASHT.

4. δόσιν, ἢ ἀφαίρεσιν] Sic G.; atque ita certe legit ipse Curter., Latine reddens *largitionem, aut ablationem*, etsi typothetæ incuria editum legitur, δόσις, ἢ ἀφαίρεσις pro δόσιν, ἢ ἀφαίρεσιν. ASHT.

5. ταῦτα] Sic G. αὐτὰ edd. pr. S.

7. ἀφέληται [καὶ γενναίως αὐτῶν ὑπομείνω τὴν ἀποβολὴν] κλέπτης—] Nos illa uncis inclusa restituimus in locum, quo Curter. in codice suo inventa edidit, etsi loco plane inepta sunt: qua de causa editor Cant. [ex Bentleii sententia] ea loco movit, atque paulum mutata superius collocavit post ἀποτίθεσθαι, ubi apte stare posse censuit: atqui sic posita ταυτολογίαν facere videntur, cum γενναίως ὑπομεῖναι ἀποβολὴν eodem fere redeat, quo μετὰ ὀρθοῦ λόγου ἀποτίθεσθαι; quin et horum ibi connectio fit tantum ex arbitraria verbi ὑπομείνω in ὑπομεῖναι mutatione, atque nulla apparet ratio, cur tam longe sejuncta a scriba ponerentur. Quocirca cum illa neutri loco conveniant, et melius plane abesse possint, subest suspicio, scholion fuisse hoc e superioribus γενναίως ὑπομένων χρημάτων ἀποβολὴν, quod in margine scriptum librarius stolide hic intrusit, atque omnino esse rejiciendum. Aurispa, sicut Curter., in suo etiam codice invenit illa καὶ γενναίως—, ut et alia incondita, inter ἀφέληται et κλέπτης posita, quæ sic vertit, et *magnanimiter illarum perditionem patietur, ab eo, qui non habet pecunias*. His igitur aut hic tribuendus absurde est locus, aut (quæ mea est sententia) omnino nullus. ASHT.

10. [τ]Ὧν ἕνεκα καὶ τὸν—] Rectissima est hæc lectio, quam e G. [et sic S.] recepimus pro ὧν ἕνα καὶ τὸν— in prius editis. At in sequentibus, λογιούμεθα λόγον, Bentleio displicet vox λόγον ut minus apta, suasque nobis conjecturas offert [sc. ἀγῶνα aut πόνον]; quibus tamen minime indigemus; quandoquidem hæc est phrasis a philosophis sæpe usurpata: sic enim,

πενίαν μετὰ τοῦ καλοῦ ἀνταλλαττόμενοι χρημάτων, καὶ μετ' εὐλογίστου αἰτίας αὐτὰ ἀποδυόμενοι, καὶ τοσούτου τὴν ἀρετὴν ὠνούμενοι, ὅσον ἂν ἡμᾶς βλάπτῃ ὁ ταύτης παρακινεῖν ἐπιχειρῶν. Ἀλλὰ στρεβλώσεις προσοίσει καὶ θάνατον. Πρόχειρον οὖν πρὸς ταῦτα ἀποκρίνεσθαι, ὡς οὐχ ἡμεῖς ταῦτα πεισόμεθα, ἐάν γε τὸ Ἡμεῖς τηρῶμεν· ἀλλὰ τὸ σῶμα ἔσται τὸ ὑβριζόμενον· τὸ σῶμα τὸ ἀποθνῆσκον, οὐδὲν [i]παρὰ τὴν ἑαυτοῦ φύσιν πάσχον. Φύσει γάρ ἐστι θνητὸν, καὶ τμητὸν, καὶ μυρίοις ὑποκείμενον πάθεσιν, ἃ τυράννου μᾶλλον ἡ τυχοῦσα νόσος ἐπήγαγε. Τί οὖν φεύγομεν ἃ οὐκ ἔστιν ἐφ' ἡμῖν φεύγειν; Οὐ τηροῦμεν δὲ
[158] μᾶλλον, ἅ ἐστιν ἐφ' ἡμῖν τηρῆσαι; Τὸ γὰρ θνητὸν φύσει καταδεδικασμένον θανάτῳ οὐκ ἔστιν ὁτιοῦν ποιοῦντας [k]ἐκσῶσαι τούτου· τὸ δὲ ἀθάνατον ἡμῶν (ὅπερ ἐστὶν ἡ ψυχὴ καὶ ἡμεῖς) δυνατὸν ἀρετῇ κοσμῆσαι μὴ μελανισθέντας περὶ τὸν ἀπειλούμενον θάνατον. Ὃν εἰ μετ' εὐλόγου αἰτίας [l]ὑπομείναιμεν, κοσμήσομεν τῇ ὀρθῇ προαιρέσει τὴν ἀνάγκην τῆς φύσεως. Ταῦτα δή ἐστι τὰ μεγάλα, ὧν ἂν ἄλλος ἄλλῳ προτείνειέν τι παθεῖν, ἢ ἀποτίσαι· τὰ δὲ εἴσω τῆς ψυχῆς ἀδούλωτα ἄλλῳ, καὶ ἐλεύθερα, ἐὰν ἡμεῖς ἐθελήσωμεν· ἐὰν μὴ πρὸς τὸ σῶμα, ἢ τὰ ἐκτὸς, ἀμέτρῳ προσπαθείᾳ τὴν ἐλευθερίαν ἡμῶν ἑκόντες δουλαγωγήσωμεν, ζωῆς

[i] παρὰ φύσιν τὴν αὐτοῦ S. [k] ἐξῶσαι τούτου S. [l] ὑπομείναιμεν] ὑπομείνομεν S. qui statim κοσμήσαιμεν.

ut alios mittam, ipse Plato in Timæo p. 34. λογισμὸς-λογισθεὶς, et in Phædro, ἐξ ἑνὸς λόγου λελογισμένου. ASHT.

8. παρὰ τὴν ἑαυτοῦ φύσιν—] Sic G. παρὰ τὴν φύσιν τὴν ἑαυτοῦ edd. pr.

13. ἐκσῶσαι τούτου] Rectissime sic legendum conjecit Salvin. ap. Dacer., et post eum Davisius; atque ita plane legit Curter., qui Latine reddidit, *mortis decreto liberare*; nam aliter sonant illa male edita, ἐξῶσαι τοῦτο. ASHT.

17. κοσμήσομεν] Sic G. κοσμήσαιμεν edd. pr.

20. ἐθελήσωμεν] Sic G. θέλωμεν [S. cum] edd. Atque, si codicis adesset auctoritas, pro sequentibus ἐὰν μὴ πρὸς, lubens legerem, ἐὰν μὴ τῇ πρὸς—; nam desideratur plane τῇ. ASHT.

[120] [m]ἐφημέρου καὶ χρημάτων τὸ ἀγαθὸν τῆς ψυχῆς ἀποδιδό-
μενοι. Ταῦτα ἡμῖν εἰσηγεῖται τὸ προκείμενον παράγγελμα
ἐπὶ παντὶ τελεῖν, δι' ὧν τὸ μόνιμον καὶ ἀπαράγωγον τῆς
ἀρετῆς ἐπισφραγίζεται. Ἀλλὰ ἐπὶ τὰ ἑξῆς μετίωμεν,
πρὸς τὸ αὐτὸ δόγμα τὴν ἀναφορὰν ἔχοντα.

XIV. 27—29.

Βουλεύου δὲ πρὸ ἔργου, ὅπως μὴ μωρὰ πέληται·
[161] (δειλοῦ τοι πρήσσειν τε λέγειν τ' ἀνόητα πρὸς ἀνδρὸς)
ἀλλὰ τάδ' ἐκτελέειν, ἅ σε μὴ μετέπειτ' ἀνιήσῃ.

Ἡ εὐβουλία καὶ γεννᾷ τὰς ἀρετὰς, καὶ τελειοῖ, καὶ
συνέχει, μήτηρ ἅμα καὶ [n]τιθήνη καὶ φύλαξ αὐτῶν [o]γενο-
μένη. Βουλευομένων γὰρ ἡμῶν ἐφ' ἡσυχίας ὅν τινα τρόπον
χρὴ ζῆν, τὸ τῶν ἀρετῶν προαιρεῖται κάλλος. Ἑλομένη δὲ
[p]διαθλεῖν γενναίως πάντας τοὺς ὑπὲρ ἀρετῆς ἀγῶνας, καὶ
συνεθισθεῖσα τῇ κτήσει τῶν καλῶν ἤδη, κἂν ταῖς τῶν περι-
στάσεων ταραχαῖς τηρεῖ τὴν γνώμην ἀκέραιον, οὐδὲν ὑπὸ
τῶν ἔξωθεν θορυβούντων ἐκπληττομένη πρὸς τὸ μεταθέσθαι
ἄλλον εὐδαίμονα εἶναι βίον, ἢ ἐκεῖνον, ὃν ἐφ' ἑαυτῆς ἐλογί-
σατο κάλλιστον. Ὅθεν τρία γίγνεται τῆς εὐβουλίας τὰ
ἔργα. Πρῶτον, ἐκλογὴ τοῦ ἀρίστου βίου· δεύτερον, ἄσκησις
τοῦ προαιρεθέντος· τρίτον, τήρησις ἀμετάστατος τῶν μελε-
τηθέντων ὀρθῶς. Τούτων δὲ τὸ μὲν πρῶτόν ἐστιν ὁ πρὸ
ἔργου λόγος, ὁ τὰς ἀρχὰς τῶν πράξεων ὑποτιθέμενος. Τὸ
δὲ μέσον, ὁ σὺν τῷ ἔργῳ λόγος, ὁ [q]προσβιβάζων ἕκαστον

m ἐφημέρου] ἀφημέρου S. n τίθηνος] τιθήνη S. Sal. M. o γενο-
μένη] γινομένη S. p διαθλεῖν] διαθλεῖ S. q προσυμβιβάζων] προσεμ-
βιβάζων Sal. προσβιβάζων M.

5. τὸ αὐτὸ δόγμα] Sic G. S. τὰ αὐτὰ δόγματα editt. pr.

21. μελετηθέντων] ἐπιμελετηθέντων G.

24. προσυμβιβάζων] G. [et S.] προσβιβάζων non male, sed retineo προσυμβιβάζων, i. e. πρὸ ἔργου συμβιβάζων. ASHT.

τῶν πραττομένων ταῖς ἡγουμέναις ἀρχαῖς. Τὸ δὲ τρίτον, ὁ ἐπὶ τῷ ἔργῳ λόγος ἀναλογιζόμενος τὰ πεπραγμένα, καὶ κρίνων εἰ δεόντως πέπρακται. Διὰ πάντων δὲ τὸ τῆς
[162] εὐβουλίας καλὸν ἐπανθεῖ, νῦν μὲν κυούσης τὰς ἀρετὰς, νῦν [122]
δὲ ἐκτρεφούσης, καὶ φρουρούσης ἐκ [r]τρίτου. Ὡς ἀρχήν τε καὶ μέσα καὶ τελευτὴν τῶν ἀγαθῶν ἐν ταύτῃ ἡμῖν κεῖσθαι, τήν τε ἀπαλλαγὴν τῶν κακῶν διὰ ταύτης μόνης ἡμῖν παραγίνεσθαι, καὶ τὴν τῶν ἀρετῶν τελείωσιν. Λογικῆς γὰρ τῆς φύσεως ἡμῶν οὔσης, καὶ διὰ τοῦτο βουλευτικῆς, οἰκείᾳ δὲ προαιρέσει πρὸς τὸ εὖ ἢ κακῶς βουλεύεσθαι προσαγομένης, ἡ μὲν κατὰ φύσιν ζωὴ σώζει τὴν οὐσίαν αὐτῆς, ἡ δὲ παρὰ τὸ δέον αἵρεσις διαφθείρει ἐφ' ὅσον οἷόν τε. Φθορὰ δὲ ἀθανάτου πράγματος κακία, ἧς ἀβουλία μήτηρ, ἣν ἐκφυγεῖν ὁ λόγος παραινεῖ, ὅπως μὴ μωρὰ πέληται. Μωρὰ δὲ [s]τὰ ἄθλια καὶ κακά. Τὸ γὰρ λέγειν ἢ πράσσειν ἀνόητα δειλοῦ πρὸς ἀνδρός ἐστιν, ἀντὶ τοῦ, κακοδαίμονος ἴδιον ἀνθρώπου. [t]Εἰ δὲ βουλεύοιο πρὸ ἔργου, οὔτε ἐρεῖς τι οὔτε πράξεις ἀνόητον, ἐφ' οἷς ἀνιᾶσθαι ἀνάγκη τοὺς τῇ ἀβουλίᾳ ὑπευθύνους. Τὸ γὰρ σαθρὸν τῆς αἱρέσεως τῇ μεταμελείᾳ ἐλέγχεται πείρᾳ δεῖξαν τὴν βλά-
βην, ὥσπερ αὖ τὸ τῆς εὐβουλίας γενναῖον πρὸς τὸ μόνιμον
[165] ἄγει τῆς ἐκλογῆς, ἐπ' αὐτῶν τῶν ἔργων τὴν ὠφέλειαν ἐπιδεικνύμενον· ὠφέλειαν δὲ, οὐ τὴν τοῦ σώματος, οὐδὲ τὴν τῶν ἐκτὸς, ἀλλὰ τὴν ἡμῶν αὐτῶν, οἷς καὶ τὸ βουλεύεσθαι πρὸ ἔργου παραγγέλλεται, καὶ ταῦτα ἐκτελεῖν, ἃ μὴ [v]ἀνιήσῃ ἡμᾶς· ἡμᾶς δὲ δῆλον ὅτι τὴν ψυχήν. Τί γὰρ ὄφελος ἐπιορκίαις, ἢ φόνοις, ἢ ἄλλαις τισὶ κακοπραγίαις

[r] τρίτου] τρίτων Sal. Vat. Med. τρίτου M. 2. [s] ἄθλια] τὰ ἄθλια S.
[t] Εἰ δὲ] εἰ δὴ S. [v] ἀνιήσῃ] ἀνιήσειν S.

12. φθείρει] διαφθείρει G. S.

λήϊσασθαι χρήματα, καὶ πλουτεῖν τὰ ἔξω, πενόμενον τὴν ψυχὴν τῶν ἐπιβαλλόντων αὐτῇ καλῶν· καὶ πρὸς [w]τοῦτο ἢ ἀναισθήτως ἔχειν, καὶ διὰ τοῦτο μᾶλλον ἐπιτείνειν τὸ κακὸν, ἢ εἰς αἴσθησιν τῶν εἰργασμένων [x]ὑπὸ τῆς συνειδήσεως ἑλκό- [124]
μενον στρεβλοῦσθαι τὴν ψυχὴν, καὶ δειμαίνειν τὰ ἐν ᾅδου δικαστήρια· καὶ μόνην ἴασιν εὑρίσκειν τὴν εἰς τὸ μὴ εἶναι καταφυγὴν, ὅθεν [y]αὐτῷ παρίσταται κακῷ τὸ κακὸν ἰᾶσθαι, φθορᾷ τῆς ψυχῆς τὴν κακίαν παραμυθουμένῳ, καὶ τὴν μετὰ θάνατον [z]οὐδένειαν ἑαυτοῦ καταψηφίζεσθαι φυγῇ τῶν τῆς κρίσεως πόνων; Οὐ βούλεται γὰρ ὁ κακὸς ἀθάνατον εἶναι τὴν αὐτοῦ ψυχὴν, ἵνα μὴ ὑπομείνῃ τιμωρούμενος. Καὶ φθάνει τὸν ἐκεῖ δικαστὴν, θάνατον ἑαυτοῦ παντελῆ καταψηφιζόμενος, ὡς πρέπον τὴν πονηρὰν ψυχὴν μηδὲ εἶναι. Ἀλλ' οὗτος μὲν, ὡς ἀβουλίᾳ πρὸς κακίαν ὑπενεχθεὶς, εἰκότως ἀμετρίᾳ τὴν καθ' ἑαυτοῦ ψῆφον ἐκφέρει. Οἱ δὲ ἐν ᾅδου δικασταὶ, ἅτε πρὸς τὸν τῆς ἀληθείας κανόνα τὴν
[166] κρίσιν ποιούμενοι, οὐ κρίνουσι μὴ εἶναι δεῖν τὴν ψυχὴν, ἀλλὰ πονηρὰν μὴ εἶναι, καὶ ὅπως ἂν μετριάσῃ τὸ κακὸν αὐτῆς πραγματεύονται, ἐπὶ σωτηρίᾳ τῆς φύσεως τὰς κολάσεις ἐπάγοντες, ἰατροῦ δίκην, τομαῖς τε καὶ καύσεσι τὰ [a]χειρώνεια ἕλκη θεραπεύοντες· καὶ τῶν ἡμαρτημένων δίκας [b]εἰσπράττοντες, μετανοίᾳ ψυχῆς τὴν πονηρίαν ἀφανίζειν πειρώμενοι· οὐκ αὐτὴν τὴν οὐσίαν ἐξιστάντες τοῦ εἶναι, ἀλλ'

[w] τοῦτο] τούτῳ S. [x] ὑπὸ] ἀπὸ S. [y] αὐτῷ] αὐτὸ S. qui mox φθαρᾷ. [z] οὐδένειαν] οὐδένιαν S. [a] χειρώνεια] χειρόνεια S. [b] εἰσπραττοντας ms. ap. Holstein.

6. κολαστήρια] G. δικαστήρια, [sic S.] et mox, ἐξευρίσκειν, [εὑρίσκειν S.]

12. θάνατον ἑαυτοῦ παντελῆ κ.] Addidimus e G. παντελῆ, [sic S.] quod sententia postulat; nam θάνατος παντελὴς est οὐδένεια illa supra dicta. Idem codex in sequentibus legit, καὶ ὡς πρέπον τὴν πονηρὰν ψυχὴν μηδὲ εἶναι νομίζει. ASHT.

19. πραγματεύονται] Ita G. S. πραγματεύσονται editt. pr.

εἰς τὸ εἶναι μᾶλλον ἐπανάγοντες τῇ τῶν λυμαινομένων παθῶν ἐκκαθάρσει. Κινδυνεύει γὰρ εἰς τὸ μὴ εἶναι ὑποφέρεσθαι ἡ ἀνθρωπίνη ψυχὴ διὰ τῆς εἰς τὸ παρὰ φύσιν ἐκτροπῆς, τῇ δὲ εἰς τὸ κατὰ φύσιν ἀνακλήσει πρὸς τὴν οὐσίαν τὴν [c]αὐτῆς ἐπανάγεται, καὶ ἀπολαμβάνει καθαρὸν τὸ εἶναι, ὃ τῇ συμμίξει τῶν παθῶν [cc]ἐκηραίνετο. Διὸ πειρᾶσθαι δεῖ μάλιστα μὲν μὴ ἁμαρτάνειν, [d]ἁμαρτάνοντας δὲ σπεύδειν ὡς ἐπὶ ἰατρικὴν τῆς πονηρίας τὴν δίκην, ἐπανορθουμένους τὴν ἀβουλίαν τῇ κρείττονι βοηθείᾳ. Ἐπεὶ γὰρ τοῦ εἶναι ἀγαθοὶ ἐκπεπτώκαμεν, τοῦ γίνεσθαι γοῦν ἀντιλαβώμεθα μεταμε- [126]
λείᾳ εὐγνώμονι τὴν θείαν ἐπανόρθωσιν [e]εἰσδεχόμενοι. Ἡ δὲ μετάνοια αὕτη φιλοσοφίας ἀρχὴ γίνεται, καὶ τῶν ἀνόητων ἔργων τε καὶ λόγων φυγή, καὶ τῆς ἀμεταμελήτου ζωῆς ἡ πρώτη παρασκευή. Ὁ γὰρ καλῶς πρὸ τῶν πράξεων βου-
[169] λευόμενος οὐ περιπίπτει λύπαις [ee]ἀκουσίαις, οὐδὲ λανθάνει τὰς ἀρχὰς καὶ τὰς ὑποθέσεις διδοὺς, ὧν τὰ συμπεράσματα καὶ τὰς ἐκβάσεις οὐκ ἀσμενίζει, ἀλλ' ἀεὶ τὸ παρὸν συντίθησι, τῶν ἄλλως ἐπισυμβαινόντων τὰς τύχας ἐκλογιζόμενος. Διὸ οὔτε [f]προσδοκίᾳ τῶν λεγομένων ἀγαθῶν τὸ ὄντως ἀγαθὸν ἂν [g]παρίδοι, οὔτε φόβῳ τῶν ἐναντίων τὴν τοῦ κακοῦ πρᾶξιν αἱρήσεται· ἑστώσῃ δὲ τῇ γνώμῃ πρὸς τοὺς θείους [h]κανόνας τὸν ἑαυτοῦ βίον ἀπευθύνει. Ἵνα δὲ γνῷς ὅτι δειλοῦ πρὸς ἀνδρός ἐστι πράσσειν τε καὶ λέγειν ἀνόητα, ὅρα Μήδειαν τὴν ἐν τῇ τραγῳδίᾳ τὰ καθ' [i]αὑτὴν ὀδυρομένην· ἥτις ἀβουλήτως τοὺς οἰκειοτάτους προδοῦσα δι' ἔρωτα ἔκτοπον ἀνδρὶ ξένῳ ἑαυτὴν ἐνεχείρισεν· ἔπειτα ὀλιγω-

[c] αὐτῆς] αὐτὴν S. [cc] ἐκηραίνετο] ἐκηραίνετ S. [d] ἁμαρτόντας] ἁμαρτάνοντας S. [e] εἰσδεχόμενοι] ἐκδεχόμενοι Vat. [ee] ἀκουσίαις] ἀκουσίοις S. [f] προσδοκίαις] προσδοκίασ S. προσδοκίᾳ Sal. M. [g] παρίδῃ] παρίδοι S. [h] κανόνας om. S. [i] αὐτὴν] ἑαυτὴν S.

10. ἀντιλαβώμεθα] Ita G. ἀντιλαμβανόμεθα edd. pr. ἀντιλαμβανώμεθα S. 24. Eurip. Med. 144.

ρουμένη ὑπὸ τούτου, ἀφόρητα πάσχειν οἴεται· καὶ ἐκ τῆς οἰήσεως ταύτης ἀκούεις οἷα βοᾷ·

διά μου κεφαλῆς φλὸξ οὐρανία
βαίη·

καὶ πρόεισιν εἰς ἔργα παράνομα· πρῶτον ἀνοήτως [k]ἀπευχομένη γεγενῆσθαι τὰ γενόμενα, εἶτα μανικῶς κακοῖς ἰᾶσθαι τὰ κακὰ πειρωμένη τὴν τῆς ἀβουλίας ἀρχὴν ἐξαλείφειν οἴεται τέλει χείρονι, παιδοκτονίᾳ προπετεῖ [l]τὴν ἄβουλον παιδοποιΐαν ἀρνουμένη. Εἰ δὲ βούλει, τὸν Ἀγάμεμνονα θέασαι τὸν Ὁμήρου, ὃς τῆς ἀμετρίας τοῦ θυμοῦ διδοὺς δίκας οἰμώζων ἀναφωνεῖ

[m]ἀλλ' ἀλαλύκτημαι, κραδίη δέ μοι ἔξω.

[170] Καὶ τὸ πυρῶδες τῶν ὀμμάτων, ὃ πάλαι ὑπὸ τῆς θυμικῆς διαθέσεως ἐξήπτετο, μεταπεσόντων αὐτῷ τῶν πραγμάτων, [128] τοῖς τῶν δακρύων ὄμβροις κατέψυχε. Τοιοῦτος γὰρ πᾶς ἀνόητος βίος, τῇδε κἀκεῖσε τοῖς ἐναντίοις πάθεσι μεταπίπτων, ἐν ἡδοναῖς μέν ἐστι μισητὸς, ἐν δὲ λύπαις ἐλεεινὸς, καὶ θαρρῶν προπετὴς, καὶ [n]δεδιὼς ταπεινός· καὶ ὅλως τοῦ τῆς εὐβουλίας γενναίου φρονήματος ἀμοιρῶν τῇ τύχῃ συμμεταβάλλει τὴν γνώμην. Ἵνα οὖν μὴ τοιούτων δραμάτων ἀναπιμπλώμεθα, πράσσοντες καὶ λέγοντες ἀνόητα, τῷ ὀρθῷ λογισμῷ διὰ πάντων ἡγεμόνι χρησώμεθα, τὸ Σωκρατικὸν ἐκεῖνο πληροῦντες, "ὡς ἐγὼ οὐδενὶ [o]οἷός τέ εἰμι πεί- "θεσθαι τῶν ἐμῶν, πλὴν τῷ λόγῳ, ὃς ἄν μοι λογιζομένῳ "ὀρθὸς φαίνηται." Ἡμῶν δέ ἐστιν, ἀλλὰ οὐχ ἡμεῖς,

[k] ἐπευχομένη μὴ] ἀπευχομένη S. omisso statim μή. ἀπευ. Sal. et M. 2.
[l] ἄβουλον] τὴν ἄ. S. et mox ἀρνμένη. [m] ἀλλ' om. S. [n] δεδιὼς] δεδειὼς S. [o] οἷος] οἷον S.

6. γενόμενα] Sic G. S. In editt. prior. γινόμενα.
12. Il. κ'. 94.
17. ἐν δὲ λύπαις] Add. δὲ e G. S.
23. Plato Crit. p. 46 B.

πάντα ὅσα πρὸς ὑπηρεσίαν τῇ λογικῇ οὐσίᾳ δέδοται, οἷον θυμὸς, ἐπιθυμία, αἴσθησις, αὐτὸ τὸ σῶμα, τὸ εἰς ὀργάνου χρείαν ταῖς δυνάμεσι ταύταις παρειλημμένον· ὧν οὐδενὶ χρὴ πείθεσθαι, πλὴν, ὡς φησι, τῷ ὀρθῷ λόγῳ, τουτέστι τῷ λογικῷ κατὰ φύσιν διατεθέντι. Τοῦτο γὰρ καὶ διορᾶν δύναται ἃ λεκτέα τε καὶ πρακτέα. Λόγῳ δὲ ὀρθῷ πείθεσθαι καὶ Θεῷ, ταυτόν ἐστι. Τὸ γὰρ λογικὸν γένος
[173] εὐμοιρῆσαν τῆς οἰκείας ἐλλάμψεως ταῦτα βούλεται, ἃ ὁ θεῖος ὁρίζει νόμος· καὶ γίνεται σύμψηφος Θεῷ ἡ κατὰ Θεὸν διακειμένη ψυχὴ, καὶ πρὸς τὸ θεῖον καὶ τὸ λαμπρὸν [p]ἀποβλέπουσα πράττει ἃ ἂν πράττῃ· ἡ δὲ [q]ἐναντίως διακειμένη πρὸς τὸ ἄθεον καὶ σκοτεινὸν εἰκῇ καὶ ὡς ἔτυχε [r]φερομένη, ἅτε τῆς μόνης τῶν καλῶν στάθμης, νοῦ καὶ Θεοῦ, ἀποπεσοῦσα, [πλανᾶται.] Τοσαῦτα μὲν καὶ τοιαῦτα [rr]τῆς εὐβουλίας τὰ ἀγαθὰ, καὶ τῆς ἐναντίας διαθέσεως τὰ κακά. Τὸ δὲ βουλεύεσθαι πρὸ ἔργου, πρὸς τοῖς ἄλλοις ἀγαθοῖς, καὶ τῆς οἰήσεως ἐκκόπτει τὰς ἀφορμὰς, καὶ πρὸς ἐπιστήμης ἀνάληψιν παρακαλεῖ, καὶ τὸν [s]ἥδιστον ἡμῖν προξενεῖ [130]
βίον, εἴπερ καὶ τὸν ἄριστον· δηλοῦται δὲ ταῦτα διὰ τῶν ἑξῆς.

p ἀποβλέπουσα] βλέπουσα S. q ἐναντίως] ἐναντία Vat. r φερομένη S. omisso mox πλανᾶται. rr τὰ τῆς ἐ. ἀγ. Med. s ἥδιστον] ἴδιον S.

6. λεκτέα] G. [et S.] ἃ λεκτέα, forte pro τὰ λεκτέα, quod malim. ASHT.

12. φερομένη, ἅτε—, ἀποπεσοῦσα, πλανᾶται] Sic G. Ita etiam habuit Curterii codex, sc. φερομένη, —, usque ad verbum πλανᾶται, quod cum deesset, mancam reddidit totam sententiam; cui medelam adhibere volens Curter. pro φερομένη ex conjectura in margine posuit φέρεται. Hanc autem conjecturam non incommodam videns editor Cant., arripuit illico, et, pro more suo, fidenter inseruit. Nos vero, optimi codicis auctoritate nixi, illud φέρεται ad marginem iterum relegamus. Huic fere similis est locutio in sequentibus, [p. 198. Needh.] ψυχὴ τῆς πρὸς θεὸν στάσεως ἀποπεσοῦσα πλανᾶται—, καὶ ἐκφέρεται—. ASHT. Nihil ad h. l. ex Med. enotavit Holsten. et suspicor illud πλανᾶται emendatori deberi. Forte nihil deerit, si post σκοτεινὸν cum Curterio leviter interpungas, et ex antecedentibus suppleas ἀποβλέπουσα πρ. ἃ ἂν πρ.

XV. 30—31.

[t]Πρᾶσσε δὲ μηδὲν τῶν μὴ ἐπίστασαι, ἀλλὰ διδάσκευ ὅσσα χρέων, καὶ τερπνότατον βίον ὧδε διάξεις.

Τὸ μὲν μὴ [v]ἐγχειρεῖν οἷς οὐκ [w]ἴσμεν ἀναμαρτήτους ἡμᾶς διαφυλάττει μόνον· τὸ δὲ διδάσκεσθαι τὰ πρὸς τὴν
[174] ἀρίστην ζωὴν συντείνοντα, πρὸς τῷ ἀναμαρτήτῳ, καὶ τὴν κατόρθωσιν ἐν ταῖς πράξεσιν ἡμῖν παρέχεται. Ἡ μὲν γὰρ σύνεσις τῆς ἀγνοίας τὴν ἐκ τῆς οἰήσεως ἐγειρομένην προπέτειαν ἐκκόπτει· ἡ δὲ τῆς ἐπιστήμης κτῆσις τὸ τῶν ἐνεργειῶν [x]ἀπαραπόδιστον δίδωσιν. Ἀμφότερα δὲ καλὰ, καὶ τὸ εἰδέναι ὅτι οὐκ ἴσμεν, καὶ τὸ γνῶναι ἃ οὐκ ἴσμεν· οἷς ἕπεται βίος ὁ ἄριστος ἅμα καὶ ἥδιστος. Οὗτος δέ ἐστιν [y]ὁ οἰήσεως μὲν καθαρεύων, ἐπιστήμης δὲ πλήρης· ἐπὶ μηδενὶ μὲν ἐπαιρόμενος ὧν οὐκ οἶδε, μανθάνειν δὲ ἐθέλων ὅσα ἄξια μαθήσεως. Ἄξια δὲ ἐκεῖνα μόνα, ὅσα πρὸς τὴν θείαν ὁμοίωσιν ἡμᾶς [z]ἀνάγει· ὅσα [a]ποιεῖ βουλεύεσθαι πρὸ ἔργου, ὅπως μὴ μωρὰ πέληται· ὅσα οὐκ ἐᾷ [b]παράγεσθαι ὑπ' οὐδενὸς οὔτε λόγῳ, οὔτε ἔργῳ· ὅσα διακρίνειν [c]ἱκανοὺς ποιεῖ τῶν προσπιπτόντων λόγων τὸ διάφορον· ὅσα τὰς δαιμονίας τύχας πράως φέρειν καὶ [d]ἰᾶσθαι πείθει, καὶ τὴν θανάτου καὶ πενίας ἀφοβίαν διδάσκει, καὶ δικαιοσύνης ἄσκησιν, καὶ γαστρὸς καὶ τῶν περὶ τὴν γαστέρα τὴν ἐγκράτειαν· ὅσα τοὺς [e]φιλίας νόμους εἰσηγεῖται, καὶ τὴν γονέων τιμήν· ὅσα τῶν κρειττόνων γενῶν τὸ σέβας ὑποδείκνυσι. Ταῦτα καὶ τὰ τοιαῦτά ἐστιν, ἃ διδάσκεσθαι χρῆναί φησιν

[t] Πρῆσσε] πρᾶσσε S. [v] ἐπιχειρεῖν] ἐγχειρεῖν S. Med. Vat. [w] ἴσμεν] ἴσμεν S. et sic infra. [x] ἀπαρεμπόδιστον] ἀπαραπόδιστον S. Vat. sic infra p. 103, 16. et supra p. 29, 17. [y] οἰήσεως] ὁ οἰ. S. [z] ἀνάγει] ἄγει S. [a] ποιεῖ] ποιεῖν S. Sal. Vat. [b] παράγεσθαι] παράγεσθαι πρὸ ἔργου S. [c] ἱκανῶς Sal. Vat. [d] ἰᾶσθαι] ἰάσασθαι S. [e] τῆς φιλίας] τῆς om. S. et Sal. alius ms. ὅσα τε φ.

ὁ παρὼν λόγος, οἷς ἕπεται βίος [f]ὁ τερπνότατος. Ὁ γὰρ [132]
[177 ἀρετῇ διαπρέπων καὶ ἡδονὰς ἀμεταμελήτους καρποῦται μιμουμένας τὸ τῆς ἀρετῆς μόνιμον. Πέφυκε γὰρ πᾶσα ἡδονὴ ἐνεργείας ἠστινοσοῦν εἶναι παρακολούθημα. Οὐ γὰρ αὐτὴ καθ' [g]ἑαυτὴν τὴν ὑπόστασιν ἔχει, ἀλλ' ἐπακολουθεῖ τάδε ποιοῦσιν ἡμῖν ἢ τάδε. Διὸ ταῖς μὲν φαυλοτέραις τῶν ἐνεργειῶν αἱ χείρους τῶν ἡδονῶν ἕπονται, ταῖς δὲ ἀμείνοσιν [h]ἡδοναὶ συνεισέρχονται [i]σπουδαῖαι· ὥστε μὴ μόνον τῷ καλῷ περιεῖναι τὸν σπουδαῖον τοῦ φαύλου, ἀλλὰ καὶ αὐτῇ τῇ ἡδονῇ νικᾶν, δι' ἣν μόνην δοκεῖ εἰς κακίαν ὁ φαῦλος ὑπάγεσθαι. Καὶ γὰρ ὅσῳ ἡ διάθεσις τῆς διαθέσεως ἀμείνων, τοσούτῳ καὶ ἡ ἡδονὴ τῆς ἡδονῆς αἱρετωτέρα. Ἐπεὶ οὖν ὁ κατ' ἀρετὴν βίος, τῆς θείας ὁμοιώσεως ἀντεχόμενος, τῷ ὄντι θεῖός ἐστιν, ὁ δὲ ἐν κακίᾳ, θηριώδης καὶ ἄθεος· δῆλον, ὡς ἡ μὲν τοῦ σπουδαίου ἡδονὴ τὴν θείαν εὐφροσύνην μιμεῖται νῷ καὶ Θεῷ [k]συνεπομένη, ἡ δὲ τοῦ φαύλου ἡδονὴ λεγομένη (δεδόσθω γὰρ κοινὸν τὸ ὄνομα) πρὸς τὴν θηριώδη καὶ ἔμπληκτον ὁμοιοῦται κίνησιν. Ἡδοναὶ γὰρ καὶ λύπαι μεθιστᾶσιν· ὧν ὁ μὲν [l]ἀρυόμενος ὅθεν τε δεῖ καὶ ὁπότε καὶ ὁπόσον, εὐδαιμονεῖ· ὁ δὲ τὰ μέτρα τούτων ἀγνοήσας, ἄθλιος.
Οὕτως οὖν ὁ μὲν οἰήσεως καθαρεύων βίος ἀναμάρτητός ἐστι [ll]μόνον· ὁ δὲ καὶ ἐπιστήμης πληρωθεὶς, [m]κατωρθωμένος καὶ
[178] τέλειος· ὁ δ' αὐτὸς ἥδιστός τε ἅμα καὶ ἄριστος. Οὐκοῦν ἃ μὲν μὴ ἴσμεν οὐδέποτε πράξωμεν· ἃ δὲ ἴσμεν, ὅτε δεῖ.

[f] ὁ τερπ.] ὁ om. Vat. Sal. [g] ἑαυτὴν] αὐτὴν S. [h] ἡδοναὶ] ἡδοναῖς S. Curt. Legend. ἡδοναὶ, ultima litera ex sequentis principio male iterata. Vide Platon. Gorg. p. 494 et seq. HOLST. ἡδοναὶ Bentleius. [i] σπουδαῖαι] σπουδαὶ S. et Vat. [k] συνεπομένη] Sic M. 2. συναπτομένη (Vat.) et Med. [l] ἀρνούμενος ms. ap. Holst. [ll] μόνον] μοῦ S. [m] κατορθούμενος] κατωρθωμένος S.

8. μόνον] μόνῳ G.

24. πράξωμεν] Editor Cant. reposuit πράξομεν [ex mss. Gall. et sic S.] mihi vero retinere visum est potius priorum lectionem πράξωμεν. Sic paulo post ἀκούσωμεν; atque ita sæpe alias Hierocles. ASHT.

Ἡ μὲν γὰρ ἄγνοια τὴν κακίαν εἰσηγεῖται, ἡ δὲ γνῶσις τὴν εὐκαιρίαν ζητεῖ. Πολλὰ γὰρ ὄντα σπουδαῖα τῇ μεταθέσει τοῦ καιροῦ γίνεται φαῦλα. Ἐν τάξει οὖν ἀκούσωμεν τοῦ παραγγέλματος, ἐκ μὲν τῆς ἐποχῆς τῶν πράξεων τὸ ἀναμάρτητον ἡμῖν εἰσηγουμένου, ἐκ δὲ τῆς προτροπῆς τοῦ μανθάνειν οὐ πάντα, ἀλλ' ὅσα δεῖ, πρὸς τὰς ἀρίστας πράξεις ἡμᾶς [n]ἐπανάγοντος. Οὐ γὰρ ἐν τῷ μὴ ἁμαρτάνειν ἐστὶ τὸ κατορθοῦν, ἀλλ' ἐν τῷ τὰ δέοντα εἰδέναι· καὶ τὸ μὲν ἡ κάθαρσις τῆς οἰήσεως, τὸ δὲ ἡ τῆς ἐπιστήμης [o]παρουσία, ἐργάζεται. Ἐν δὲ τῷ μὴ ἁμαρτάνειν, καὶ ἐν τῷ κατορθοῦν, ὅρα τί συμβήσεταί σοι· τερπνότατον βίον ὧδε διάξεις. Τίς δὲ οὗτος, [p]ἢ μόνος ὁ ἀπὸ τῆς ἀρετῆς τὸ ἡδὺ κεκτημένος, ᾧ συνδεδράμηκεν ἅμα τὸ ἀγαθὸν καὶ τὸ ἡδύ; Εἶ οὖν ποθοῦμεν τὸ καλὸν, ποθοῦμεν δὲ καὶ τὸ ἡδὺ, συνελθόντα τί ἂν εἴη; Τοῦτο, ὅ φησιν, [q]ὁ βίος τερπνότατος. Ὁ γὰρ τὸ ἡδὺ μετὰ τοῦ αἰσχροῦ ἑλόμενος, εἰ καὶ πρὸς ὀλίγον δελεασθείη [r]τῷ ἥδοντι, διὰ γοῦν τὸ αἰσχρὸν εἰς μεταμέλειαν ἐπώδυνον ἔρχεται· ὁ δὲ τὸ καλὸν μετὰ [s]πόνων προτιμήσας, κἂν παραυτίκα τῷ ἀήθει [t]βαρύνηται, ἀλλ' ἡ τοῦ καλοῦ σύζευξις ἐπελαφρύνει τὸν πόνον, καὶ τέλος πρὸς τῇ ἀρετῇ καὶ ἡδονὴν καθαρὰν καρποῦται. Εἰ μὲν γὰρ [v]πράττοιτό τι μεθ' ἡδονῆς αἰσχρὸν, ἡ μὲν ἡδονὴ παρῆλθε, τὸ δὲ αἰσχρὸν μένει· εἰ δὲ πράττοιτό τι μετὰ πόνου καλὸν,

[134] 6

[181] 10 15 20

[n] ὑπανάγοντος] Sic G. ἐπανάγοντος S. et Vat. [o] παρουσία] ἡ π. S. [p] εἰ μὴ] ἢ μὴ D. ἢ S. mss. Holst. [q] ὁ βίος] ὁ om. mss. Holst. [r] τῷ ἥδοντι] τὸ ἥ. S. [s] πόνου] πόν῀ S. i. e. πόνων. [t] βαρύνηται] βαρύνεται S. [v] πράττοιτό τι] τι om. S.

22. αἰσχρὸν] Sic G. [et S.] pro κακὸν, in edd. Aurispa vertit, *turpitudo;* et sic quidem ipse locus poscit; atque, quod magis est, ita scripsit ipse Musonius, a quo loci hujus verba mutuatus est Hierocles. Sic enim ap. Gell. 16, 1, hoc Musonii philosophi ἐνθυμημάτιον exstat, Ἂν τι πράξῃς καλὸν μετὰ πόνου, ὁ μὲν πόνος οἴχεται, τὸ δὲ καλὸν μένει. Ἂν τι ποιήσῃς αἰσχρὸν μετὰ ἡδονῆς, τὸ μὲν ἡδὺ οἴχεται, τὸ δὲ αἰσχρὸν μένει. Hoc autem ut suum faceret Hierocles, sententiarum ordinem hic invertit. ASHT.

ὁ μὲν πόνος παρῆλθε, τὸ δὲ καλὸν μένει. Ἐξ ὧν λυπηρότατον ἀνάγκη εἶναι τὸν κάκιστον βίον· τερπνότατον δὲ, τὸν ἄριστον. Καὶ ταῦτα μὲν περὶ τούτων. Ἐπεὶ δὲ καὶ ἡ τοῦ σώματος παιδαγωγία πρὸς τὴν τῆς ψυχῆς τελείωσιν τὴν ἀναφορὰν ἔχει, ὅρα ἑξῆς τί ἐπάγει·

XVI. 32—34.

Οὐδ' [w]ὑγιείας τῆς περὶ σῶμ' ἀμέλειαν ἔχειν χρή·
ἀλλὰ ποτοῦ τε μέτρον, καὶ σίτου, γυμνασίων τε
ποιεῖσθαι· μέτρον δὲ λέγω τόδ' ὃ μή σ' [x]ἀνιήσῃ.

Τὸ θνητὸν σῶμα, πρὸς τὴν ἐπὶ γῆς διαγωγὴν ὄργανον [136]
ἡμῖν δοθὲν, οὔτε [y]πιαίνειν προσήκει ταῖς ἀμέτροις σωμα- 11
σκίαις, οὔτε κατατρύχειν ἐνδείας ὑπερβολαῖς. Ἐμπόδιον
γὰρ ἐπίσης ἑκάτερον, καὶ ἀναιρετικὸν τῆς χρείας αὐτοῦ
[182] προσγέγονε. Διὸ μετρίως θεραπεύειν αὐτὸ, καὶ μὴ περι- 15
ορᾶν ἐξυβρίζον ἢ ὑπὸ νοσημάτων ἐνοχλούμενον, ὁ λόγος
παραινεῖ· ὅπως ἂν ἐν τῷ κατὰ φύσιν σωζόμενον [z]ἀπαρα-
ποδίστους τῇ ἡγουμένῃ ψυχῇ τὰς ἐνεργείας αὐτοῦ παρέχη-
ται, ταύτῃ δυνάμενον ἄγεσθαι, ᾗ ἂν ἐκείνη ἄγῃ. Τὸ γὰρ
χρώμενον ἡ ψυχὴ, τὸ δὲ ᾧ χρῆται, τὸ σῶμα, οὗ τὴν ἐπι- 20
μέλειαν ἔχειν δεῖ τὸν τεχνίτην. Οὐ γὰρ χρῆσθαι δεῖ μόνον
ἐθέλειν αὐτῷ, ἀλλὰ καὶ ὅπως εὖ ἔχον ἡμῖν ὑπηρετῆται τὴν
ἐνδεχομένην ποιεῖσθαι πρόνοιαν. Ἐπεὶ δὲ ἡ φύσις αὐτοῦ ἐν
γενέσει καὶ φθορᾷ συνεχεῖ καθέστηκε, καὶ πλήρωσις καὶ
κένωσις αὐτὸ τιθηνοῦσι, νῦν μὲν τροφῆς τὸ ἀπορρέον ἀναπλη- 25
ρούσης, νῦν δὲ γυμνασίων τὸ πλεονάζον [a]ὑπεξαιρούντων·
μέτρον ἐπιστῆσαι δεῖ τῇ τῶν εἰσαγομένων πληρώσει, καὶ

[w] ὑγιείης] ὑγιείας S. [x] ἀνιήσει] ἀνιήσῃ S. [y] πιαίνειν] ἐπιαίνειν S. [z] ἀπαραποδίστως] ἀπαραποδίστους S. [a] ὑπεξαιρούντων] ὑπεξαιρόντων S.

26. εἰσαγομένων] Ita G. quod rectius plane est, quam εἰσαγωγί- μων in editt. pr. [et S.]; nam τὰ εἰσαγόμενα sunt certe cibus et

τῇ τῶν διαφορούντων κενώσει. Τὸ δὲ μέτρον ἐστὶν ὁ λόγος ὁ συναρμόζων τὴν τοῦ σώματος ἕξιν ταῖς διανοητικαῖς ἐνεργείαις τῆς ψυχῆς, καὶ διὰ τοῦτο τῆς τῷ φιλοσόφῳ πρεπούσης ὑγιείας ἐπιμελούμενος. Οὗτος οὖν γυμνάσια καὶ τροφὰς ἐκλέξεται, ἃ μὴ πιαίνῃ πρὸς ὑπερβολὴν τὸ σῶμα, μηδ' ὑπέρτερον αὐτὸ τῶν νοερῶν κινήσεων ἀπεργάζηται. Οὐ γὰρ σώματος ἁπλῶς ἐπιμελεῖται, ἀλλὰ σώματος διανοίᾳ [185] ὑπηρετουμένου. Ὅθεν τὴν ἀθλητικὴν ἀγωγὴν παραιτήσεται, ὡς ἄνευ ψυχῆς σῶμα θεραπεύουσαν· καὶ πᾶσαν τὴν λεγομένην σωμασκίαν φεύξεται, ὡς [b] ἐπανισταμένην τῷ νοερῷ φωτὶ τῆς ψυχῆς. Ὅση δὲ τῇ περὶ τὰ μαθήματα θεωρίᾳ καὶ τῇ περὶ τὰς καλὰς πράξεις αὐτουργίᾳ, ὑπηρετεῖσθαι [138] δύναται τῇ τοῦ σώματος εὐεξίᾳ, ταύτην [c] περιποιήσει ἑαυτῷ

[b] ἐπανισταμένην] ἐπανιστάνειν Vat. M. [c] περιποιήσειεν αὐτῷ Vat.

potus, seu τροφὴ, i. e. corpori ingestum alimentum, de quo hic loquitur; sic Porphyrius, τὸ πλῆθος τῶν εἰσαγομένων εἰς τὸ σῶμα, de Abstin. 1, 47. Atqui aliud proprie sonant τὰ εἰσαγώγιμα, sc. aliunde advecta, et peregre accita. Sic ap. Aristot. Rhet. 1, 4. ἡ εἰσαγώγιμος τροφὴ, est victus ab extera regione importatus, et opponitur τῇ αὐτόθι γιγνομένῃ. Ita Pollux dicit εἰσαγώγιμα σιτία esse ἐπεισάκτους τροφάς. 9, 22. Per τὰ διαφοροῦντα vero illa paulo post vult tantum γυμνάσια, et eam, quæ per illa fit, excretionem et evacuationem, uti liquet e præcedentibus, γυμνασίων τὸ πλεονάζον ὑπεξαιρούντων, et e sequentibus, τὰ γυμνάσια ἐπανορθούμενα τὴν ἀπὸ τῆς τροφῆς πλήρωσιν. ASHT.

5. πιαίνῃ] G. S. πιαίνει edd.

6. ὑπέρτερον—ἀπεργάζηται] Sic G. ὑπὲρ μέτρον—ἀπεργάζεται edd. Vult Hierocles, corpus non ita curandum esse, ut animi motibus superius fiat, iisque dominetur, quibus ὑπηρετεῖν debet. Nam animi est, ut ait Antoninus, καθυπερτερεῖν τοῦ σώματος. 8, 8. ASHT. ὑπέρτερον—ἀπεργάζεται S.

13. τῇ τοῦ σώματος εὐεξίᾳ] Horum syntaxis satis constabit, ut opinor, si vox ὅση in sententiæ initio ad ἀγωγὴν referatur, et hæc verba instrumentum, seu modum denotent, sc. ὅση δὲ (ἀγωγὴ) τῇ περὶ—δύναται τῇ τοῦ σώματος εὐεξίᾳ (i. e. διὰ τῆς εὐεξίας) ut Dacerium secuti Latine reddidimus. Editor vero Cant., his rejectis, conjecturam illico Davisianam adoptavit, sc. ὅση—ἡ τοῦ σώματος εὐεξία, *quicunque corporis bonus habitus*; mihi autem minime placet hæc phrasis ὅση ἡ εὐεξία, nam ὅση plures, ἡ unam tantum εὐεξίαν significat; nec tibi, opinor, placeret ὅση ἡ ὑγίεια, cum una semper sit: atque, si placeret, tamen ὅση et ἡ tanto intervallo disjuncta displicerent: Hierocles certe, si ὅση ad

ὁ τὸν τοῦ φρονεῖν βίον ἐλόμενος. Πρὸς τοῦτον [d]γὰρ εἴρηται τὸ, μέτρον δὲ λέγω τόδ' ὃ μή σ' [e]ἀνιήσῃ. Σὲ, φησὶ, τὸν ὄντα λογικὴν ψυχὴν, μὴ βλαπτέτω τὸ μέτρον τῆς τοῦ σώματος ἐπιμελείας· σὲ, [f]τὸν τῶν προτέρων παραγγελμάτων φύλακα, τοιαῦτα σιτία καὶ ποτὰ καὶ γυμνάσια ἐκλέγεσθαι χρὴ, ἃ τὸ σῶμα πειθήνιον πρὸς τὴν τῶν ἀρετῶν χρῆσιν [g]ἀπεργάσεται, ἃ μὴ [h]ἐκφέρῃ τὸ ἄλογον πρὸς ἀφηνίασιν τοῦ ἡγεμονοῦντος λόγου. Μετὰ πλείστης δὲ προσοχῆς ποιεῖσθαί σε δεῖ τὴν παραμέτρησιν τῆς ἐπιμελείας τοῦ σώματος ὡς καὶ τῶν τούτου [i]παραλόγων κινημάτων τὴν αἰτίαν [k]ὑφέξοντα. Βρίθει γὰρ ὁ τῆς [l]κακίας μετέχων ἵππος, οὐχ ἁπλῶς, ἀλλ' [m]ὅτῳ μὴ καλῶς εἴη τεθραμμένος [n]ὑπὸ τῶν ἡνιόχων. Ἐν δὲ τῷ μέτρῳ, τῷ περὶ τὸ σῶμα, τὸ
[186] ποτὸν τοῦ σιτίου προέταξεν, ὅτι μᾶλλόν ἐστι δυσφύλακτον, καὶ εὐόλισθον εἰς κατάποσιν, καὶ παρακινητικὸν τῆς τοῦ σώματος εὐεξίας. Λάθοι γὰρ ἄν τις πολλαπλάσια τοῦ [o]μέτρου [p]πιὼν μᾶλλον ἢ φαγών. Τὰ δὲ γυμνάσια τρίτα τέτακται, ὡς ἐπανορθούμενα τὴν ἀπὸ τῆς τροφῆς πλήρωσιν, καὶ πάλιν πρὸς τὸ ὑγιεινῶς τρέφεσθαι παρασκευάζοντα. Κύκλῳ γὰρ

[d] γὰρ εἴρηται τὸ] γὰρ et τὸ om. S. [e] ἀνιήσει] ἀνιήσῃ S. [f] τὸν τῶν] τὸν om. S. [g] ἀπεργάζεται] ἀπεργάσεται S. et Vat. [h] ἐκφέρει] ἐκφέρειν ῃ S. [i] παραλόγων] παράλογ S. παραλόγων Vat. Sal. et M. [k] ὑφέξουσαν] ὑφέξοντα S. Vat. ὑφέξονται Sal. [l] κακίας μετέχων] μετέχων om. S. [m] ὅτε] ὅτωι S. et Vat. Sal. [n] ὑπὸ τῶν] ὑπὸ om. S. Curt. [o] μέτρου] μετρίου Vat. [p] πιὼν] πιὼν μᾶλλον S. Sal. Med.

εὐεξία referri voluisset, sic potius dixisset, ὅση δὲ τοῦ σώματος εὐεξία τῇ περὶ—δύναται, ταύτην—. Aurispa in suo codice legit ὅσον, *quantum*, sc., ὅσον δὲ—δύναται—, sed ne sic quidem apte sequentur illa ταύτην περιποιήσει—. ASHT.

10. παραλόγων] Sic G. παραγώγων editt. pr.

11. Βρίθει γὰρ ὁ τῆς κακίας μετέχων ἵππος—ὑπὸ τῶν ἡνιόχων] Hanc περιοχὴν, antea lacunosam, supplevi ex Platone Phædr. p. 247. *βρίθει γὰρ ὁ τῆς κάκης ἵππος μετέχων, ἐπὶ γῆν ῥέπων τε καὶ βαρύνων, ἢν μὴ καλῶς ᾖ τεθραμμένος ὑπὸ τῶν ἡνιόχων.* NEEDHAM.

17. πιὼν, ἢ φαγὼν] Hic subintelligitur θᾶττον aut μᾶλλον: quod sæpius videre alibi licet, ut apud Porphyr. de Abst. II. c. 15. *Χαίρουσι τούτῳ οἱ θεοὶ, ἢ τῷ πολυδαπάνῳ.* NEEDHAM.

οἷον ἀνταποδίδοται ταῦτα ἀλλήλοις, τροφὴ, καὶ γυμνάσιον· καὶ γυμνάσιον, [q]καὶ τροφή. Χορηγία γὰρ τοῦ μὲν δύνασθαι γυμνάζεσθαι τὸ εὖ τεθράφθαι, τοῦ δὲ εὐεκτικῶς τρέφεσθαι, τὸ γεγυμνᾶσθαι συμμέτρως. Μέτρον δὲ τούτων ἄλλο ἄλλῳ, πρὸς τὸ οἰκεῖον ἐπιτήδευμα τῆς τοῦ σώματος ἐπιμελείας ἑκάστῳ τεινούσης. Πᾶς γὰρ τῆς [r]ἑαυτοῦ προ- [140]
αιρέσεως ὄργανον αὐτὸ ποιεῖσθαι σπουδάζει· ὁ μὲν παλαιστρικὸς τῶν περὶ πάλην κινημάτων· ὁ δὲ γεωργικὸς τῶν περὶ γεωργίαν πόνων· καὶ ἄλλος πρὸς ἄλλο ἕλκει καὶ μεθαρμόζεται τὴν τοῦ σώματος ὑπουργίαν. Τί οὖν ὁ φιλόσοφος; Πρὸς τί βλέπων ἐθελήσει τὸ σῶμα παιδαγωγεῖν; καὶ τίνος ὄργανον αὐτὸ σπουδάσει ποιήσασθαι, ἢ, δῆλον ὅτι, φιλοσοφίας, καὶ τῶν ταύτης ἔργων; Ὡς οὖν οἷόν τε φρονή- [189]
σεως ὄργανον γενέσθαι τὸ σῶμα, οὕτως αὐτὸ διὰ πάντων θρέψει τε καὶ παιδεύσει, ψυχῆς μὲν προηγουμένως ἐπιμελούμενος, διὰ ταύτην δὲ καὶ τοῦ σώματος. Οὔτε γὰρ προτιμήσει αὐτὸ τῆς χρωμένης, οὔτε παντελῶς ἀμελήσει αὐτοῦ πάλιν διὰ τὴν χρωμένην· ἀλλ' ἐν τάξει τῇ πρεπούσῃ ὡς ὀργάνου ποιήσεται τὴν ἐπιμέλειαν, πρὸς τὴν τοῦ χρωμένου ἀρετὴν καὶ τὴν τοῦ σώματος ὑγίειαν ἀναφέρων. Διὸ οὐ πανταχόθεν αὐτὸ θρέψει, ἀλλ' ἀφ' ὧν δεῖ μόνων. Ἔστι γὰρ ἃ μὴ δεῖ προσφέρεσθαι, ὡς βαρύνοντα τὸ σῶμα, καὶ καθέλκοντα τὸ συμφυὲς πνεῦμα τῆς ψυχῆς πρὸς ὑλικωτέρας ἐμπαθείας· περὶ ὧν ὕστερον ὁ λόγος φησὶν,

ἀλλ' εἴργου βρωτῶν, ὧν εἴπομεν, ἔν τε καθαρμοῖς,
ἔν τε λύσει ψυχῆς κρίνων.—

[q] καὶ τροφὴ] καὶ om. S. [r] ἑαυτοῦ] αὐτοῦ S.

2. Χορηγία γὰρ τοῦ δύνασθαι—, τοῦ δὲ—] Ita τοῦ melius habet G. pro τῷ in edd. [et S.] ASHT.

23. καθέλκοντα τὸ συμφυὲς πνεῦμα τῆς ψυχῆς—] Ita Philoponus de πνεύματος hujus cura loquens dicit, φροντίζουσιν οἱ σπουδαῖοι τῆς λεπτοτέρας διαίτης διὰ τὸ μὴ παχύνεσθαι τὸ πνεῦμα, procem. in Aristot. de Anim. Per hoc vero πνεῦμα vult τὸ ἐν ἡμῖν αὐγοειδὲς πνεῦμα, ut vocat Iamblic. p. 73. ed. Galæ., quod

Τὰ τοιαῦτα οὖν παντελῶς παραιτήσεται· ὧν δὲ ἐξὸν προσφέρεσθαι τὴν ποσότητα, καὶ τὸν καιρὸν, μετρήσει, καὶ, ὥς φησιν [s] Ἱπποκράτης, ὥρην, καὶ χώρην, καὶ ἡλικίην [ss] περιεργάσεται, καὶ πάντα ὅσα τοῦ τοιούτου [t] τύπου· οὐκ ἀνεξετάστως [v] ἐπιτρέπων ἐμπίπλασθαι ὧν ἐξὸν μεταλαμβάνειν, οὐδ' ἀκρίτως νέον καὶ πρεσβύτην ὁμοίως διαιτᾶσθαι, ἢ ὑγιεινὸν καὶ νοσώδη, ἢ ἀρχόμενον φιλοσοφίας καὶ εἰς ἄκρον
[190] αὐτῆς ἥκοντα. Ταῦτα δὲ πάντα συνείληφε τὸ Πυθαγορικὸν [142]
μέτρον, τῇ προσθήκῃ τοῦ, [w] ὃ μή σ' ἀνιήσῃ. [x] Πάντα γὰρ εἰς τὴν φιλόσοφον εὐζωΐαν συντείνοντα πρὸς τὴν τοῦ σώματος ἐπιμέλειαν ἐπέτρεψε τῷ βραχεῖ τούτῳ ῥήματι· καὶ τοῖς προειρημένοις περὶ ὑγιείας ψυχῆς ἐπήγαγεν, οὐδ' [y] ὑγιείας τῆς περὶ σῶμ' ἀμέλειαν ἔχειν χρή· ὡς ἐκεῖ μὲν τὴν τοῦ χρωμένου ἀρετὴν παραδίδοσθαι, ἐνταῦθα δὲ τὴν τοῦ ὀργάνου σωτηρίαν. Σύναψον οὖν ταῦτα ἐκείνοις, καὶ εὑρήσεις, ὅστις εἶ ᾧ παραγγέλλεται, [z] τοιοῦτο δεῖν ποιεῖσθαι τὸ μέτρον τῆς περὶ τὸ σῶμα τάξεως, ὃ μή σ' [a] ἀνιήσῃ,

[s] Ἱπποκράτης] Aphor. 2. p. 1242 H. [ss] περιεργάσεται] περιεργάσεσθαι Vat. [t] τύπου] τόπου S. [v] ἐπιτρέπων ἐμπίπλασθαι] ἐπιτρέπει ἐμπίμπλασθαι S. [w] ὃ μὴ] ὃ om. S. [x] Πάντα γὰρ] π. γ. τὰ ms. ap. Holst. [y] ὑγιείης] ὑγιείας S. [z] τοιοῦτο δεῖν] τοιοῦτον δεῖ Sal. M. forte deest καὶ Holst. [a] ἀνιήσει] ἀνιήσῃ S.

τὸ αἰγοειδὲς τῆς ψυχῆς σῶμα, et τὸ πνευματικὸν ὄχημα τῆς ψυχῆς, ipse postea Hierocles, aliique Platonici appellant; de quo plura in sequentibus invenies. Sic autem Porphyrius Ἀφορμ. 32. dicit, ψυχῇ συνομαρτεῖν τὸ πνεῦμα —, et περὶ Ἀποχ. 2, 38. τὸ συνεχὲς πνεῦμα τῆς ψυχῆς—. Plutarch. Vit. Hom. ap. Steph. Poet. Græc., τὸ πνεῦμα ὄχημα τῆς ψυχῆς. Ita αἰγοειδὲς καθαρὸν dicitur πνεῦμα καθαρὸν, et αἰθέριον σῶμα in sequentibus. Hoc igitur συμφυὲς πνεῦμα τῆς ψυχῆς idem est, quod postea vocat συμφυὲς σῶμα τῆς ψυχῆς, et πνευματικὸν ὄχημα. Sicque conjungit Philoponus, ψυχὴ ὄχημα ἔχουσα πνευματικὸν σῶμα. Præf. in Aristot. de Anima. ASHT.

9. τοῦ, ὃ μή σ' ἀνιήσει] Recte quidem editor Cant. addidit illud τοῦ e MSS. Gall.; at omisit, ut opinor, ὃ, quod sententiæ pars est, et necessario adjiciendum esse censuimus. Sic τοῦ, ἅ σε μὴ βλάψῃ, et, τοῦ ἅ σε μὴ μετέπειτ' ἀνιήσῃ; atque ita alibi, ut supra notavimus. ASHT.

ὃ μὴ ἐμποδιεῖ [b]τὴν φιλόσοφον πρόθεσιν, ἀλλὰ ἐπωφελήσει τῇ συνεργίᾳ τὴν πρὸς ἀρετὴν ὁδεύουσαν ψυχήν. Ποτοῦ δὲ καὶ σίτου μέτρον εἶπε, τὰς ὑπερβολὰς καὶ τὰς ἐλλείψεις ἀπαγορεύων, ὁ λόγος, τὸ δὲ μέσον καὶ σύμμετρον ἀσπαζόμενος· ὅθεν καὶ τὸ γαστρὸς κρατεῖν καὶ ὕπνου λαγνείης τε καὶ θυμοῦ εὐκόλως παραγίνεται. Τὸ γὰρ νῦν λεγόμενον μέτρον τὴν ἐν ἐκείνοις ἀμετρίαν κολάζει, καὶ ὑπεξαιρεῖται τὸ λυποῦν καὶ καθέλκον τὴν [c]πρὸς νοῦν καὶ Θεὸν
[193] ἐπειγομένην ψυχήν. Δεῖ γὰρ αὐτὴν ἀνιοῦσαν πρὸς νοῦν γαλήνην ἔχειν ἀπὸ τῶν παθητικῶν κινημάτων, καὶ τετάχθαι αὐτῇ τὰ κάτω καλῶς πρὸς τὸ ἀθόρυβον τῆς τῶν ἄνωθεν θεωρίας. Τοῦτο ἦν τὸ μέτρον, ὃ μή σ' [d]ἀνιήσῃ· τοῦτο τὸ κρατοῦν γαστρὸς ἅμα, καὶ τὴν τοῦ ὀργάνου σωτηρίαν ποιούμενον, τὸ ἀρετὴν ψυχῆς ἐπιδεικνύμενον, καὶ τὴν τοῦ σώματος ἕξιν μὴ καταλύον. Μέρος γάρ [e]ἀρετῆς ἐστὶν καὶ τὸ εἰδέναι σώζειν τὸ ὄργανον, καὶ συναρμόζειν αὐτὸ πρὸς τὴν φιλόσοφον χρῆσιν. Ἐπεὶ δὲ οὐ μόνον ἐν τροφαῖς καὶ γυμνασίοις ἐστὶν ἡ τοῦ σώματος θεραπεία, ἀλλὰ καὶ ἄλλων πολλῶν προσδεῖται (οἷον ἱματίων, ὑποδημάτων, σκευῶν παντοδαπῶν, καὶ τῆς [f]ταῦτα πάντα ὑποδεχομένης οἰκίας· δεῖ δὲ καὶ ἐν τού- [144]

[b] φιλόσοφον πρ. ἐπωφ. δὲ τῇ συνεργίᾳ] τὴν φιλόσοφον πρ. ἀλλ' ἐπωφελήσει τῇ περιεργίᾳ S. [c] πρὸς νοῦν καὶ Θεὸν] πρὸς τὸν θεόν S. et sic Aurispa. ib. νοῦν del. Vat. Sal. ^ ἴσ. καὶ ut p. 173. [99, 13.] et sic Platonici semper loquuntur, quorum hoc notissimum dogma, animam ad Dei contemplationem ascensuram debere ingredi in seipsam et contrahere se in sui ipsius unionem ac centrum, ut ita τῷ νῷ contempletur τὸν ἐπέκεινα τοῦ νοῦ. infra p. 245. τὴν πρὸς νοῦν ἐπιστροφὴν vocat. Vide omnino Proclum (Instit.) Theol. prop. 165 et 129. et Theol. Plat. p. 36 et 257. HOLST. [d] ἀνιήσει] ἀνιήσῃ S. [e] ἐστιν ἀρετῆς] ἀρετῆς ἐστὶν S. [f] πάντα ταῦτα] ταῦτα πάντα S.

8. πρὸς νοῦν καὶ Θεὸν] Nos illud καὶ, quo carent editt. pr., addere non dubitavimus ex ipso Hierocle, qui sic sæpe habet. Ita Marin. in Vit. Procli cap. 24. πρὸς νοῦν καὶ θεὸν ἐνεργεῖν. At G. non agnoscit νοῦν, neque agnoscunt MSS. Gall., nec Aurispa in versione. Nos vero retinendum censuimus ob sequentia πρὸς νοῦν. ASHT.

20. οἰκίας] Sic G. οἰκήσεως [S.]

τοις τοῦ μετρίου, ὁ [g]τρυφήν τε καὶ ἀκαθαρσίαν [h]ἐξορίσει τῆς ὅλης ἡμῶν διαίτης) εἰκότως ἐπήγαγεν,

XVII. 35—38.

Εἰθίζου δὲ δίαιταν ἔχειν καθάρειον, ἄθρυπτον.
Καὶ πεφύλαξο [i]τοιαῦτα ποιεῖν, ὁπόσα φθόνον ἴσχει.
Μὴ δαπανᾶν παρὰ καιρὸν, ὁποῖα καλῶν ἀδαήμων·
[194] μηδ' ἀνελεύθερος ἴσθι· μέτρον δ' ἐπὶ πᾶσιν ἄριστον.

Οὐ μόνον, φησὶν, ἐν σιτίοις καὶ ποτοῖς τὸ μέτρον καλὸν, ἀλλὰ καὶ ἐν τοῖς ἄλλοις ἅπασιν, ὡς τῶν δι' ὑπερβολὴν καὶ ἔλλειψιν ἁμαρτημάτων καθαρεῦον. Γένοιτο γὰρ ἂν ἐν πᾶσιν, οἷς εἴπομεν, ἁμετρία διπλῆ· ἡ μὲν πρὸς τὸ πολυτελὲς ἐξάγουσα, ἡ δὲ πρὸς τὸ ῥυπαρὸν συνωθοῦσα. Ἑκάτερον δὲ μεμπτὸν καὶ οὐ φιλόσοφον ἦθος, οὐδὲ στοχαζόμενον τῆς σωματικῆς εὐμετρίας. Ἐπιτεινομένη γὰρ καθαρειότης θρύψις καὶ [j]βλακεία εὑρίσκεται· ἐπιτεινομένη δὲ λιτότης ἀκαθαρσία καὶ ῥύπος γίνεται. Ἵν' οὖν μήτε ἐκεῖνο πάθωμεν διὰ καθαρειότητα, μήτε τοῦτο διὰ λιτότητα, μέσοι βαίνωμεν, τὰς παρακειμένας [k]ἑκατέρῳ κακίας ἐκκλίνοντες, καὶ τὸ ἕτερον τοῦ ἑτέρου σωφρονισμὸν ποιούμενοι· λιτὴν οὕτως ἐπιτηδεύοντες δίαιταν, ὡς μὴ ἀκάθαρτον, καὶ καθάρειον οὕτως, ὡς μὴ τρυφηλήν. Διὸ τὸ μέτρον προτιμήσωμεν ἐν πάσῃ τῇ περὶ τὸ σῶμα κατασκευῇ, ἱμάτιον ἐκλεγόμενοι καθάρειον,

g τρυφὴν καὶ] τρυφήν τε καὶ S. Vat. h ἐξορίζει] ἐξορίσει S. Vat. i γε ταῦτα] τοιαῦτα S. j μαλακία] βλακεία Salv. et M. k ἑκατέρῳ] ἴσ. ἑκατέρωθεν ut p. 198. Holst.

edd. Atque haud male in G. omittitur πάντα ante ταῦτα. οἰκία est οἶκος, i. e. *habitaculum*; οἴκησις vero est *habitatio*, sicut distinguit ipse Hierocles in sequentibus. ASHT.

1. τοῦ μετρίου] Ita G. [et S.] μέτρου edd.

15. μαλακία] G. [et S.] βλακεία, quod eodem fere redit; sic enim Hesych. βλακεία, μαλακία. Ita de Isidoro Damascius, τὴν τροφὴν ἐκληρώσατο μετρίαν τινα καὶ ἄθρυπτον, οὔτε κακουργοῦσαν διὰ πενίαν, οὔτε διὰ πλοῦτον βλακεύουσαν, ἀλλὰ μέσην, τὸν Δώριον τρόπον, &c. ap. Phot. Cod. 242. ASHT.

ἄθρυπτον· οἶκον ὁμοίως καθάρειον, ἄθρυπτον· καὶ πᾶν [146]
[197] ὁτιοῦν τῶν περὶ τὸ σῶμα καθάρειον, ἄθρυπτον ἔχειν ἐθέλοντες. Πρέπει γὰρ, λογικῆς ψυχῆς τοῦ σώματος ἡγουμένης, καὶ τὰ περὶ τὸ σῶμα πάντα συντετάχθαι πρὸς τὸν ἡγούμενον λόγον, ὅστις οὔτε τρυφῆς, οὔτε ἀκαθαρσίας ἀνέξεται, τῇ κατ' αὐτὸν ἀξίᾳ πάντα λογιζόμενος δεῖν εἶναι σύμμετρα. Ἵν' οὖν μὴ περιέλκοιτο πρὸς κτῆσιν τῶν πολυτελῶν, τὸ ἄτρυφον ἐπιτηδεύει· ἵνα δὲ μὴ ῥύπῳ καὶ ὑλικῇ ἀμορφίᾳ συνοικῇ, τὸ καθάρειον ἐκλέγεται. Οἷον ἱμάτιον οὐ λεπτὸν μὲν, καθάρειον δέ· σκεύη [l]οὐ χρυσᾶ, οὐδὲ ἀργυρᾶ, ἀλλ' ἐκ τῶν [m]εὐποριστοτέρων ὑλῶν καθάρεια· οἰκίαν οὐ πολυτελέσι λίθοις κατηνθισμένην, οὐδὲ περιττῶς εἰς κάλλος καὶ μέγεθος ἐξειργασμένην, ἀλλὰ σύμμετρον τῇ τοῦ σώματος χρείᾳ, καθάρειον δέ. [n]Καὶ ὅλως παρὰ πᾶσαν τὴν δίαιταν τὸ μὲν τρυφηλὸν, ὡς ἔξω τῆς χρείας, [o]ἀρνεῖται· τὸ δὲ καθάρειον, ὡς μάλιστα τὴν χρείαν ἀποπληροῦν, [p]ἐγκρίνει. Καὶ γὰρ ἱμάτιον, καὶ οἶκος, καὶ σκεῦος ἅπαν, τότε τὴν αὐτοῦ χρείαν καλῶς παρέχεται, ὅταν [q]σύμμετρον ᾖ καὶ [r]καθαρόν. Τί γὰρ μεγάλου δεῖ πίνακος εἰς μικρὸν ὄψον; τί δὲ ῥυπαροῦ, μέλλοντος ἀφανιεῖν τὸ ὄψον; Οἴκου
[198] δὲ μεγάλου τί δεῖ τοῖς μέλλουσιν ἐν μιᾷ γωνίᾳ αὐτοῦ [rr]κεῖσθαι; τί δὲ ἀκαθάρτου, τὴν τῆς οἰκήσεως χρείαν οὐ παρέχοντος; Τὸ δὲ αὐτὸ καὶ ἐπὶ τῶν ἄλλων εὑρήσεις ἑκατέρωθεν ἄχρηστον ὂν, τὸ μὴ μετὰ τοῦ ἀτρύφου καθάρειον· ἅμα γὰρ ὑπερέβης τὸ μέτρον τῆς χρείας, καὶ εἰς τὸ ἄπειρον προῆλθες τῆς ἐπιθυμίας. Διὸ πάντα τὰ περὶ τὸν βίον

[l] οὐ χρυσᾶ] ὁ χρ. S. [m] εὐποριστοτέρων] εὐποριστοτέρων S. [n] ὅλως] καὶ ὅλως S. M. [o] ἀρνεῖται] Sic Sal. sed supra emend. ἀνεῖται. Holst. [p] ἐγκρίνει] ἐκκρίνει S. [q] σύμμετρόν τε ᾖ καὶ καθ. Vat. [r] καθάρειον] καθαρὸν S. [rr] κεῖσθαι] κείσεσθαι Vat.

14. παρὰ πᾶσαν] Malim περὶ πᾶσαν. ASHT.

20. Οἴκου δὲ μεγάλου τί δεῖ—] Sic G. quæ prius editis [cum S.] ὑπὲρ τὴν χρείαν, prætulimus, quia μεγάλου aptius convenit sequentibus ἐν μιᾷ γωνίᾳ. ASHT.

μετρείσθω σοι ταῖς μεσότησι ταῖς διαφευγούσαις τὰς παρακειμένας κακίας. [s]Εἰθίζου δὲ δίαιταν ἔχειν, φησὶ, καθά- [148]
ρειον· εἶτα ὁρῶν τὴν εἰς τρυφὴν ἔκπτωσιν, προσέθηκεν ἄθρυπτον· [ss]καὶ ἢ ἄθρυπτον προειρήκει, [t]εἶδε καὶ τὴν εἰς ῥύπον ἀπόπτωσιν, καὶ ἐπήγαγε καθάρειον· ἀεὶ τοῦ πτώματος ἀνέχων τῇ τοῦ ἑτέρου πρὸς τὸ ἕτερον ἀντιθέσει, ἵν' ἐξ ἀμφοτέρων ἀνδρώδης ἡ δίαιτα ᾖ, καὶ λογικῷ ζώῳ πρέπουσα. Οὕτω δὲ τάξαντες τὸν βίον, καὶ ἄλλο τι ἑπόμενον μέγα ἀγαθὸν ἕξομεν. Τὸν γὰρ ἐπιφυόμενον τοῖς ὑπερβάλλουσι φθόνον διαφύγοιμεν ἂν, τῷ μηδὲν ἄγαν οὐ κινοῦντες καθ' ἡμῶν αὐτῶν τοὺς συμπολιτευομένους, ὥστε νῦν μὲν νεμεσᾶν, ὡς τρυφῶσιν ἡμῖν, νῦν δὲ μέμφεσθαι, ὡς ῥυπῶσι· καὶ ὁτὲ μὲν ὡς ἀσώτοις ἐγκαλεῖν, ὁτὲ δὲ, ὡς μικρολόγοις.
[201] Πᾶσι γὰρ τοῖς τοιούτοις ἕπεται παρὰ τῶν συζώντων ἡ ἐπὶ τῇ ἀμετρίᾳ μέμψις. Τοῦτο γὰρ νῦν ὁ φθόνος δηλοῖ, ἵν' ἢ τὸ [u]λεγόμενον τοῦτο, πεφύλαξο τοιαῦτα ποιεῖν, [v]ὁπόσα μέμψιν εὔλογον ἔχει παρὰ τῶν πολλῶν. Μεμπτὰ δὲ, κατὰ τὸν λόγον καὶ τοὺς πολλοὺς, ἐν μὲν τῇ διαίτῃ τρυφὴ καὶ ῥύπος, ἐν δὲ [w]τῇ δαπάνῃ χρημάτων, ἀσωτία καὶ μικρολογία. Διὸ ἐλευθεριότης καὶ συμμετρία δεικνύτω διὰ τῶν ἐκτὸς πάντων τὴν ἔμφρονα τῆς ψυχῆς [x]ἕξιν καὶ τὸ μέτρον τὸ ἐπὶ πᾶσιν ἄριστον. Δεῖ γὰρ, ὅσον ἐφ' ἡμῖν, τῶν ἐπιφθόνων ἀπέχεσθαι τὸν ἡσυχίας ἐρῶντα, καὶ μὴ ἐρεθίζειν, ὥσπερ τι θηρίον, τὸν φθόνον, ἵν' ἀθορύβως ἐξῇ προκόπτειν [y]ἐν τοῖς

[s] Εἰθίζου δὲ] δὲ om. S. [ss] καὶ εἰ] καὶ ἤι S. et M. [t] εἶδεν ἂν καὶ] εἶδεν καὶ S. εἶδε καὶ τὴν Vat. M. [u] λεγόμενον] λεγόμενον τοῦτο S. Vat. λ. τοιοῦτον M. 2. [v] ὁπόσα φθόνον ἴσχει ἤγουν] φθόνον—ἤγουν om. S. Salv. non habet, neque M. 2. et rectius absunt. HOLST. [w] τῇ δαπάνῃ] σπάνῃ S. [x] ἕξιν] Sic em. Curter. κτῆσιν S. ut ed. Curt. Mallem κρίσιν. HOLST. [y] ἐν τοῖς] ἐν om. S.

1. μετρείσθω] Sic G. μεμετρήσθω edd. S.
4. εἶδεν ἂν καὶ τὴν—] Addidimus καὶ ex G., quod sententia requirit. ASHT.
8. Οὕτω δὲ] Ita G. δὴ edd. pr.

καλοῖς. Ἀνεπίφθονον δὲ ζωὴν [z]ἐπιτηδεύσωμεν, λιτὴν καὶ ἄρρυπον δίαιταν ἔχοντες, καὶ τὸν τῆς ἀπειροκαλίας τῦφον ἐκκλίνοντες, ἐξ οὗ ἀποβλαστάνει δύο κακὰ, δαπάνη τε καὶ φειδὼ χρημάτων ἄκαιρος· ὧν τὸ μὲν εἰς [a]ὑπερηφανίαν [150] διαβάλλεται, τὸ δὲ, εἰς μικροπρέπειαν. Ἑκάτερον δὲ τού- 5
των ἡ ἐλευθεριότης ἐκφεύγει, ἀρετὴ περὶ χρημάτων δόσιν καὶ λῆψιν ὑπάρχουσα, καὶ τὸ δέον ἐν [b]προσόδοις καὶ δαπάναις εὑρίσκουσα, καὶ [c]πρὸς τὸν ὀρθὸν λόγον πάντα τὰ ἐκτὸς
[202] συντάττουσα. Τοσαῦτα καὶ [d]περὶ τοῦ σώματος καὶ [e]τῆς τῶν ἐκτὸς ἀρίστης χρήσεως πεφιλοσόφηται ἐν τοῖς 10
ἔπεσιν, ὅπως ἂν καὶ διὰ τούτων τὸ τῆς ἀρετῆς διαφαίνηται κάλλος· κεφάλαιον δὲ τῶν πάντων ποιεῖται τὸ ἑξῆς παράγγελμα.

XVIII. 39.

πρῆσσε δὲ ταῦθ', ἅ σε μὴ βλάψῃ· [f]λόγισαι δὲ πρὸ ἔργου. 15

[g]Πολλάκις ἐχρήσατο τῷ τοιούτῳ λόγῳ, ὁτὲ μὲν εἰπὼν,

ἀλλὰ τάδ' ἐκτελέειν, ἅ σε μὴ μετέπειτ' ἀνιήσῃ·

ὁτὲ δὲ,

—μέτρον δὲ λέγω τόδ' ὃ μή σ' [h]ἀνιήσῃ·

καὶ, 20

μηδεὶς μήτε λόγῳ σε παρείπῃ, μήτε τι ἔργῳ
πρῆξαι, μηδ' εἰπεῖν, ὅ τι τοι μὴ βέλτερόν ἐστι.

Τούτων οὖν ἁπάντων [i]σύνοψιν ἐνταῦθα καὶ μίαν συγκεφα-

[z] ἐπιτηδεύσομεν] ἐπιτηδεύσωμεν S. et mox ἄρυπον. [a] ὑπερηφανίαν] ὑπερηφάνειαν S. [b] προσόδοις] προσώποις S. et Vat. Vulg. in Sal. M. [c] πρὸς τὸν] πρὸς om. S. [d] περὶ τῆς] τῆς om. S. [e] περὶ τῆς] περὶ om. S. [f] λόγισαι] λόγησαι S. [g] Πολλάκις—λόγῳ om. S. [h] ἀνιήσει] ἀνιήσῃ S. qui infra om. μήτε λόγῳ et μήτε τι ἔργῳ. [i] σύνοψιν ποιεῖται] ποιεῖται in S. infra post λόγος. et sic Sal. M.

8. πρὸς τὸν ὀρθὸν λόγον—συντάττουσα] Sic G., quod rectius plane est, quam, πρὸς τὸν—λόγον—συνάπτουσα, in editt. pr. Sic, συντετάχθαι πρὸς τὸν ἡγούμενον λόγον, superius, et, πρὸς τὴν τῶν λογικῶν οὐσιῶν ἡγεμονίαν συντεταγμένη, sc. σωματικὴ φύσις. ASHT.

λαίωσιν ὁ λόγος ποιεῖται, ἀπαγορεύων μὲν τῶν βλαβερῶν τὴν παραδοχήν, τῶν δὲ ἐπωφελῶν εἰσηγούμενος τὴν ἐνέργειαν· γίνεσθαι δὲ καλῶς τὴν τούτων διάκρισιν ἐν τῷ λογίζεσθαι πρὸ ἔργου τί πρακτέον, καὶ τί μὴ πρακτέον. Ὁ γὰρ τῆς εὐβουλίας καιρὸς ἐν τῷ ἀπρολήπτῳ τῶν πράξεων παραγίνεται. Κἀνταῦθα δὲ πάλιν τοῦ ἅ σε μὴ βλάψῃ [k]οὕτως
[205] ἀκουσώμεθα, ὡς καὶ τοῦ ἃ σὲ μὴ μετέπειτ' ἀνιήσῃ· τὸ σὲ κατὰ τοῦ [l]ὄντως ἀνθρώπου καὶ τῆς λογικῆς οὐσίας τάττοντες, καὶ κατὰ τοῦ φιλοσοφεῖν προηρημένου, [m]καὶ τὴν [152]
πρὸς Θεὸν ὁμοίωσιν κτήσασθαι σπεύδοντος. Τοῦτον δὲ
βλάπτει πᾶν τὸ παρὰ τὸν ὀρθὸν λόγον, πᾶν τὸ παρὰ τὸν θεῖον νόμον, πᾶν τὸ τὴν πρὸς Θεὸν ὁμοίωσιν ἐμποδίζον. Πέφυκε δὲ τὰ τοιαῦτα ἡμῖν ἐπιτίθεσθαι ἐν τῇ κοινωνίᾳ τῶν [n]συζώντων, καὶ τῇ διοικήσει τοῦ τε συνεζευγμένου σώματος, καὶ τῶν πρὸς [o]βοήθειαν ἐξηυρημένων τὴν τούτου· ἃ δὴ χρήματα καλεῖν ἔθος, ὡς [p]πρὸς τὴν τούτου χρείαν ἐκκείμενα.

[k] οὕτως ἀκουσώμεθα] οὐ ἀκουσόμεθα S. [l] ὄντως ἀνθρώπου] ὄντος ἀνθρωπίνου S. [m] καὶ τὴν] τὴν om. S. [n] συζώντων] συζόντων S. [o] τὴν τούτου βοήθειαν ἐξευρημένων] βοήθειαν ἐξηυρημένων τὴν τούτου S. [p] τὴν χρείαν] τὴν ΤΤ χρείαν S.

12. τὸ τὴν πρὸς θεὸν ὁμοίωσιν ἐμποδίζον] Editt. priores sic exhibebant, τὸ πρὸς τὴν θείαν ὁμοίωσιν ἐμποδίζον, [et sic S.] sensu plane nullo; quorum tamen in proclivi erat hæc emendatio, τὸ τὴν θείαν ὁμοίωσιν ἐμποδίζον. Nos vero illud πρὸς retinendum duximus, et θεὸν pro θείαν legendum. Sic igitur, non tam ex propria conjectura, quam duce ipso Hierocle, refinximus, τὸ τὴν πρὸς θεὸν ὁμοίωσιν ἐμποδίζον. Ita enim ille supra habet, τὴν πρὸς θεὸν ὁμοίωσιν, quæ ab eo hic repetita fuisse agnoscit plane Curter., qui eisdem verbis utrobique vertit, *Deo similis fieri;* atque sic etiam Aurispa, *Dei similitudinem*, et, *ut Deo similis fias*, reddit. Adde, quod hac phrasi, ἡ πρὸς θεὸν ὁμοίωσις, alibi sæpe utitur. ASHT.

15. τῶν πρὸς τὴν τούτου βοήθειαν ἐξευρημένων] Curter. edidit, τῶν πρὸς βοήθειαν ἐξευρημένων χρημάτων, quod e MSS. Gall. correxit editor Cant., pro χρημάτων ponens τὴν τούτου· et recte quidem τὴν τούτου, si non in eorum loco errasset, quæ collocanda plane erant, ubi nos posuimus. Atque ibi certe invenit in suo codice Aurispa, qui vertit, *eorum, quæ ad ejus gubernationem sunt inventa.* ASHT.

16. πρὸς τὴν χρείαν—] Ita recte habet G. sine τούτου, quod exhibent editt. priores. ASHT.

[q] Διευλαβεῖσθαι οὖν χρῆναί φησιν ὁ λόγος τὸν ἐρωτικὸν τῶν θείων ἀγαθῶν, μήποτε ἀναπεισθῇ πρᾶξαί τι ὃ μὴ βέλτερον αὐτῷ, καὶ [r] ὅπως χαρίσηται τῷ σώματι ἐξ ὧν αὐτὸς ἀνιάσεται, μηδὲ προσδέξηταί τι βλάπτον τὴν φιλόσοφον ὁρμὴν, ἐφ' ᾧ μικρὸν ὕστερον μεταμελήσεται. Ταῦτα γὰρ πάντα τῷ προλογισμῷ διωθεῖσθαι ἡμᾶς προσήκει, ἵν' ὁ ἐπιλογισμὸς τῶν εἰργασμένων ἡμῖν ἡδίστην [s] ἔχῃ τὴν ἀνάμνησιν, ἣν ἐξῆς ποιεῖσθαι παρακελεύεται.

XIX. 40—44.

Μὴδ' ὕπνον μαλακοῖσιν ἐπ' ὄμμασι προσδέξασθαι,
[206] πρὶν τῶν ἡμερινῶν ἔργων [t] τρὶς ἕκαστον ἐπελθεῖν·
Πῇ παρέβην; τί δ' ἔρεξα; τί μοι δέον οὐκ ἐτελέσθη;
Ἀρξάμενος δ' ἀπὸ πρώτου ἐπέξιθι· καὶ μετέπειτα
δεινὰ μὲν ἐκπρήξας ἐπιπλήσσεο· χρηστὰ δὲ, [v] τέρπου.

Ἐνταῦθα γενόμενος τοῦ λόγου, τῶν ὅλων παραγγελμάτων ἄθροισόν μοι τὴν γνώμην, ἵνα τὸ εἴσω τῆς ψυχῆς δικαστήριον πρὸς ταῦτα, ὡς πρὸς θείους νόμους, ἀποβλέπον, [x] ποιῆται τῶν εὖ ἢ κακῶς πεπραγμένων τὴν ἐπίκρισιν. Πόθεν γὰρ ὁ ἐπιλογισμὸς ἔξει δεινὰ μὲν εἰργασμένους ἡμᾶς [y] ἐπι- [154]
κόπτειν, χρηστὰ δὲ πράξαντας ἐπαινεῖν, εἰ μὴ ὁ προλογισμὸς

[q] Διευλαβεῖσθαι γοῦν Vat. Med. δ. οὖν Sal. M. [r] ὅπως μὴ] μὴ om. S. et Sal. Vat. M. [s] ἔχῃ] ἔχει S. [t] λογίσασθαι ἕκαστον] Sic infra p. 117, 9. 118, 11. τρὶς ἕκαστον ἐπελθεῖν S. [v] τέρπευ] τέρπου S. [x] ποιῇ] ποιῆται S. [y] ἐπικόπτειν] ἐπικώπτειν S.

16. τὸ εἴσω τῆς ψυχῆς δικαστήριον, —ἀποβλέπον,—] Optima et luculentissima est hæc lectio, quam e G. exhibemus; præ qua sordet plane illa prius edita, et recitari non meretur. Notandum tamen est hic istius MSti, ut et Gallicorum, vitium in sequentibus, sc. ποιῆται εὖ pro ποιῇ τῶν εὖ, aut saltem, ποιῆται τῶν εὖ,—. ASHT.

19. ἐπικόπτειν] Edidit quidem Curter. ἐπισκώπτειν, et sic ejus fide exhibuerunt editores posteriores. Sed cum hæc verba (ut ab aliis dudum est observatum) in codicibus sæpe invicem permutentur, et ἐπισκώπτειν loco huic minus conveniat, aptissime vero ἐπικόπτειν, non dubitavi cum Bentleio legere ἐπικόπτειν, i. e. *accusare, reprehendere*; præsertim cum sic in suo codice Aurispam legisse videam,

νόμους τινὰς λάβοι, καθ' οὓς [z]προσήκει τὴν ζωὴν συντάττειν, καὶ πρὸς τούτους [a]τὸ τῆς συνειδήσεως ταμιεῖον, ὡς πρός τινα [b]θεῖον σκοπὸν, [c]ἀπευθύνοι τὸν ὅλον ἡμῶν βίον; Ὀσημέραι δὲ ποιεῖσθαι τὴν τοιαύτην κρίσιν εἰσηγεῖται, ἵνα
[209] τῷ συνεχεῖ τῆς μνήμης τὸ τῆς κρίσεως ἀπλανὲς [d]διασώζηται· πρὸς ἑσπέραν δὲ, καὶ εἰς ὕπνον τρεπομένων, ὅπως ἂν [e]εἰς τὸ πέρας τῶν μεθημερινῶν πράξεων τὸ τῆς συνειδήσεως καθίζοιμεν δικαστήριον, ἐπικοίτιον ἆσμα Θεῷ τὴν τῶν διαθέσεων ἀνάκρισιν ποιούμενοι πῇ παρέβην; τί δ' ἔρεξα; τί μοι δέον οὐκ ἐτελέσθη; Οὕτω γὰρ [f]παραμετρήσομεν τὴν ἑαυτῶν

[z] προσήκει] προσήκη S. [a] τὸ τῆς] τῆς om. S. [b] σκοπὸν] θεῖον σκόπον S. Vat. et Med. [c] ἀπευθύνειν] ἀπευθύνει S. [d] διασώσηται] διασώζηται S. [e] εἰς τὸ πέρας] εἰς τὸ om. S. ut Curt. εἰς τὸ πέρας nescio an e ms. Holst. [f] παραμετρήσομεν] παραμετρήσωμεν S.

qui vertit, *accusare et corrigere*. Sic Laërtius de Xenophane, γέγραφε ἰάμβους καθ' Ἡσιόδου καὶ Ὁμήρου, ἐπικόπτων αὐτῶν τὰ περὶ θεῶν εἰρημένα. 9, 18. et Libanius Hypoth. in Demosth. Olynth. 3, παρελθὼν ἐπικόπτει τὴν ἀλαζονείαν αὐτῶν. Idem sonat hic ἐπικόπτειν, quod ἐπιπλήττειν vers. 44, i. e. ἐπιτιμᾶν, ἐγκαλεῖν, ut explicat Arrian. Diss. 4, 6. ASHT.

1. συντάττειν] Ita S. G. τάττειν editt. pr.

3. ἀπευθύνειν] Aurispa in suo codice legisse videtur ἀπευθύνοι (ut supra λάβοι) sic enim Latine reddit, *et ad has conscientia nostra, tanquam ad aliquod signum, omnem nostram vitam dirigat*. Non vult igitur hic, ut ipsa conscientia ad scopum dirigatur, sed ut illa vitæ actiones dirigat; sc. καὶ πρὸς τούτους τὸ τῆς συνειδήσεως ταμιεῖον,— ἀπευθύνοι τὸν ὅλον ἡμῶν βίον· atque sic quidem sensu melius videtur, et phrasi quoque, quam τὸ τῆς συνειδήσεως ταμιεῖον ἀπευθύνειν τὸν ὅλον ἡμῶν βίον (pro, παρ' ὅλον τὸν βίον) i. e. *conscientiæ abdita dirigere toto vitæ nostræ spatio*, ut reddit Curterius. ASHT.

6. τρεπομένων] Ita pro vulg., τρεπόμενον, editor Cant. e D. [et sic S.] emendavit, subaudito sc. ἡμῶν. Quod tamen melius, ut opinor, additum fuisset: nam participii absoluti usus vult, ut aut substantivum habeat conjunctum, aut proxime præcedens, ad quod plane referatur; quorum neutrum hic apparet. Quocirca non spernendum videtur τρεπομένοις, quod in margine posuit Curter., etsi ejus acumen irridet Needham, *cum nihil*, inquit, *sit ad quod illud* τρεπομένοις, *referatur*: At ipsi potius defuit acumen; nam refertur plane ad verbum εἰσηγεῖται in priore sententia, ὁσημέραι ποιεῖσθαι κρίσιν εἰσηγεῖται (ἡμῖν)—, uti ostendit δὲ particula, nempe πρὸς ἑσπέραν δὲ (sc. εἰσηγεῖται ἡμῖν)—τρεπομένοις· et sic quidem Aurispa in versione repetit, *Suadet præterea, cum nox advenerit*,—. ASHT.

ζωὴν τοῖς παραδεδομένοις κανόσι, τῷ νομοθέτῃ νῷ τὸν κριτὴν λόγον ἐπισυνάπτοντες. Τί οὖν ὁ νομοθέτης λέγει; Τιμᾶν τοὺς φύσει κρείττονας κατὰ τὴν οὐσιώδη αὐτῶν τάξιν· γονέων καὶ συγγενῶν πλεῖστον ποιεῖσθαι λόγον· τοὺς ἀγαθοὺς ἄνδρας ἀσπάζεσθαι καὶ φιλεῖν· τῶν σωματικῶν δυνάμεων ὑπερέχειν· ἑαυτὸν αἰδεῖσθαι παντα χοῦ· δικαιοσύνης ἐπιμελεῖσθαι· χρημάτων καὶ τῆς ἐφημέρου ζωῆς προεγνωκέναι τὸ εὔφθαρτον· τὸν ἀπὸ τῆς θείας κρίσεως ἀπονεμηθέντα κλῆρον ἀσπάζεσθαι· θεοπρεπεῖ δὲ [g] αἵρεσθαι φρονήματι, καὶ πρὸς τὸ βέλτιον μεθιστάναι τὴν γνώμην· φιλολογίαν ἀσκεῖν τῶν ὄντως λόγων· ἀνεξαπάτητον εἶναι, καὶ ἀδούλωτον πρὸς τὴν τῆς ἀρετῆς τήρησιν· εὐβουλίᾳ πρὸ τῶν ἔργων χρῆσθαι, ἐξ ἧς τὸ ἀμεταμέλητον ἐν τοῖς ἔργοις παραγίνεται· οἰήσεως καθαρεύειν· τὸν ἐπιστημονικὸν μεταδιώκειν βίον· τὸ σῶμα καὶ
[210] τὰ ἐκτὸς πρὸς τὴν τῆς ἀρετῆς [h] ἐνέργειαν μεταρρυθμίζειν· ταῦτα ὁ νομοθέτης νοῦς διαθεσμοθετεῖ ταῖς ψυχαῖς· ὁ δὲ [i] ὑποδεξάμενος αὐτὰ λογισμὸς δικαστὴς ἄγρυπνος ἑαυτοῦ [156]
γίνεται, θαμὰ [k] πρὸς ἑαυτὸν λέγων πῇ παρέβην; τί δ' ἔρεξα; [l] τί μοι δέον οὐκ ἐτελέσθη; καὶ ἐν τάξει τὴν μνήμην ἀναλαμβάνων ἀρετῆς [m] εἵνεκα. Εἶτα εὑρὼν ἑαυτὸν

[g] χρῆσθαι] Sic em. Bentl. αἵρεσθαι V. et Med. χαίρεσθαι Curt. θεοπρεπεῖ δὲ χρῆσθαι om. S. [h] ἐνέργειαν μεταρρυθμίζειν] συνέργειαν μεταρυθμίζειν S. Vat. et M. πρὸς τὴν τῆς ἀρίστης ζωῆς συνέργειαν D. [i] ὑποδεξάμενος] διαδ. V. M. [k] λέγων πρὸς ἑαυτὸν] πρὸς ἑαυτὸν λέγων S. [l] τί μοι—ἐτελέσθη om. S. [m] εἵνεκα] ἢ κακίας Holst. marg.

14. τὸν ἐπιστημονικὸν—] Rectius fortasse hæc cum prioribus conjungas, sc. —καθαρεύειν, καὶ τὸν ἐπιστημονικὸν—, quia sunt ejusdem præcepti, versu 30mo, atque sic conjunguntur ab Hierocle in comment. βίος—οἰήσεως μὲν καθαρεύων, ἐπιστήμης δὲ πλήρης. ASHT.

20. ἀρετῆς εἵνεκα] Mire hæc Casaubono displicent, atque eorum loco lecta vult ἀρετῆς καὶ κακίας· quam ejus conjecturam nimium patienter admittit Dacerius, sc., μνήμην ἀναλαμβάνων ἀρετῆς καὶ κακίας. Bentleius autem pro ἀρετῆς proponit nobis ἐρευνῆς, vel ἐξετάσεως, vel ἀνακρίσεως, atque ipse etiam editor Cant., μελέτης. Quidni vero meas ego quoque nugas his adjiciam, sc. ἀναμετρήσεως εἵνεκα, vel, ἀναμετρεῖ ἕκαστα? Atqui his auxiliis non indiget locus, per se satis sanus; ἀρετῆς εἵνεκα, idem est, quod ἀρετῆς χάριν, vel ὑπὲρ ἀρε-

συμφώνως τοῖς προκειμένοις ὅροις διημερεύσαντα, τῆς θείας εὐφροσύνης τοῖς καρποῖς ἀναδεῖ. Παρὰ μέλος δέ τι πράξαντα φωράσας, ὥσπερ τισὶ φαρμάκοις, ταῖς ἐκ τῆς μετανοίας νουθετήσεσιν ἐπιστύφει. Διὸ τὸν ὕπνον ἀποκρούσασθαι δεῖν φησὶ τῇ [n]προθυμίᾳ τοῦ λογισμοῦ. [o]Ἀνέξεται δὲ τὸ σῶμα, μὴ κατασυρόμενον ὑπὸ τῆς τοῦ [oo]καταδαρθάνειν ἀνάγκης διὰ τὴν σώφρονα δίαιταν, δι' ἣν καὶ τὰ ἀναγκαῖα πάθη [p]τῇ τοῦ λογισμοῦ ἡγεμονίᾳ συντάττεται. Μὴ προσδέξασθαι γάρ φησι τὸν ὕπνον, πρὶν τῶν ἡμερινῶν ἔργων λογίσασθαι ἕκαστον. Καὶ τίς ὁ λογισμός; πῇ παρέβην; τί δ' ἔρεξα; τί μοι δέον οὐκ ἐτελέσθη; Διχῶς γὰρ ἁμαρτάνομεν, ἢ τὸ μὴ δέον ποιήσαντες, ὃ διὰ τοῦ παρέβην δηλοῦται· ἢ τὸ δέον μὴ ποιήσαντες, ὡς ἐπ' αὐτῆς κεῖται τῆς
[213] λέξεως. [v]Ἄλλο γὰρ [q]ἀργίας τοῦ καλοῦ, καὶ ἄλλο ἐνέργειας τοῦ αἰσχροῦ· καὶ τὸ μὲν τῇ παραλείψει κακίζεται, τὸ δὲ τῇ [r]παραδοχῇ. (Οἷον, εὔχεσθαι δεῖ, καὶ βλασφημεῖν οὐ δεῖ· τρέφειν γονέας δεῖ, προπηλακίζειν δὲ οὐ δεῖ.) Ὁ οὖν

[n] προθεσμίᾳ D. [o] Ἀνέξεται] ἀνέξασθαι Vat. [oo] δαρθάνειν] καταδαρθάνειν S. Vat. [p] τοῦ λογ.] τῇι τοῦ λ. S. et Vat. ni fallor. [q] ἀργία—ἐνέργεια] ἀργίας—ἐνεργείας S. [r] παραδοχῇ] παροχῇ S. Vid. p. 113, 2.

τῆς, ut in superioribus, ὑπὲρ ἀρετῆς λογιούμεθα λόγον. Nimirum vult, ut per hoc examen suus virtuti honos constet, dum bene facta probantur, et male facta damnantur. Quod si mutatione aliqua opus esset, suppetit mihi opportune ex Aurispæ versione, quod hic suppleam; vertit enim, *factorum memoriam*, unde liquet eum in suo codice legisse τῶν πεπραγμένων. Hoc igitur auctore refingo, ἐν τάξει τὴν τῶν πεπραγμένων μνήμην ἀναλαμβάνων ἀρετῆς εἵνεκα, unde Casauboni conatus penitus subvertitur. Firmat autem hanc lectionem ipse Hierocles in loco consimili supra, ἵνα τὸ εἴσω δικαστήριον ποιῇ τῶν εὖ ἢ κακῶς πεπραγμένων τὴν ἐπίκρισιν. Atque ita fere Epict. ap. Arrian. de hoc versu, ἀναπόλει τὰ πεπραγμένα· πῇ παρέβην τῶν πρὸς εὕροιαν; τί ἔρεξα, ἢ ἄφιλον, ἢ ἀκοινώνητον; τί μοι δέον οὐκ ἐτελέσθη πρὸς ταῦτα; Diss. 4, 6. ASHT.

14. ἀργία—ἐνέργεια] Sc. ἐστί. Sic in nominativo recte exhibebant ed. Paris. et Lond.; ita enim sensus, et Græci sermonis usus postulat. Editor vero Cant. aliter opinans, horum casum, *suadentibus*, ut ait, *MSStis Gall.*, temere in deterius mutavit, sc. ἀργίᾳ—ἐνεργείᾳ. ASHT.

τὰ πρότερα μὴ ποιῶν, τὰ δέοντα [s]οὐ ποιεῖ· ὁ δὲ τὰ δεύτερα ποιῶν, τὰ μὴ δέοντα ποιεῖ· [t]εἰ καὶ ἀμφότερα τρόπον τινὰ πρὸς τὴν ἴσην παρανομίαν ἔρχεται. Τὴν δὲ ἀναμέτρησιν τῶν ἡμερινῶν ἔργων παραινεῖ ποιεῖσθαι ἀπὸ πρώτου ἕως τελευταίου ἐν τάξει, μηδὲν [v]παραλείποντα τῶν μέσων· ὃ διὰ τοῦ ἐπέξιθι νοεῖται. Πολλάκις γὰρ ἡ μετάθεσις παραλογίζεται τὴν κρίσιν, καὶ εὐαπολόγητον ποιεῖ τὸ κακῶς εἰργασμένον τῇ ἀταξίᾳ τῆς μνήμης. Καὶ ἄλλως δὲ ἡ τῆς καθημερινῆς ζωῆς ἀνάμνησις μελέτη γίνεται τῆς τῶν προβεβιωμένων ἀναπολήσεως, καὶ τῆς [w]ἀθανασίας ἡμῶν συναίσθησις. Καὶ τὸ θαυμαστὸν, λογίσασθαι ἕκαστον εἰπὼν οὐκ ἐπήγαγε, τί κατώρθωσα; τί μοι τῶν δέοντων πέπρακται; ἀλλὰ εἰς τὸ ἀτυφότερον τὴν μνήμην μεθήρμοσε, τῶν ἡμαρτημένων τὴν κρίσιν ποιούμενος· καὶ δικαστὴν ἐπέστησε τὸν δικαιότατον ἅμα καὶ οἰκειότατον, τὸ συνειδὸς αὐτὸ, καὶ τὸν ὀρθὸν λόγον, καὶ αὐτὸν ἑαυτῷ, ὃν πάντων μάλιστα αἰδεῖσθαι προεπαιδεύθημεν· τί γὰρ οὕτω δύναται νουθετῆσαι ἄλλος [214] ἄλλον, ὡς αὐτὸς ἑαυτόν; Τὸ γὰρ αὐτεξούσιον, τῇ ἐλευθερίᾳ τῆς φύσεως ἀποχρώμενον, ἀποσείεται τὰς παρὰ τῶν ἄλλων συμβουλὰς, ὅταν μὴ ἐθέλῃ πείθεσθαι· ὁ δὲ οἴκοθεν λογισμὸς αὐτὸς ἑαυτοῦ κατακούειν ἀνάγκην ἔχει. Τοῦτον ἐπίτροπον [x]ἡμῖν ὁ Θεὸς ἐπέστησε· τοῦτον παιδαγωγὸν καὶ διδάσκαλον. Τοῦτον καὶ νῦν δικαστὴν ὁ λόγος τῶν ἡμερινῶν ἔργων ποιεῖται, καὶ παρ' αὐτοῦ τὴν κρίσιν ἐκδέχεται, ἵν' αὐτὸς ἑαυτὸν [y]ψηφίσηται ἀποδοχῆς ἢ ἐπιπλήξεως ἄξιον. Ὅταν γὰρ, ὡς ἐν γραμματείῳ, τῇ μνήμῃ ἀναγνῷ τὰ πε-

[158]

[s] μὴ ποιεῖ] οὐ ποιεῖ S. [t] εἰ καὶ] εἰ om. Med. [v] παραλείποντα] παραλιπόντα S. [w] ἀθανασίας] εὐαθαν. Vat. nescio quid velit, et sic Med. Holst. [x] In marg. ·Ṡ· π\ S. [y] ψηφίζηται] ψηφίσηται S. Vat. M.

12. οὐκ ἐπήγαγε] G. habet οὐκ ἔτι ἐπήγαγε, quod non est improbandum. ASHT.

17. τί γὰρ—] Sic G. [et S.] τις γὰρ—ἄλλος ἄλλον, edd.

πραγμένα, τότε κρίνει [z] πρὸς παράδειγμα ἀποβλέπων τὸν νόμον, καὶ ψηφίζεται τιμῆς ἢ ἀτιμίας ἑαυτὸν ἄξιον. Ἡ δὲ τοιαύτη καθ' ἡμέραν παρακολούθησις θεοειδὲς ἄγαλμα τὸν χρώμενον ἀποτελεῖ, προσθήκαις καὶ ἀφαιρέσεσι πρὸς τὸ τῆς ἀρετῆς κάλλος παιδαγωγοῦσα, καὶ ὡς οἷόν τε ἄνθρωπον ἀγαθὸν ἀποτελοῦσα. Εἰς τοῦτο γὰρ κατέληξεν ὁ λόγος, μέλλων μεταβαίνειν ἐπὶ τὰ θεοποιὰ παραγγέλματα,

XX. 45—48. [160]

Ταῦτα πόνει· ταῦτ' ἐκμελέτα· τούτων χρὴ ἐρᾶν σε·
ταῦτά σε τῆς θείης ἀρετῆς εἰς ἴχνια θήσει.
[217] Ναὶ μὰ τὸν ἀμετέρᾳ ψυχᾷ παραδόντα τετρακτύν,
παγὰν ἀενάου φύσεως.—

Ταῦτ' ἦν, ὃ καὶ ἐν προοιμίοις ἐλέγομεν, ὅτι ἡ μὲν πρακτικὴ φιλοσοφία διὰ τῆς τῶν ἀρετῶν κτήσεως ἄνθρωπον ἀγαθὸν ἀποτελεῖ, ἡ δὲ θεωρητικὴ εἰς ὁμοιότητα Θεοῦ καθίστησι, νοῦ καὶ ἀληθείας ἐλλάμψει· προηγεῖσθαι δὲ, ὡς πρὸς ἡμᾶς, τὰ ἐλάττονα τῶν μειζόνων ἐξ ἀνάγκης. Ῥᾷον γὰρ [a] ἐπιμετρῆσαι τὸν ἀνθρώπινον βίον τῇ εὐλογίστῳ χρήσει, τοῦ παντελῶς αὐτὸν μεθεῖναι· ὃ γένοιτ' ἂν, διὰ τῆς πρὸς

[z] πρὸς τὸ] τὸ om. S. D. [a] ἐπιμετρῆσαι] ἐπιμετρεῖσθαι Holst. marg.

14. Ταῦτ' ἦν, ἃ καὶ ἐν—] Sic G. Editt. pr. ταυτὸν, ὃ καὶ ἐν—. Confer proœmii initium. ASHT. ταῦτ' ἦν ὃ S.

[m] ἑαυτοῦ] αὐτοῦ S. V. M. [n] μεταμφιάσασθαι] μεταμφιέσασθαι S. [o] οὗτος] οὕτως S. [p] τῆς ἀρετῆς] τῆς om. S. [q] θεὸς ἢ θηρίον γενέσθαι λέγεται] θηρίον λέγεται ἢ θεὸς γίνεσθαι S. [r] ἤτοι] Sic S. [s] ἢ ἐλλ.] ἢ om. S.

4. οἷά τε γ.] Sic G. οἷόν τε S. edd.

5. θηρίου μεταμφιάσασθαι σῶμα] Hanc animarum humanarum in brutorum corpora transmigrationem docuit Pythagoras (ut in vita ejus dicit Porphyrius) atque etiam Plato in Timæo p. 42, et Phædone sect. 21. ed. Cant.; cui doctrinæ hic refragatur Hierocles, ut et in libro de providentia ap. Phot. Cod. 214, et 251; ubi in ea fuisse sententia Platonem pernegat. Hierocli vero suffragatur etiam Proclus in Comment. ad hæc Platonis in Timæo verba, εἰς θηρίου βίον ἀνθρωπίνη ψυχὴ ἀφικνεῖται, id est (ut ait ille) εἰς θηριώδη βίον, ἀλλ' οὐχὶ εἰς σῶμα θήρειον.— ἡ γὰρ θήρειος φύσις οὐκ ἔστι τὸ σῶμα τὸ θήρειον, ἀλλ' ἡ ζωὴ τοῦ θηρίου. p. 329. quibus consentit etiam Iamblic. in Μονοβίβλῳ de ea re scripto, ut ait Nemesius cap. 2. p. 85. ed. Ox. Atque ita quidem Timæus Locrus, ipse Pythagoricus, declarat hanc μετενσωμάτωσιν non veram, sed allegoricam esse, περὶ ψυχᾶς κόσμω, sub finem. Hujus vero dogmatis ortum Ægyptiis tribuit Herodotus 2. 123. Confer Æneæ Gaz. Theophrast. pag. 14. ed. Barth. ASHT.

9. μὴ νοῶν] Ita G. ἀγνοῶν S. edd.

15. ἤτοι] G. habet εἴτο, quod male scriptum esse pro ἤτοι non dubitavimus; atque sic vertit Aurispa, *aut*, i. e. ἤτοι, non ἤ τι, quod de proprio inseruit editor Cant. ASHT.

ἀφορμὴν τῆς ὑποκένου δόξης καὶ ἀέλπτου ἐλπίδος πεποίηται. Ὁ δὲ ἐν τοῖς δημιουργικοῖς [t] μέτροις ἕκαστα ἀφορίζων, καὶ γινώσκων τὰ ὄντα, ἢ γέγονε, καὶ παραμετρῶν τῷ θεῷ τὴν ἑαυτοῦ γνῶσιν· οὗτος τὸ Ἕπου Θεῷ μάλιστα τηρεῖ, καὶ τὸ Ἄριστον μέτρον οἶδε, καὶ τῆς ἀνεξαπατήτου ἐλπίδος τυγχάνει.

XXIV. 54—60.

Γνώσῃ δ' ἀνθρώπους αὐθαίρετα πήματ' ἔχοντας
τλήμονας, οἵ τ' ἀγαθῶν πέλας ὄντων οὔτ' ἐσορῶσιν,
[253] οὔτε κλύουσι· λύσιν δὲ κακῶν παῦροι [v] συνίσασι. [186]
Τοίη μοῖρ' [w] αὐτῶν βλάπτει φρένας· [x] οἱ δὲ κυλίνδροις
ἄλλοτ' ἐπ' ἄλλα φέρονται ἀπείρονα πήματ' ἔχοντες.
[y] Λυγρὰ γὰρ συνοπαδὸς ἔρις βλάπτουσα λέληθε
σύμφυτος· ἣν οὐ δεῖ [z] προάγειν, εἴκοντα δὲ φεύγειν.

Τῆς τῶν ἀσωμάτων καὶ σωματικῶν γενῶν καλῶς γνωσθείσης διατάξεως, ἕπεται καὶ τὴν ἀνθρώπου οὐσίαν ἀκριβῶς γνωρίζεσθαι, οἵά τε οὖσα τυγχάνει, καὶ οἵων δεκτικὴ παθημάτων· καὶ ὅτι ἐν μεθορίῳ ἐστὶ τῶν τε ἀπτώτων εἰς κακίαν, καὶ τῶν πρὸς ἀρετὴν [a] οὐ πεφυκότων

[t] μέτροις] νόμοις μέτροις S. [v] συνίσασι] συνίασι S. [w] μοῖρα βροτῶν] μοῖρ' αὐτῶν S. [x] ὡς δὲ κυλινδροι] οἱ δὲ κυλίνδροις S. [y] Λυγρὴ] λυγρὰ S. [z] προσάγειν] προάγειν S. vid. infr. p. 210. Needh. [a] οὐ] οὔτε S.

3. παραμετρῶν τῷ θεῷ] Ita Plato de Leg. 4. p. 716. ὁ θεὸς ἡμῖν πάντων χρημάτων μέτρον ἂν εἴη. et sic fere Athenag. in Legat. οἷς ὁ βίος ὡς πρὸς στάθμην τὸν θεὸν κανονίζεται. ASHT.

4. τὸ, Ἕπου Θεῷ] Ita de Pythagoreis Iamblic. in vit. Pythag., ἅπας ὁ βίος συντέτακται πρὸς τὸ ἀκολουθεῖν τῷ θεῷ. Sic Epict. ap. Arrian. Diss. 1. 12. τέλος ἐστὶ τὸ ἕπεσθαι θεῷ. et Antonin. 10, 11. εὐθεῖαν περαίνοντι ἕπεσθαι θεῷ. Boëth. Consol. 1. 4. *Instillabis auribus meis Pythagoricum illud,* ἕπου Θεῷ. Philo de Abr. migrat.. τέλος ἐστὶ κατὰ τὸν ἱερώτατον Μωσῆν τὸ ἕπεσθαι Θεῷ. In sequentibus vero sic distinguo καὶ τὸ, Ἄριστον μέτρον, οἶδε, —. Ita Simplicius in Epict. p. 221. ed. L. B. ποῦ ἂν εἴη τὸ, Μέτρον ἄριστον, εἰ μὴ ἐπὶ τῶν θείων, τῶν μετρούντων πάντα, καὶ ὁριζόντων τοῖς ἀρίστοις ὅροις; ASHT.

ἀνάγεσθαι· διὸ καὶ ἐπαμφοτερίζει ταῖς σχέσεσιν, ὁτὲ μὲν ἐκεῖ ζῶν τὴν νοερὰν εὐζωΐαν, ὁτὲ δὲ ἐνταῦθα τὴν αἰσθητικὴν ἐμπάθειαν προσλαμβάνων. [a]Ἔνθεν καὶ λέγεται ὀρθῶς ὑπὸ Ἡρακλείτου, ὅτι ζῶμεν τὸν ἐκείνων θάνατον, τεθνήκαμεν δὲ τὸν ἐκείνων βίον. Κάτεισι γὰρ καὶ ἀποπίπτει τῆς εὐδαίμονος χώρας ὁ ἄνθρωπος, ὡς Ἐμπεδοκλῆς φησὶν ὁ [b]Πυθαγόρειος,

—φυγὰς θεόθεν, καὶ ἀλήτης,
[254] νείκεϊ μαινομένῳ πίσυνος.

[a] Ἔνθεν] ἔνθα vulg.

[b] Πυθαγόρειος] Πυθαγόριος S.

2. ζῶν—προσλαμβάνων] Sc. ὁ ἄνθρωπος, recte. Sed habet hic G. ζῶσα — προσλαμβάνουσα, sc. οὐσία τοῦ ἀνθρώπου. Eodem vero redeunt, nec mutatis optus est. ASHT.

4. ὑπὸ Ἡρακλείτου] Istud Heracliti effatum memorat etiam Sextus Empiricus Pyrrh. Hyp. p. 157 C. ὁ δὲ Ἡράκλειτός φησιν, ὅτι καὶ τὸ ζῆν καὶ τὸ ἀποθανεῖν καὶ ἐν τῷ ζῆν ἡμᾶς ἐστι, καὶ ἐν τῷ τεθνάναι. Ὅτε μὲν γὰρ ἡμεῖς ζῶμεν τὰς ψυχὰς ἡμῶν τεθνάναι καὶ ἐν ἡμῖν τεθάφθαι· ὅτε δὲ ἡμεῖς ἀποθνήσκομεν, τὰς ψυχὰς ἀναβιοῦν καὶ ζῆν. Hoc, posita animarum præexistentia, necessario sequitur: dubio enim procul animæ in cœlestibus locis versanti ad terrena hæc descendere, mors esset habenda: contra vero, ope mortis ad antiquam patriam reverti, vera esset vita. Hæc autem videtur Heraclitus primo dixisse de Ignis, Aquæ, Aëris, et Terræ, mutua, ut censuit, metamorphosi. Sic certe hoc philosophi dictum usurpat Max. Tyrius p. 260. ed. Davis. ubi male legi ζῶντας βίον, pro θάνατον, ut habet Hierocles, observavit etiam Gatakerus inter ea, quæ congessit in hanc rem ad Marc. Antonin. IV. 46. ubi indicat Clementem Alex. Strom. VI. velle Heraclitum hoc dogma ab Orpheo mutuo accepisse. Vid. Macrobium in Somn. Scip. lib. I. c. 11. et Porphyr. de Ant. Nymph. p. 112. NEEDHAM.

ib. Ἡρακλείτου —] Idem fere Heraclitidicti citat Porphyr. de Antro Nymphar., et Heraclid. Pont. ap. Galæ. Mythol. p. 443. ed. Amst. ASHT.

8. φυγὰς θεόθεν] Versus integer est, δὴν καὶ ἐγὼ νῦν εἰμι φυγὰς θεόθεν καὶ ἀλήτης, recitante Jacobo Windet *de Vita functorum statu* p. 107. qui reponit δὴν καὶ—νῦν εἰμὶ (ut habetur apud Plutarch. de Exil. p. 607.) et hæc subnectit: "Pythagorici tunc exulare ac mori "animam ferunt, cum vitam illam "vitalem, qua in cœlo fruebatur, "deserit et amittit, voluptatis "corporeæ illecebris inescata: ac "tunc descendere eam in regionem hanc corruptibilem atque "infimam." Hæc Empedoclis verba, quæ ab Hierocle laudantur, adducit Plotinus c. 1. lib. 8. Ennead. IV. observante etiam Marcilio: Ἐμπεδοκλῆς εἰπὼν (inquit Plotinus) ἁμαρτανούσαις νόμον εἶναι ταῖς ψυχαῖς πεσεῖν ἐνταῦθα, καὶ αὐτὸς φυγὰς θεόθεν γενόμενος ἥκειν πίσυνος μαινομένῳ νείκει, τοσοῦτον παρεγύμνου,

Ἄνεισι δὲ, καὶ τὴν ἀρχαίαν ἕξιν ἀπολαμβάνει, εἰ φύγοι τὰ περὶ [c]γῆν καὶ τὸν

ἀτερπέα χῶρον,

ὡς [d]ὁ αὐτὸς λέγει,

ἔνθα φόνος τε κότος τε καὶ ἄλλων ἔνθεα κηρῶν·

εἰς ὃν οἱ [e]ἐκπεσόντες,

Ἄτης ἀν λειμῶνα κατὰ σκότος ἠλάσκουσιν.

Ἡ δὲ ἔφεσις τοῦ φεύγοντος τὸν τῆς Ἄτης λειμῶνα πρὸς τὸν τῆς ἀληθείας ἐπείγεται λειμῶνα· ὃν ἀπολιπὼν, τῇ ὁρμῇ τῆς πτερορρυήσεως εἰς γήϊνον ἔρχεται σῶμα ὀλβίου

αἰῶνος ἀμερθείς.

Τούτοις δὲ καὶ ὁ Πλάτων ἐστὶ σύμφωνος, περὶ μὲν τῆς καθόδου [f]ταύτης λέγων· ὅταν δὲ ἀδυνατήσασα ἐπισπέσθαι

[c] γῆν καὶ τὸν] γῆναι τον S. [d] αὐτὸς] ὁ αὐτὸς S. [e] ἐμπεσόντες] ἐκπεσόντες S. [f] ταυτὶ] ταυτ S. ταύτης V. M.

ὅσον καὶ Πυθαγόρας, οἶμαι, καὶ οἱ ἀπ' ἐκείνου ἠνίττοντο περί τε τούτου περί τε πολλῶν ἄλλων. NEEDHAM.

2. καὶ τὸν—ἀτερπέα χ.] G. habet αἰτῶν—, quod fortasse corrupte scriptum est pro καὶ τὸν, aut pro θνητῶν—ἀτερπέα χῶρον. Nam εἰς θνητῶν τόπον legitur paulo post; at hoc, fateor, nihil ad Empedoclem. Illa autem, ἀτερπέα χῶρον, ab Homero mutuatus est Empedocles, Odyss. λ'. 93. Nam Ὁμηρικὸς ὁ Ἐμπεδοκλῆς, ut ait Aristot. ap. Laërt. 8, 57. ASHT.

6. ἐμπεσόντες, Ἄτης ἀν λειμῶνα κατὰ σκότος ἠλάσκουσι] Ita legimus e G.; nec multo aliter legit Julianus Imp. in Orat. 7. Ἄτης ἐν λειμῶνι κατὰ σκότον ἠλάσκονται, et Synes. de Provid. Ἄτης ἐν λειμῶνι κατὰ σκότον ἠλάσκουσι. ASHT.

7. Ἄτης ἂν λειμῶνα] Synesius de Provid. p. 89 D. καὶ τὰς [ψυχὰς] ἐκ τῆς ἑτέρας μερίδος τρόπον τινὰ ἐξορμησαμένας, φύσεως ἀνάγκῃ εἰς τὰς συγγενεῖς αὐλισθῆναι κευθμῶνας, ἔνθα **φόνος τε κότος τε καὶ ἄλλων ἔθνεα κηρῶν Ἄτης ἐν λειμῶνι κατὰ σκότον ἠλάσκουσιν.** Et apud eundem Epist. 146. οἶμαί σε καὶ πρὸ εὐχῆς εὖ πράττειν, ὅς γε ἀφεὶς τοὺς ἀνθρώπους ἡμᾶς, **Ἄτης ἐν λειμῶνι κατὰ σκότον ἠλάσκοντας,** καὶ ταῖς χθονίαις ἐγκαλινδουμένας φροντίσιν, αὐτὸς—ἀνεχώρησας. Ἐν λειμῶνι utrobique habetur: tamen cum codices Hieroclis Ἄτης ἀνὰ λειμῶνα exhibeant, Bentleii judicio elegantius legatur, ut in mss. Gallicis, ἄτης ἀν λειμῶνα .. *per pratum*, ut Homerus ἀμπεδίον pro ἀν πεδίον. Meminit etiam Themistius Orat. 13. Μηδὲ Ἐμπεδοκλεῖ συγχωροῦντες ἀληθῆ λέγειν, δυσφημοῦντι τὸν ἔγγειον τόπον, καὶ Ἄτης λειμῶνα ἐπονομάζοντι. NEEDHAM. ἀνὰ λ. τε καὶ σκότος Curt.

12. Πλάτων—περὶ τῆς καθόδου—] Vid. Phædr. p. 248. Illa autem περὶ τῆς ἀνόδου infra exstant in Timæ. p. 42. ASHT.

μὴ [g]ἴδῃ, καί τινι συντυχίᾳ χρησαμένη πτερορρυήσῃ τε καὶ ἐπὶ τὴν γῆν πέσῃ, τότε νόμος [h]ταύτην εἰς ζῷον θνητὸν εἰσοικίζεσθαι. Περὶ δὲ τῆς ἀνόδου ταῦτα· ὅτι τὸν [i]ὕστερον προσφύντα ὄχλον ἐκ γῆς, καὶ ὕδατος, καὶ ἀέρος, καὶ πυρὸς, θορυβώδη καὶ ἄλογον ὄντα, λόγῳ κρατήσας ὁ ἄνθρωπος, εἰς τὸ τῆς [k]πρώτης καὶ ἀρίστης ἀφικνεῖται εἶδος ἕξεως· ὅτε καὶ εἰς τὸ ξύννομον ἄστρον ἀνάγεται, [188] ὑγιὴς καὶ ὁλόκληρος γενόμενος. Ὑγιὴς μὲν τῇ τῶν παθῶν, ὡς νοσημάτων, ἀπαλλαγῇ, ὃ διὰ [l]τῆς πολιτικῆς ἀρετῆς [257] παραγίνεται· ὁλόκληρος δὲ, [m]τῇ νοῦ καὶ ἐπιστήμης, ὡς οἰκείων [n]μερῶν, ἀναλήψει, ὃ διὰ τῆς θεωρητικῆς ἀληθείας κατορθοῦσθαι πέφυκε. Καὶ πάλιν, ὡς δέοι τῇ ἐντεῦθεν φυγῇ τὴν ἀπὸ τῶν κρειττόνων γενομένην ἀπόστασιν [o]ἐξιᾶσθαι, σαφῶς παρίστησι, φυγὴν τῶν τῇδε κακῶν τὴν φιλοσοφίαν ὁριζόμενος. Συμπεφυκέναι γὰρ τὰ πάθη μόνοις τοῖς θνητοῖς ἀποφαίνεται διὰ τούτων· ἀλλ' οὐδὲ ἀπολέσθαι [p]τὰ κακὰ δυνατὸν, οὔτε [q]ἐν θεοῖς εἶναι, περὶ δὲ [r]τόνδε τὸν τόπον καὶ τὴν θνητὴν φύσιν περιπολεῖν ἐξ ἀνάγκης. Τοῖς γὰρ ἐν γενέσει καὶ φθορᾷ πάντως που καὶ τὸ παρὰ φύσιν [s]διατεθῆναι δύνασθαι παρέπεται· ὅπερ ἦν τῶν κακῶν

g ἴδῃ] εἰδῃ S. h αὐτὴν] ταύτην S. i ὄχλον προσφύντα ὕστερον] ὕστερον προσφύντα ὄχλον S. k πρωτέρας] πρώτης S. V. M. l τῆς πολιτικῆς] τῆς om. S. m τῇ νοῦ] τῇ om. S. n μερῶν] Nescio an μετρῶν S. ἴσ. πτερῶν ut versu ult. Holst. o ἐξιάσασθαι Holst. marg. p τὰ κακὰ] τὰ om. S. q Ab im. ἐν θεοῖς εἶναι] Ms. M. 2. inserit τὴν μὴ κεκαθαρμένην ψυχὴν ἐξιοῦσαν τοῦ σώματος. r τόνδε τὸν] τόνδε om. S. s διατεθῆναι] διατεθεῖναι S.

7. ὅτε] Ita G. [et S.] pro ὅτι in ed. pr., quod melius nobis visum est. Atque ex eodem legimus in sequentibus, εἰς τὸ σύννομον ἄστρον ἀνάγεται, pro, εἰς σ. ἄστρον ἄγεται, in editt. pr. Sic enim Plato in Timæo, πάλιν εἰς τὴν τοῦ συννόμου πορευθεὶς οἴκησιν ἄστρου. ASHT.

11. οἰκείων μερῶν] i. e. δυνάμεων, uti ipse haud semel explicat. At G. habet hic μέτρων, male, ut videtur. ASHT.

14. τὴν φιλοσοφίαν] Sic G. [et S.] τὴν om. edd.

18. περιπολεῖ] Hæc sunt Platonis verba in Theæteto p. 176. τὴν δὲ θνητὴν φύσιν, καὶ τόνδε τὸν τόπον περιπολεῖ ἐξ ἀνάγκης. ASHT.

ἀρχή. Πῶς δὲ δεῖ ταῦτα φεύγειν ἐπάγει· διὸ δεῖ ἐνθένδε ἐκεῖσε [t]φεύγειν· φυγὴ δὲ ὁμοίωσις Θεῷ κατὰ τὸ [v]δυνατόν· ὁμοίωσις δὲ δίκαιον καὶ ὅσιον μετὰ φρονήσεως γενέσθαι. Τὸν γὰρ ἀποδρᾶναι βουλόμενον τὰ κακὰ τὴν θνητὴν φύσιν πρῶτον ἀποστραφῆναι δεῖ· οὐ γὰρ οἷόν τε ταύτῃ συμπεφυρμένους μὴ καὶ τῶν ἑπομένων αὐτῇ κακῶν ἐξ ἀνάγκης ἀναπίμπλασθαι. Ὥσπερ οὖν ἡ θεόθεν φυγὴ καὶ ἡ πτεροῤῥύησις τῶν κουφιζόντων ἡμᾶς πρὸς τὰ ἄνω πτερῶν εἰς τὸν τῶν θνητῶν ἤνεγκε τόπον, οἷς τὰ κακὰ συνεισέρχεται, οὕτως καὶ ἡ τῆς θνητῆς προσπαθείας ἀποβολή, καὶ ἡ τῶν ἀρετῶν, οἷον πτερῶν τινων, ἔκφυσις πρὸς τὸν τῶν
[258] κακῶν καθαρὸν τόπον, εἰς τὴν θείαν εὐζωΐαν, ἡμᾶς ἀνάξει. Μέση γὰρ οὖσα ἡ τοῦ ἀνθρώπου οὐσία τῶν τε ἀεὶ νοούντων τὸν Θεὸν καὶ τῶν μηδέποτε νοεῖν πεφυκότων ἄνεισί τε πρὸς ἐκεῖνα καὶ κάτεισι πρὸς ταῦτα, νοῦ κτήσει καὶ ἀποβολῇ πρὸς τὴν θείαν ὁμοίωσιν καὶ τὴν θήρειον διὰ τὸ τῆς φύσεως

[t] φεύγειν] *φυγεῖν* S. [v] δυνατὸν ἀνθρώπῳ] *ἀνθρώπῳ* om. S.

1. *φεύγειν*] Sic G. pro *φυγεῖν* in prioribus; atque ita ipse Plato in loco hic citato. ASHT.

12. *κακῶν καθαρὸν*] Ita G. [et S.], et MSS. Gall., atque Aurispa, *ærumnis vacuum*. Sic et ipse Plato in Theæt. [p. 177 A.], unde hæc citantur. Ea tamen erat editoris Cant. perversitas, ut, spretis hisce omnibus, futilem plane Curterii lectionem retinendam censuerit, sc. *καλῶν καθαρὸν τόπον*. In quibus, si sensum spectes, melius abesse posset vox *καθαρὸν*, ut sit, *τὸν τῶν καλῶν τόπον*, nam absona est phrasis illa *καλῶν καθαρὸν*, et sententiæ plane repugnat: hic enim, nisi fallor, est vocis *καθαρὸς* cum genitivis junctæ usus, ut id, quod in genitivo exprimitur, excipiat, et excludat; adeo ut *καλῶν καθαρὸν* hic sonet, *a bonis purum*, seu, *bonis vacuum*. Atqui vox *καθαρὸς* cum malis tantum sic juncta reperitur, ut exemplis aliquot nunc demonstrabimus. Sic enim Porphyr. *περὶ Ἀποχ.* 2, 19. *κακῶν καθαρὰ ψυχή*. Itidem 4, 13. *ψυχὴ ἀνοσίου κέρδους καθαρά*. Plutarch. in Publicola *φόνου καθαρὸς*, et alibi, *πρᾶξις ἀδικίας καθαρά*. Ceb. Tab. *καθαρὰ παντὸς κακοῦ ὁδός*. Joseph. Antiq. 1, 4. *γένος πονηρίας καθαρόν*. Iamblic. Protrept. c. 2. *κακίας, ὥσπερ κηλίδος, καθαρόν*. Ipse denique Hierocles postea, *αἴθερα ἐλεύθερον, ὑλικῶν παθημάτων καθαρός*. Tot igitur auctoribus et exemplis freti rejicimus illud *καλῶν*, et suam Hierocli elegantiam restituimus in his *κακῶν καθαρὸν τόπον*. ASHT.

ἀμφίβιον ἀνὰ μέρος οἰκειουμένη. Ταῦτ' οὖν ὁ περὶ τῆς [190]
ἀνθρωπινῆς ἐγνωκὼς οὐσίας οἶδε πῶς αὐθαίρετα πήματ'
ἔχουσιν οἱ ἄνθρωποι, καὶ πῶς τλήμονες καὶ τάλανες ταῖς
ἑαυτῶν αἱρέσεσι γίνονται. Ποτὲ μὲν γὰρ, ἔτι δυνάμενοι
μένειν ἐκεῖ, προπετείᾳ ὁρμῆς εἰς γένεσιν κατασύρονται· ποτὲ 5
δὲ, δυνάμενοι [w]θᾶττον ἐντεῦθεν ἀπολύεσθαι, αὐτοὶ ἑαυτοὺς
ταῖς ἀμετρίαις τῶν παθῶν καταπλέκουσι. Καὶ τοῦτο ἦν
τὸ τῶν ἀγαθῶν πέλας ὄντων μήτε ὁρᾶν μήτε ἀκούειν·
ἵνα ἀγαθὰ μὲν ἀρετὴ καὶ ἀλήθεια νῦν λέγηται· τὸ δὲ μὴ
ὁρᾶν πέλας ὄντα, τὸ μὴ δι' ἑαυτοῦ ἀνακινεῖσθαι πρὸς εὕρε- 10
σιν τῶν καλῶν· καὶ τὸ μὴ ἀκούειν, τὸ ταῖς παρ' ἄλλων
διδασκαλίαις μὴ ὑπήκοον γίνεσθαι. Διπλῆ γὰρ ἡ τῆς
ἐπιστήμης ἀνάληψις· ἢ διὰ μαθήσεως, ὡς δι' ἀκοῆς· ἢ δι'
[261] εὑρέσεως, ὡς δι' ὁράσεως. Αὐθαίρετα οὖν πήματα ἔχειν
λέγονται οἱ μήτε μανθάνειν παρ' ἄλλων μήτε εὑρίσκειν δι' 15
ἑαυτῶν ἐθέλοντες, ὡς τῆς συναισθήσεως τῶν ἀγαθῶν ἀμοι-
ροῦντες, καὶ διὰ τοῦτο πάντη ἀχρεῖοι. [a]Ὃς γὰρ ἂν μήτ'
αὐτὸς νοέῃ, μήτ' ἄλλου [x]λέγοντος ἐν θυμῷ βάλληται,
[y]ἐκεῖνος δ' αὖτ' ἀχρήϊος ἀνήρ. Οἱ δὲ περὶ τῶν ἀγαθῶν

[w] θᾶσσον] θᾶττον S. [x] Pro λέγοντος Med. habet ἀκούων, unde leg. ἀκούειν ut ap. Hesiod. (Opp. 294). HOLST. [y] ἐκεῖνος] κεῖνος S.

5. ἐκεῖ] i. e. apud superos. Sic paulo prius, ἐκεῖ ζῶν τὴν νοερὰν εὐζωΐαν. ASHT.

ib. εἰς γένεσιν] Hoc est, εἰς τὸν τῶν θνητῶν τόπον, ut supra dixit, sive τὸν κόσμον τὸν ὑποκάτω σελήνης, ita enim a philosophis ubique usurpatur vox γένεσις. Sic Ocellus de Univers. cap. 2, γένεσις μὲν ὅπου ἡ μεταβολὴ τῶν ὑποκειμένων·— ἰσθμὸς γάρ ἐστιν ἀθανασίας καὶ γενέσεως ὁ περὶ τὴν σελήνην δρόμος. De Platone vero idem notat Proclus, εἰῶθεν ὁ φιλόσοφος γένεσιν ἀποκαλεῖν τὸν ὑπὸ σελήνην τόπον. In Plat. Tim. p. 108. Atque ita sæpe ipse Proclus τὸ οὐράνιον opponit τῷ ὑπὸ σελήνην, seu, τῷ ἐν τῇ γενέσει. ASHT.

12. Διπλῆ γὰρ—] Ita fere Plato in Phædone sect. 23. ed. Cant., δεῖ ἓν τούτων διαπράξασθαι, ἢ μαθεῖν, ἢ εὑρεῖν. ASHT.

19. περὶ τῶν ἀγαθῶν μανθάνειν τε—] Habet hic G. παρὰ τῶν ἀγαθῶν μανθάνοντες. Voluit, opinor, παρὰ τῶν ἄλλων, atque sic quidem malim quam περὶ τῶν ἀγαθῶν, nam respicit plane ad supra dicta μανθάνειν παρ' ἄλλων. Lego igitur οἱ παρὰ τῶν ἄλλων μανθάνειν τε καὶ εὑρίσκειν—. ASHT.

μανθάνειν τε καὶ εὑρίσκειν ἔργον πεποιημένοι, οὗτοί εἰσιν οἱ κακῶν τὴν λύσιν συνιέντες, καὶ φυγῇ τῶν τῇδε [yy]πόνων εἰς τὸν ἐλεύθερον αἰθέρα μετοικιζόμενοι. Ὀλιγοὶ δέ εἰσιν οἱ τοιοῦτοι. Οἱ γὰρ πλεῖστοι κακοὶ, καὶ τῆς θνητῆς προσπαθείας ἥττους, καὶ φρενοβλαβεῖς ὑπὸ τῆς εἰς γῆν νεύσεως γενόμενοι· ὡς καὶ τοῦτο παρ' ἑαυτῶν τὸ κακὸν ἔχειν, διὰ τὸ βουληθῆναι φυγεῖν ἀπὸ Θεοῦ, καὶ ἀπομερίσαι [z]αὐτοὺς τῆς τούτου ὁμιλίας, ἧς [a]ηὐτύχουν ἐν αὐγῇ καθαρᾷ διάγοντες. Τὸν γὰρ ἀπὸ [b]Θεοῦ χωρισμὸν ἡ βλάπτουσα τὰς φρένας [192] μοῖρα [c]νῦν δηλοῖ. Οὐ γάρ [d]ἐστιν ἢ μὴ ἀνοηταίνειν τὸν [e]τοῦ Θεοῦ γενόμενον ἔρημον, ἢ μὴ ἔρημον εἶναι Θεοῦ, τὸν εἰς ἄνοιαν ἐκπεσόντα. Τὸν γὰρ ἀνόητον ἀνάγκη καὶ ἄθεον εἶναι, καὶ τὸν ἄθεον ἀνόητον. Ἀμφότεροι [f]δὲ, ὡς μὴ πρὸς τὸν [262] ἔρωτα τῶν καλῶν ἐγηγερμένοι, ἀπείρονα πήματ' ἔχουσιν, οἷον κύλινδροι ταῖς καταγώγοις πράξεσιν ἄλλοτε ἄλλοις κακοῖς συμφερόμενοι, καὶ μὴ ἔχοντες ὅ τι [g]χρήσονται ἑαυτοῖς, διὰ τὸ πάσαις ταῖς τύχαις ἀπαιδεύτως προσφέρεσθαι· νῦν μὲν ἐξυβρίζοντες ἐν πλούτῳ, νῦν δὲ ἐν πενίᾳ κακουργοῦντες, καὶ πρὸς ληστείαν μὲν ὑπὸ ῥώμης σώματος ἐκφερόμενοι, πρὸς δὲ βλασφημίαν ὑπὸ ἀσθενείας καὶ νοσημάτων· τήν τε ἀπαιδίαν ὀδυρόμενοι, καὶ τὴν πολυπαιδίαν ἀφορμὴν πολέμων καὶ αἰσχροκερδείας ποιούμενοι. Καὶ ἁπλῶς εἰπεῖν, οὐκ ἔστι τι τῶν ἐν τῷ βίῳ, ὃ μὴ πρὸς

yy πόνων] Bentleius malit τόπων. z αὐτοὺς] ἑαυτοὺς S. a εὐτύχουν] ηὐτύχουν S. b Θεοῦ] τοῦ Θεοῦ S. c νῦν δηλοῖ S. d ἐστιν ὃ μὴ Holst. marg. e τοῦ Θεοῦ] ἐκ Θ. S. f δὲ, ὡς] οἱ S. g χρήσονται ἑαυτοῖς] Mallem στήσονται ἑαυτοὺς HOLST.

10. μοῖρα νῦν δηλοῖ] Manifeste vera est hæc MS. D. [et sic S.] lectio, eamque confirmat ipse Hierocles in loco huic fere gemino in sequentibus, τὸν ἀπὸ τῶν κρειττόνων χωρισμὸν διὰ τῆς λυγρᾶς μοίρας ᾐνίξατο. Editor autem Cant., ne nihil ageret, hanc codicis optimi lectionem spernens, ex aliorum vitiis alteram ineptissimam conflavit, lectoribusque exhibuit, sc. μοῖρα τῇ πρὸς γῆν νεύσει δηλοῖ, quam nos amandandam prorsus censuimus. ASHT. ἡ πρὸς γῆν νεῦσις δ. Curt.

[h]κακοῦ τοῖς ἀνοήτοις γίνεται, πανταχόθεν στενοχωρουμένοις ὑπὸ τῆς αὐθαιρέτου κακίας, καὶ τοῦ μὴ ἀναβλέπειν πρὸς τὸ θεῖον φῶς, μηδ' [i]ἐπαίειν ἐθέλειν τῶν ὄντως ἀγαθῶν· ἀλλὰ καταδεδυκότας εἰς τὴν θνητὴν προσπάθειαν ὡς ἐν κλύδωνι τῷ βίῳ φέρεσθαι. Τούτων δὲ λύτις μία ἡ πρὸς Θεὸν ἐπιστροφή, ἣν ἐξευρίσκουσιν οἱ τὸ ὄμμα τῆς ψυχῆς καὶ τὸ οὖς πρὸς τὴν τῶν ἀγαθῶν ἀνάληψιν [k]ἐπεγείροντες, καὶ τὸ παρεπόμενον τῇ οὐσίᾳ ἡμῶν κακὸν τῇ ἀναγωγικῇ δυνάμει [l]θεραπεύσαντες. [265] [m]Ἦν δὲ συμφυὲς ἅμα καὶ ἐπίκτητον ἡμῖν κακὸν ἡ τοῦ αὐτεξουσίου παρὰ φύσιν κίνησις, καθ' ἣν ἐρίζειν τε καὶ ἐναντιοῦσθαι τοῖς θείοις νόμοις πειρώμεθα, οὐδὲν ἐπαισθανόμενοι ὅσον ἑαυτοὺς βλάπτομεν διὰ τοῦ δοκεῖν ἀντιτείνειν Θεῷ· ἀλλὰ μόνον τοῦτο τυφλῶς ὁρῶντες, ὅτι ἐδυνήθημεν ἀφηνιάσαι τῶν ἐκείνου θεσμῶν. Καὶ τοῦτο [194] ἦν τὸ πολλῷ τῷ αὐτεξουσίῳ χρήσασθαι καὶ [m]ἀμέτρῳ, [n]τὸ τολμᾶν ἀφίστασθαι Θεοῦ, καὶ τὴν λυγρὰν ἔριν πρὸς [o]αὐτὸν ἀναδέχεσθαι, καθ' ἣν ἐρίζομεν τρόπον τινὰ καὶ φιλονεικοῦμεν, ἐκείνου λέγοντος, Μὴ ποιήσῃς τόδε, τοῦτο αὐτὸ μάλιστα ποιεῖν ἐθέλειν· καὶ πάλιν αὖ, εἰ ἐκεῖνος λέγοι, Ποίησον τόδε, αὐτὸ τοῦτο μὴ ποιεῖν· ἵνα ἑκατέρωθεν τῆς ἀθλιότητος [p]ἑαυτοὺς πληρώσωσιν οἱ τῶν θείων ὅρων ἐκβαίνοντες, [q]τῷ τε μὴ ποιεῖν τὰ προστεταγμένα, καὶ [r]τῷ ποιεῖν τὰ ἀπηγορευμένα. Τί οὖν πρὸς τὴν λυγρὰν ταύτην ἔριν, τὴν συνόπαδον ἅμα καὶ σύμφυτον λεγομένην, ἐξευρήσομεν, τὴν ἐκ τοῦ ἐφ' ἡμῖν

[h] ἀφορμὴν κακοῦ] ἀφορμὴν om. S. Curt. Habet Holst. marg. et sic Needham cum D. Dixit quidem Demosthenes p. 16, 1. τὸ εὖ πράττειν παρὰ τὴν ἀξίαν ἀφορμὴ τοῦ κακῶς φρονεῖν τοῖς ἀνοήτοις γίνεται. Sed nescio an πρὸς κακοῦ idem fere valeat ac ἀφορμὴ κακοῦ. [i] ἐπαίειν] ἐπαίνειν S. [k] ἐπεγείροντες] ἐγείροντες S. [l] θεραπεύοντες V. [m] ἀμέτρῳ] ἀμέτρως V. [n] τὸ τολμᾶν] τῶ τ. S. [o] αὐτὸν] αὐτ S. [p] ἑαυτοὺς] ἑαυτοῦ S. [q] τῷτε] τότε S. [r] τῷ ποιεῖν] τοῦ π. S.

21. τὸν θεῖον νόμον ἐκβ.] G. [et S.] τῶν θείων ὅρων ἐκβαίνοντες.

24. λεγομένην] G. et Aurispa non agnoscunt hanc vocem. Habet S.

ib. τοῦ ἐφ' ἡμῖν] Sic G. [et S.] i. e. τοῦ αὐτεξουσίου. Sic paulo prius, ἡ τοῦ αὐτεξουσίου παρὰ φύσιν κίνησις, et postea, τὸ αὐτεξούσιον κί-

παρὰ φύσιν διατεθέντος ἐγειρομένην, καὶ διὰ τοῦτο, ὡς οἰκεῖον κακὸν, λεληθότως βλάπτειν πεφυκυῖαν; [s] Τί πρὸς ταύτην ἀντιτιθέναι δεῖ; τί τοῦ μαινομένου νείκους ἄκος [t] ἐξευρεῖν; τί τῆς καταγωγοῦ δυνάμεως [v] ῥῆγμα, ἢ τὸ

[s] Τί οὖν πρὸς Holst. marg. [t] εὑρεῖν] ἐξευρεῖν S. Vat. Med. [v] ῥῆμα sic V. M. Potius ῥῆγμα, ut in suo autographo Curterius legerat, id est κατακοπὴ, διακώλυμα. p. seq. τομὴν vocat. p. 282 et 290 περικόπτειν in simili sensu. HOLST.

νημα παρὰ φύσιν διατεθέν. Edd. ἐν ἡμῖν. ASHT.

3. μαινομένου νείκους ἄκος εὑρεῖν] Hæc, tanquam hemistichium, edidit Curter., atque sic secuti eum alii, et nos quoque exhibuimus; etsi poetæ hemistichium esse minime putamus, sed ipsius Hieroclis verba, ad Empedoclis illa supra citata respicientis, et ista duo, μαινομένου νείκους, ad rem suam hic (ut et paulo infra) accommodantis: nec pro hemistichio habet G. ubi pro ἄκος εὑρεῖν legitur ἄκος ἐξευρεῖν: atque mihi quidem sic legenda videntur, τί τοῦ μαινομένου νείκους ἄκος ἐξευρεῖν; nam ἐξευρεῖν est ἐμφατικώτερον quam εὑρεῖν, atque adeo loco huic aptius. Εὑρεῖν enim ἁπλῶς est τῆς παρασχούσης τύχης ἔργον, ut ait Scholiast. in Aristoph. Equites; ἐξευρεῖν vero est, τὸ σκέψει καὶ μηχανῇ εὑρίσκειν, ut inquit Phavorinus, quod hic certe requiritur. ASHT.

4. δυνάμεως ἴαμα] τὸ ῥῆμα quam hic esset importunum satis vidit interpres, qui ad oram τὸ ἔργμα adscripsit, idque in versione sua secutus est. Atqui neutrum esse legitimum, sed ἴαμα legendum, tum ex ipsis Pythagoræ verbis p. 105 (80). ἰᾶσθαι δὲ πρέπει etc. quæ persequitur Hierocles p. 125 (94). tum vero maxime ex his verbis τὴν γὰρ καταγωγὸν ῥοπὴν τῇ ἀναγώγῳ δυνάμει μόνως ἂν ἰασαίμεθα· sed ex verbo ἄκος in præcedente linea, cuivis paulo qui sit attentior et in his versatus, liquido constare queat. MER. CASAUBON. Hanc lectionem textui inserendam censui, cum ab Hierocle locis citatis firmari viderem, et ulterius p. 198. τὴν αὐτεξούσιον βλάβην οὕτω καταμηνύσας, λυγρὴ γὰρ etc. τὴν δὲ αὐτεξούσιον ἴασιν, ἣν οὐ δεῖ προσάγειν etc. ut monuit Bentleius, cui hæc Casauboni conjectura non displicet. NEEDHAM.

ib. ῥῆγμα] Ita exhibemus e G. pro ῥῆμα, quod e suo edidit Curt. [cum S.]; non quod ῥῆγμα, i. e. *ruptio*, nos cum Wolfio, tanquam veram lectionem, admittamus; sed quod ad veram proxime accedere videatur, sc. ἔργμα, prout conjecit, aut fortasse e codice aliquo in margine notavit, Curt., atque in suo invenisse videtur Aurispa, qui vertit, *ad frænandas vires;* id enim sonat ἔργμα. Ita Hesych. ἔργει, κωλύει. ἔργμασι, κωλύμασι. ἔργματα, φράγματα. Itidem Pollux 5, 29. e quo Phavorinus, κωλύματα, ἐμποδίσματα, ἐναντιώματα, ἔργματα. Est ergo ἔργμα, *impedimentum, obstaculum, sufflamen*, seu (ut vult Aurispa) *frænum:* quod cum ad hunc locum adprime quadret, et ad codicum (præsertim Medicæi) scripturam tam prope accedat, quin et in codice Veneto, quo usus est Aurispa, revera scriptum videatur, minime dubito veram

[266] πονεῖν ταῦτα, καὶ ἐκμελετᾶν, καὶ ἐν ἔρωτι [w]τίθεσθαι, ἅπερ τῆς θείας ἀρετῆς ἡμᾶς εἰς ἴχνια θήσει; Ταῦτα γὰρ ἦν ἡ λύσις τῶν κακῶν, ἣν οἱ παῦροι [x]συνίσασι· ταῦτα ἡ τῶν πέλας ὄντων ἀγαθῶν ἀκοὴ καὶ ὄψις· ταῦτα ἡ τῶν αὐθαιρέτων πημάτων ἀπαλλαγή· ταῦτα τῆς ἀπειρίας τῶν παθῶν ἡ τομή. Ταῦτα οὖν καὶ τῆς ἀθέου ἔριδος ἀποφυγὴ γένοιτ' ἂν, καὶ σωτηρία ψυχῆς, καὶ ἀποκάθαρσις τοῦ μαινομένου νείκους, καὶ ἀνάκλησις τῆς θεόθεν φυγῆς. Τὴν γὰρ καταγωγὸν ῥοπὴν τῇ ἀναγωγῷ δυνάμει μόνως ἂν [xx]ἰασαίμεθα, εἰ μὴ [y]περαιτέρω προάγοιμεν αὐτὴν, μηδ' ἐπὶ κακοῖς κακὰ συντιθείημεν, ἀλλ' ἐπιπειθεῖς γενόμενοι τῷ ὀρθῷ λόγῳ [196] φεύγοιμεν τὴν λυγρὰν ἔριν τῇ ἀγαθῇ ἔριδι, οὐ φιλονεικοῦντες ἀπειθεῖν τῷ Θεῷ, ἀλλὰ φιλονεικοῦντες ὅτι μάλιστα αὐτῷ πείθεσθαι· ἣν οὐδὲ ἔριν δεῖ καλεῖν, ἀλλὰ θεοπειθῆ ὑπακοὴν, καὶ ἐπιστροφὴν πρὸς τὸν θεῖον νόμον, καὶ ἑκούσιον ὑπόταξιν, τὰς ἀφορμὰς περικόπτουσαν τῆς ἀνοήτου [z]ἀπειθείας. Ταῦτα γὰρ οἶμαι πάντα διὰ τῶν προκειμένων ἐπῶν δηλοῦσθαι· τὸ μὲν τῆς αὐτεξουσίου πονηρίας διὰ τοῦ γνώσῃ δ' ἀνθρώ-
[269] πους αὐθαίρετα πήματ' ἔχοντας, οὓς τλήμονας δεῖ καλεῖν καὶ ἀθλίους, ὅτι πρὸς αὐτοπροαίρετον κακίαν εἰλκύσθησαν· τὸ δὲ μηδαμῶς τούτους ἐπαΐειν τῶν καλῶν ἐθέλειν, διὰ τοῦ λέγειν, οἵ τ' ἀγαθῶν πέλας ὄντων οὔτ' ἐσορῶσιν, οὔτε κλύουσι· καὶ ὅτι δυνατὸν ἀπολυθῆναι τῶν αὐθαιρέτων κακῶν δηλοῖ τὸ λύσιν δὲ κακῶν παῦροι [a]συνίσασιν, ὃ μεταξὺ

[w] τίθεσθαι] θέσθαι S. [x] συνίσασι] συνίασι S. [xx] ἰασαίμεθα] ἰάσαιτο V. [y] περαιτέρω] παραιτέρω S. [z] ἀπειθείας] ἀπαθείας S. [a] συνίσασιν] συνήασιν S.

esse hanc lectionem: nec me multum movet M. Casauboni auctoritas, qui hoc ἔργμα rejicit, ut suum ἴαμα introducat. Speciosa quidem sunt, quæ affert; sed palmarium illud ἴαμα hic legi debere, quia ἄκος legitur in præcedente linea, ταυτολογίαν non ita commodam facere mihi videtur. Utcunque vero hoc sit, reprehendenda certe est editoris Cant. temeritas, qui hanc ejus conjecturam lectoribus obtrusit. ASHT.

12. λυγρὰν ἔριν] Respicere videtur Hierocles ad celebrem Hesiodi locum Opp. v. 11. DACERIUS.

παρεμβέβληται, ἵνα τῶν ἐφ' ἡμῖν δείξας τὴν λύσιν ὑπάρχουσαν, καὶ τὸν δεσμὸν ἐκ τοῦ ἑκουσίου ἠρτῆσθαι μηνύσῃ. Εἶτα ἐπισυνάπτει τὴν τυφλότητος καὶ [b] κωφότητος ταῖς εἰς κακίαν ἐκπεσούσαις ψυχαῖς αἰτίαν, τοίη [c] γὰρ μοῖρ' αὐτῶν βλάπτει φρένας. Εἰς γὰρ ἄνοιαν καὶ ἀπροβούλευτον αἵρεσιν ὁ ἀπὸ τῶν κρειττόνων χωρισμὸς ἄγει, ὃν διὰ τῆς λυγρᾶς μοίρας ἠνίξατο, τῆς ποιούσης ἡμᾶς ἔξω τοῦ θείου χοροῦ [d] τῇδε πρὸς τὸ μερικὸν καὶ θνητὸν ζῷον νεύσει. Καὶ τὰ ἑπόμενα τῇ ἀβουλίᾳ παραδείκνυσι, καὶ πῶς [e] ἑκούσια ἅμα καὶ ἀκούσια τὰ πλημμελήματα ἐκδιδάσκει, τῇ κατ' ἐπι-
[270] πέδου κυλινδρικῇ κινήσει ἐοικέναι [f] φήσας τὸν τῶν ἀνοήτων βίον, ὃς κύκλῳ ἅμα καὶ ἐπ' εὐθείας τότε κινεῖται· κύκλῳ μὲν δι' ἑαυτόν· ἐπ' εὐθείας δὲ, διὰ τὴν πτῶσιν. Ὡς γὰρ ὁ κύλινδρος οὐ κατακρατεῖ τῆς περὶ τὸν ἄξονα κυκλικῆς [198]
περιαγωγῆς ἀπὸ τῆς ὀρθότητος πλαγιασθεὶς, οὕτως οὐδὲ ψυχὴ τῆς τεύξεως τῶν ὄντως ἀγαθῶν τυγχάνει, τοῦ ὀρθοῦ λόγου καὶ τῆς πρὸς θεὸν [g] στάσεως ἀποπεσοῦσα· πλα-

[b] κωφότητος] κουφότητος S. [c] μοῖρα βροτῶν] γὰρ μ. αὐτῶν S. γὰρ add. V. [d] τῇ] τῇδε S. Holst. marg. [e] ἀκούσια—ἑκούσια] ἑκούσια—ἀκούσια S. [f] φήσας] φησὶ Holst. marg. [g] συστάσεως] στάσεως S. Curt.

7. ἔξω τοῦ θείου χ.] τοῦ add. G., quod in prius editis [et S.] defuit. Ita ipse Plato, ἔξω χοροῦ τοῦ θείου, in Phædro p. 247. ASHT.

13. πτῶσιν] Nimirum, cylindrus suspensus κύκλῳ κινεῖται δι' ἑαυτὸν, sed in terram cadenti accedit alter motus ἐπ' εὐθείας διὰ τὴν πτῶσιν. Sed pro πτῶσιν legi fortasse potest ὦσιν, vel, πρόωσιν, *pulsum*, vel, *protrusionem*. Sic Aristot. Probl. 16, 5. ὁ κυλινδρὸς ὠσθεὶς εἰς εὐθὺ φέρεται. Epicurus ap. Laërt. 10, 5. οἷός τε εἰμὶ τρικύλιστος — ὠθεῖσθαι. Etsi enim cylindri per pronum motui sufficit πτῶσις, tamen ad κίνησιν κατ' ἐπιπέδου (quod hic dicitur) ab impellentis manu ὦσις requiritur. Quod ad ipsam vero rem attinet, vide Chrysip. ap. Gellium 6, 2. et Cic. de Fato, c. 18, 19. ASHT.

14. ὁ κύλινδρος οὐ κατακρατεῖ—πλαγιασθεὶς] Hoc, ut opinor, vult Hierocles, quod cylindrus κατ' ἐπιπέδου volutus motum circa axem non rite peragit cum motus ejus ἐπ' εὐθείας perturbatur, et, impedito extremorum altero, in obliquum torquetur; quia hæsitat tunc quoque motus circularis, et inæquabilis fit rotatio; adeo ut modo hoc, modo illud extremum (ὡς ἔτυχε) alteri antevertat, et ἄλλοτ' ἐπ' ἄλλα feratur cylindrus. ASHT.

νᾶται δὲ περὶ τὰ δοκοῦντα ἀγαθὰ, καὶ ἐκφέρεται [h]ἀπ' εὐθείας ταῖς αἰσθητικαῖς προσπαθείαις κυλιομένη· ὃ διὰ τοῦ ἄλλοτ' ἐπ' ἄλλα φέρονται ἀπείρονα πήματ' ἔχοντες παρέστησεν. Ἐπειδὴ [i]δὲ τῆς τὰς φρένας βλαπτούσης μοίρας, καὶ τοῦ χωρισμοῦ τοῦ ἀπὸ τῶν θείων, αἴτιον ἦν τὸ [k]αὐτεξούσιον κίνημα παρὰ φύσιν διατεθέν· πῶς δεῖ καὶ τοῦτο κατευνάζειν, καὶ πρὸς Θεὸν ἐπιστρέφειν, διὰ τῶν ἑξῆς δύο στίχων ἐδίδαξε· τὴν μὲν αὐτεξούσιον βλάβην οὕτω καταμηνύσας, λυγρὴ γὰρ συνόπαδος ἔρις βλάπτουσα λέληθε σύμφυτος, τὴν δὲ αὐτεξούσιον ἴασιν, ἣν οὐ δεῖ προσάγειν, εἴκοντα δὲ φεύγειν. Συνορῶν δὲ, ὅτι προηγουμένως τῆς παρὰ τοῦ Θεοῦ ἐπικουρίας χρήζομεν πρὸς ἀποφυγὴν μὲν τῶν κακῶν ἀνάκτησιν δὲ τῶν ἀγαθῶν, ὥσπερ τινὰ εὐχὴν ἐπήγαγε, καὶ βοηθείας αἴτησιν, τὴν πρὸς τὸν Δί' ἐπιστροφήν. [273]

[h] ἀπ'] ἐπ' S. [i] δὲ τῆς] δὲ om. S. [k] αὐτεξούσιον] αὐξούσιον S.

1. ἐκφέρεται ἀπ' εὐθείας] Ita plane legendum pro ἐπ' εὐθείας vidit Dacerius; et, cum sic in codice Veneto manifeste legerit Aurispa, vertens, *a rectitudine discedit*, nos non dubitavimus lectoribus exhibere ἀπ' εὐθείας, quod respondet plane superius dicto, ἀπ' ὀρθότητος πλαγιασθείς: nam omnino absurda est illa phrasis, ἐπ' εὐθείας ἐκφέρεται ταῖς προσπαθείαις. Is enim, qui recta progreditur, ἐπ' εὐθείας φέρεται, ut opinor, non ἐκφέρεται, i. e. in transversum fertur; et αἰσθητικαὶ προσπάθειαι hominem, non ἐπ' εὐθείας, sed, ἀπ' εὐθείας ἐκφέρουσι. Phrasis illa ἐπ' εὐθείας denotat certe motus per planum ὀρθότητα, cui opponitur πλαγιασμὸς, i. e. ἀπ' εὐθείας (nam sic Ammonius, τὸ ὀρθὸν ἀντίκειται τῷ πλαγίῳ) Bentleius tamen, nescio quomodo, dicit cylindrum, cum ἐπ' εὐθείας fertur, ἀπ' ὀρθότητος πλαγιάζεσθαι, id est, ἀπ' εὐθείας ἐκφέρεσθαι, quod intellexit fortasse editor Cant., qui hoc nobis eligendum proposuit, etsi nobis ἀσύστατον quiddam esse videtur. Habet autem hic G. κωλυομένη pro κυλιομένη, sc. αἰσθητικαῖς προσπαθείαις κωλυομένη, i. e. *sensuum affectionibus impeditus*; quod aliquo modo admitti potest. Sed nos hoc lectoris tantum judicio proponimus. ASHT.

11. εἴκοντα δὲ φεύγειν] Id est, cessim subterfugere, et se subducere, uti explicat Simplicius in Epict. c. 6. p. 50. ed. L. Bat., κατ' ὀλίγον ἑαυτὸν ὑπεξαίρειν,—ὅπερ ὁ τῶν χρυσῶν Ἐπῶν ποιητὴς εἶπεν, εἴκοντα χρὴ φεύγειν ἀπὸ τῶν τοιούτων. ASHT.

XXV. 61—66.

Ζεῦ πάτερ, ἦ πολλῶν [l]γε κακῶν λύσειας ἅπαντας,
[m]εἰ πᾶσιν δείξαις οἵῳ τῷ δαίμονι χρῶνται.
Ἀλλὰ σὺ θάρσει· ἐπεὶ θεῖον γένος ἐστὶ βροτοῖσιν,
οἷς ἱερὰ προφέρουσα φύσις δείκνυσιν ἕκαστα.
[o]Ὧν εἴ σοί τι μέτεστι, κρατήσεις ὧν σὲ κελεύω,
ἐξακέσας ψυχὴν δὲ πόνων ἀπὸ τῶνδε σαώσεις.

Τὸν ποιητὴν καὶ πατέρα τοῦδε τοῦ Παντὸς ἔθος ἦν τοῖς [200]
[n]Πυθαγορείοις τῷ τοῦ Διὸς καὶ Ζηνὸς ὀνόματι σεμνύνειν. Δι' ὃν γὰρ τὸ εἶναι καὶ τὸ ζῆν τοῖς πᾶσιν ὑπάρχει, τοῦτον δίκαιον ἀπὸ τῆς ἐνεργείας ὀνομάζεσθαι. Κύριον γὰρ ὄντως ὄνομα Θεοῦ, τὸ ταῖς ἐνεργείαις αὐτοῦ καὶ ταῖς ποιήσεσι μάλιστα πρέπον· τὰ δὲ ἐφ' ἡμῶν δοκοῦντα κύρια εἶναι
[274] τύχη καὶ προαίρεσις τίθεται μᾶλλον, ἢ ἡ τῆς οὐσίας οἰκειότης ἐξευρίσκει· ὡς ἔστιν ἐπὶ πολλῶν ἰδεῖν ὀνομάτων ἀλλοτρίως τισὶ κειμένων· οἷον, εἰ ὁ πονηρὸς τὸν τρόπον Ἀγάθων [o]καλοῖτο, καὶ εἰ ὁ ἄθεος τὴν γνώμην, [p]Εὐσέβιος. Τὰ γὰρ τοιαῦτα οὐδὲν μετέχει τῆς τῶν ὀνομάτων ὀρθότητος, ὅτι μηδὲν τῆς οὐσίας ἢ τῆς ἐνεργείας παρίστησι τῶν πραγμάτων ἐκείνων, οἷς κεῖται ὀνόματα. Τὴν οὖν ὄντως ὀρθότητα τῶν ὀνομάτων ἐν τοῖς ἀϊδίοις τῶν πραγμάτων [q]προσήκει ζητεῖν· καὶ τούτων ἐν τοῖς θείοις, καὶ τῶν θείων ἐν τοῖς ἀρίστοις. Ὅθεν καὶ τὸ τοῦ Διὸς ὄνομα σύμβολόν ἐστι καὶ εἰκὼν ἐν φωνῇ δημιουργικῆς οὐσίας, τῷ τοὺς πρώτους θεμένους τοῖς πράγμασι τὰ ὀνόματα, διὰ σοφίας ὑπερβολὴν, ὥσπερ τινὰς ἀγαλματοποιοὺς ἀρίστους, διὰ τῶν ὀνομάτων, ὡς δι' εἰκόνων,

[l] γε κακῶν] τε κ. S. [m] εἰ] ἢ S. [n] Πυθαγορείοις] Πυθαγορίοις S. [o] καλεῖται] καλοῖτο S. Holst. marg. εἰ om. V. [p] Εὐσεβὴς] Sic Curt. εὐσέβειος S. εὐσέβιος Vat. Med. [q] χρὴ] προσήκει S. Holst. marg.

13. ἐφ' ἡμῶν] Ita G. [et S.] rectius, quam ἐφ' ἡμῖν in editt. pr. Nam τὰ ἐφ' ἡμῖν sunt τὰ αὐτεξούσια, quæ non sunt hujus loci. ASHT.

ἐμφανίσαι αὐτῶν τὰς δυνάμεις. Τὰ γὰρ ἐν τῇ φωνῇ ὀνόματα σύμβολα τῶν ἐν τῇ ψυχῇ νοήσεων ἀπειργάζοντο, τὰς δὲ νοήσεις αὐτὰς γνωστικὰς εἰκόνας τῶν νοηθέντων πραγμάτων ἐποιοῦντο. Τῇ γὰρ πρὸς τὰ νοητὰ ἐπιστροφῇ θεωρίας πλησθέντες, κἀκεῖθεν ἐγκύμονες γενόμενοι νοερῶν ὠδίνων, εἰς φωνὰς ἤδη προϊόντες τοιαῦτα ἐτίθεντο τοῖς οὖσι [r] τὰ ὀνόματα, ἃ δι' αὐτῆς τῆς φωνῆς, καὶ τῶν εἰς τὴν ταύτης ἐκφώνησιν παραληφθέντων στοιχείων, ὡς οἷόν τε ἦν, [s] ἀπετυποῦτο τῶν ὀνομαζομένων τὰ εἴδη, καὶ ἐπέστρεφε πρὸς αὐτὰς τὰς [202]
[277] οὐσίας τοὺς ὀρθῶς αὐτῶν κατακούοντας· ὥστε γίνεσθαι τὸ πέρας τῆς ἐκείνων θεωρίας ἀρχὴν ἡμῖν πρὸς εὕρεσιν τῆς τῶν πραγμάτων νοήσεως. Οὕτω μὲν οὖν ὁ δημιουργὸς αὐτοῖς πάλαι μὲν Τετρακτὺς, νῦν δὲ Ζεὺς πατὴρ, δι' ἃς εἴπομεν

[r] τὰ ὀνόματα] τὰ om. S. [s] ἀπετύπου] ἀπετυποῦτο S.

1. Τὰ ἐν τῇ φωνῇ ὀνόματα σύμβολα—] Hæc sunt ipsa fere verba Aristotelis περὶ Ἑρμην. cap. 1. ἔστι μὲν οὖν τὰ ἐν τῇ φωνῇ τῶν ἐν τῇ ψυχῇ παθημάτων σύμβολα. ASHT.

6. ἤδη προϊόντες—τοῖς οὖσι τὰ ὀνόματα] Sic G. habet melius, quam editt. pr., in quibus ἤδη et τὰ omittuntur. ASHT. ἤδη habet S.

13. πάλαι Τετρακτὺς—ὠνόμασται] Sc. a Pythagora. Quamobrem vero ille Deum Τετρακτὺν nominaverit, haud ita dictu facile est. Nam ratio illa, quam sectatores ejus assignant, cur τετρὰς sit ὁ Θεὸς, nempe, quod numerorum omnium vis et potestas sit ἐν τετράδι, ridicula plane est et inepta. Non immerito igitur existimarunt viri doctissimi, Seldenus de Diis Syris, Marsham in Chronico, ac Dacer. in Vita Pythagoræ et notis in Hieroclem, hanc Τετρακτὺν a Pythagora confictam esse ex tetragrammato Dei nomine Jehovah, quod ab Hebræis, quibuscum versatus est, didicerat. Hanc autem conjecturam, Hermippi verba, in libro de Pythagora primo, confirmare videntur, ubi dicit eum, πολλὰ τῶν παρὰ Ἰουδαίοις νομίμων εἰς τὴν ἑαυτοῦ μετενεγκεῖν φιλοσοφίαν, ap. Joseph. advers. Apion. lib. 1. et Origen. contra Cels. lib. 1. confirmat quoque Diogenes ἐν τοῖς ὑπὲρ θούλην ἀπίστοις, a Porphyrio citatus in Vit. Pythag. n. 11, 12. qui dicit Pythagoram cum Hebræis versatum fuisse, et in Chaldæa Zabrato (i. e. Zoroastre) familiariter usum esse, a quo inter cætera didicit, τίνες αἱ τῶν ὅλων ἀρχαί. Unde verisimile fit hominem Judaicæ religionis non ignarum ei τῆς ἀρχῆς ἀρχῶν nomen, Jehovah, indicasse; quod cum τετραγράμματον esset, Pythagoras (τὰ τῶν Ἰουδαίων μιμούμενος, ut ait Hermippus) ut suum faceret, sub τετρακτύος nomine in philosophiam suam transtulit, quam πηγὴν ἀενάου φύσεως, et (ut ait Hierocles)

αἰτίας ὠνόμασται. Ὁ δὲ αἰτεῖ παρ' αὐτοῦ τῆς παρούσης εὐχῆς ὁ λόγος, τοῦτο ἤδη τοῖς πᾶσιν ἐφήπλωται δι' ἀγαθότητα· [t]παρ' ἡμῖν δέ ἐστι τὸ λαβεῖν τὸ ἀεὶ παρ' ἐκείνου διδόμενον. Καὶ γὰρ ἐν τοῖς προτέροις ἐλέγετο,

ἔρχευ ἐπ' ἔργον
θεοῖσιν ἐπευξάμενος,

ὡς ἐκείνων μὲν ἀεὶ διδόντων τὰ ἀγαθὰ, ἡμῶν δὲ τότε αὐτὰ δεχομένων, ὅταν ἑαυτοὺς πρὸς τὴν θείαν δόσιν συντείνωμεν· τὸ γὰρ αὐτεξούσιον οὐκ ἂν λάβοι τὰ ὄντως ἀγαθὰ, μὴ βουλόμενον λαβεῖν· ταῦτα δέ ἐστιν ἀλήθεια καὶ ἀρετὴ, ἀπὸ τῆς δημιουργικῆς αἰτίας ἀεὶ καὶ ὡσαύτως πᾶσιν ἐλλαμπόμενα. Καὶ νῦν δὲ ὁ λόγος ὡς ἀναγκαῖον πρὸς τὴν τῶν κακῶν λύσιν ἀπαιτεῖ τὴν ἑαυτῶν οὐσίαν ἡμᾶς ἰδεῖν· τοῦτο γὰρ ἦν, οἵῳ τῷ δαίμονι χρῶνται· ἀντὶ τοῦ, οἵα ψυχή. Τῇ δὲ τοιαύτῃ εἰς ἑαυτοὺς ἐπιστροφῇ διορίζεται ἐξ ἀνάγκης ἕπεσθαι καὶ τὴν [v]ἀποφυγὴν τῶν κακῶν, καὶ τὴν ἔκφανσιν τῶν πρὸς εὐδαιμονίαν ὑπὸ τοῦ Θεοῦ προτεινομένων. Ἐξ
[278] ὑποθέσεως οὖν πρόεισιν ὁ λόγος, ὅτι εἰ πάντες ἴδοιεν ὅ εἰσι, καὶ οἵῳ τῷ δαίμονι χρῶνται, πάντες ἀπολυθεῖεν ἂν τῶν κακῶν. Τοῦτο δὲ ἀδύνατον. Οὐ γὰρ οἷόν τε πάντας ὁμοῦ φιλοσοφῆσαι, καὶ ὑποδέξασθαι τὰ παρὰ τοῦ Θεοῦ ἀεὶ προσφερόμενα ἀγαθὰ πρὸς εὐζωΐας τελειότητα. Τί οὖν τὸ

[t] παρ' ἡμῖν] παρ' ἡμ̃ S.

[v] ἀποφυγὴν] ἀποφυγεῖν S.

τὴν αὐτὴν τῷ δημιουργῷ Θεῷ esse docuit, atque ab ea, ὡς ῥίζης καὶ ἀρχῆς, universa dependere. Conf. Hyde Relig. Vet. Pers. cap. 24. Prideaux Connect. ann. ante C. 486, et Cudworth. Intell. Syst. p. 375. .ASHT.

12. ὡς ἀναγκαῖον] Sic G. S. ὡς om. edd. pr.

13. τοῦτο γὰρ ἦν, οἵῳ—] G. pro ἦν habet ἐστιν. Sed recte ἦν hic, ut sæpe alias ap. Hieroclem. Sed deesse hic mihi videtur articulus τὸ, ut sit, τοῦτο γὰρ ἦν τὸ, οἵῳ—. Sic enim sæpissime habet Hierocles; atque ita aliorum moris est. ASHT.

18. ὅ εισι] Ita G. [et S.], quod melius nobis visum est, quam οἷοί εἰσι in editt. pr. ὅ εἰσι, i. e. τὴν ἑαυτῶν οὐσίαν, ut dixit supra. Ita fere in p. 152, ὅ ἐσμεν ἀγνοήσαντες. ASHT.

λειπόμενον, ἢ τούτους μόνους χρῆναι θάρρειν τοὺς προσιόντας τῇ ἀναφαινούσῃ τὰ οἰκεῖα ἡμῖν ἀγαθὰ ἐπιστήμῃ; μόνους γὰρ τούτους ἀπολυθήσεσθαι τῶν παραπεπηγότων κακῶν [204] τῇ θνητῇ φύσει· ἐπειδὴ καὶ μόνοι πρὸς τὴν θέαν τῶν ὄντως ἀγαθῶν ἐπεστράφησαν, οὓς ἄξιον καὶ εἰς τὸ θεῖον γένος ἐγγράφειν, ὡς ὑπὸ τῆς ἱερᾶς φύσεως, τουτέστι φιλοσοφίας, διδαχθέντας, καὶ ἀσκηθέντας τὰ δέοντα. Τῆς δὲ κοινωνίας τῶν θείων ἀνδρῶν εἴ τι μέτεστιν ἡμῖν δηλώσομεν ἀντεχόμενοι τῶν σπουδαίων ἔργων καὶ τῶν ἐπιστημονικῶν γνώσεων· οἷς μόνοις ἡ τοῦ ἀνθρώπου ψυχὴ θεραπεύεται, καὶ τῶν τῇδε ἐλευθεροῦται πόνων εἰς τὴν θείαν λῆξιν μεθισταμένη. [w]Συνελόντι οὖν εἰπεῖν, ὁ νοῦς τῶν προκειμένων ἐπῶν ἐστι τοιοῦ- [281] τος· οἱ γνόντες ἑαυτοὺς ἀπολύονται τῆς θνητῆς ἐμπαθείας. Διὰ τί οὖν οὐ πάντες ἀπολύονται, πάντες ἀφορμὰς ἔχοντες ἐμφύτους πρὸς ἐπίγνωσιν τῆς ἑαυτῶν οὐσίας; Ὅτι οἱ πλεῖστοι, ὡς ἔφην, αὐθαίρετα πήματ' [x]ἔχουσιν, οἳ τῶν ἀγαθῶν πέλας ὄντων οὔτ' ἐσορῶσιν, οὔτε κλύουσιν. [y]Ὀλίγοι δέ εἰσιν οἱ τὴν τῶν κακῶν λύσιν συνιέντες ἐκ τοῦ

[w] Συνελόντως] συνελόντι S. συνελόντα Holst. marg. [x] ἔχοντές εἰσιν] ἔχουσιν S. V. Med. [y] Ὀλίγοι] οἱ λόγοι S.

4. θεωρίαν] Sic recepimus e G. pro θέαν in prius editis, etsi haud multum interest. Sic autem Hierocles in p. 154, 4. τῇ πρὸς τὰ νοητὰ ἐπιστροφῇ θεωρίας πλησθέντες, et p. 120, 1. διὰ τῆς πρὸς θεωρίαν παντελοῦς ἐπιστροφῆς. ASHT. θείαν S. Vid. infra p. 159, 17.

10. οἷς μόνοις—] Exstat quidem hic μόνη in [S. et] Curterii editione, quam secuti sunt editores posteriores, de operarum sphalmate securi, et re non satis perpensa. Veruntamen nullus dubito, quin pro μόνη legendum sit μόνοις, quemadmodum legebat plane ipse Curter., qui Latine vertit, *quibus solis*, i. e. οἷς μόνοις, sc. σπουδαίοις ἔργοις, et ἐπιστημονικαῖς γνώσεσι, nempe, virtutibus practicis et theoreticis. Has igitur esse dicit Hierocles, non, quibus *solus* animus (nam de eo solo agitur) sed quibus *solis* animus curatur,—et ad θείαν λῆξιν μεθίσταται. Ita fere p. 91, 19. ἣν ἀλήθεια καὶ ἀρετὴ τὰ ταύτην (sc. ψυχὴν) ὠφελοῦντα μόνα. Nimirum hæ sunt philosophiæ partes duæ, quas solas ad humanæ vitæ κάθαρσιν et τελειότητα necessarias dixit in proœmio, et per totum commentarium inculcat. Ita fere in p. 63, 12. dicit ψυχὴν διὰ μόνης ἀρετῆς κοσμεῖσθαι, atque in p. 77, 14. declarat, malorum remedium διὰ φιλοσοφίας μόνης παραγίνεσθαι. ASHT.

γνῶναι οἵῳ τῷ δαίμονι χρῶνται· οὗτοι δέ εἰσιν οἱ φιλοσοφίᾳ καθηράμενοι τῶν τῆς ἀλογίας παθῶν, καὶ ἐκ τῶν τῇδε τόπων, ὥσπερ ἐκ δεσμωτηρίων, ἐλευθερούμενοι. Πῶς οὖν φησι πρὸς τὸν Δία; ἦ [z]πολλῶν γε κακῶν λύσειας ἅπαντας, εἰ πᾶσιν δείξαις οἵῳ τῷ δαίμονι χρῶνται. [y]Ἆρα ὡς ἐπ' ἐκείνῳ ὂν καὶ ἄκοντας ἐπιστρέψαι πρὸς τὴν ἀλήθειαν ἅπαντας, ἀμελείᾳ δὲ ἡ ἐπιβουλὴ τοῦτο μὴ [a]ποιοῦντος, ἵν' ἐν τοῖς δεσμοῖς κατέχοιντο; [y]Ἢ ταῦτα μὲν οὐδ' ὅσιον ἐπαΐειν· ἐκεῖνο δὲ μᾶλλον ὁ λόγος ἐπιδείκνυται, ὅτι ἐπὶ τὸν Θεὸν, ὡς πρὸς πατέρα, ἐπιστραφῆναι δεῖ τὸν πρὸς εὖ- [206]

[z] πολλῶν γε] πολλῶν τε S. [a] ποιοῦντας] ποιοῦντα, refertur ad ΔΙΑ. Vat. habet ποιοῦντος, quod ferri potest si paulo ante legas ὄντος pro ὄν. sic M. 2. HOLST.

2. ἐκ τῶν τῇδε τόπων—] Respicit hic plane ad Platonis verba in Phædone, sect. 45. ed. Cant., οὗτοί εἰσιν οἱ τῶνδε τῶν τόπων τῶν ἐν τῇ γῇ ἐλευθερούμενοί τε καὶ ἀπαλλαττόμενοι, ὥσπερ δεσμωτηρίων, unde melius fortasse hic quoque legeretur, ἐκ τῶνδε τῶν τόπων, uti superius, περὶ τόνδε τὸν τόπον. At recte se habet τῶν τῇδε τόπων. Sic enim et alii loquuntur; exempli gratia, Iamblichus, ὁ τῇδε τόπος, de Myst. p. 15. ed. Galæi. ASHT.

7. μὴ ποιοῦντος] Ita exhibuit editor Cant. [et sic S.] partim e MSS. Gall., partim ex Bentleii conjectura; sed, more suo, non declarat utrum codicum an Bentleii sit ποιοῦντος. Quod mihi quidem non placet, etiamsi subaudias αὐτοῦ. Curter. edidit ποιοῦντας, sed haud male conjecit μὴ ποιεῖν, sc. αὐτόν. At sic fortasse ex ποιοῦντας melius legas, ποιεῖν αὐτόν. ASHT.

8. [y]Ἢ ταῦτα μὲν—ἐπινοεῖν] Ita editor Cant. ἦ, *certe*, quod melius videtur, quam ἢ, *aut*, ut edidit Curter. At illud ἐπαΐειν, quod e Dacerio ille pro ἐπινοεῖν inseruit, rejicimus; nam ἐπαΐειν, i. e. *audire* tantum impie dicta non (id quod falso affirmat Dacerius) impium facit audientem: atqui sunt quædam tam detestanda, ut non solum dictu, sed vel cogitatu impia sint; atque hoc plane vult Hierocles. Ne putemus, inquit, Carminis scriptorem id Deo in his dicere, quod vel cogitatu impium est. Hic autem detestandi mos est usitatissimus. Sic enim Epict. ap. Arrian. 3, 24. ἀλλὰ ταῦτα οὐδ' ὅσιον ἐνθυμηθῆναι. Antonin. 1, 3. ἐφεκτικὸν οὐ μόνον τοῦ κακοποιεῖν, ἀλλὰ καὶ τοῦ ἐπὶ ἐννοίας γίνεσθαι τοιαύτης. Idem 6, 44. ἄβουλον θεὸν οὐδὲ ἐπινοῆσαι ῥάδιον. Simplic. in Epict. p. 216. ed. L. Bat. λόγοις βλασφημῶν, εἰ δὲ μὴ, τῇγε ἐννοίᾳ. Athanas. de Synodis, ἀλλὰ τοῦτο δυσσεβές ἐστι καὶ μόνον ἐνθυμηθῆναι. Basil. Epist. 300, ἀσεβείας ἐπέκεινα τοῦτο νοῆσαι. Just. Mart. Apol. 1, ἀθέμιτον καὶ νοεῖν, ἀνθρώπους θεῶν εἶναι φύλακας. ASHT. ἐπαΐειν S. Vat. Med. i. e. *sentire, intelligere.*

ζωΐαν ἐπειγόμενον· ἔστι γὰρ ὁ Θεὸς δημιουργὸς μὲν πάντων, τῶν δὲ ἀγαθῶν καὶ πατήρ. Ὁ [b]γοῦν τὴν λύσιν τῶν
[282] κακῶν συνιεὶς, καὶ τῶν αὐθαιρέτων πημάτων ἐλευθερούμενος, καὶ τὴν λυγρὰν ἔριν περικόπτων [bb]τῇ ἑκουσίῳ φυγῇ, οὗτος πρὸς τὴν ἐκ τοῦ Θεοῦ καθήκουσαν [c]ἀΐδιον βοήθειαν ἐπιστρεφόμενος ἀναβοᾷ τὸ Ζεῦ πάτερ, τῷ ἤδη προειργάσθαι τὰ παιδὸς ἄξια τὸν Θεὸν πατέρα καλῶν· καὶ ἐννοεῖ, τὸ ἐφ' ἑαυτοῦ συμβαῖνον ὡς εἰ γένοιτο ἐπὶ πάντων, πάντες ὁμοίως ἂν αὐτῷ κακῶν ἀπολυθεῖεν. Εἶθ' εὑρὼν τοῦτο μὴ προβαῖνον, οὐ διὰ τὸν Θεὸν, ἀλλὰ διὰ τὸ τοὺς πλείστους αὐθαίρετα πήματ' ἔχειν, [d]λέγει πρὸς ἑαυτὸν ἀλλὰ σὺ θάρσει, [e]ὡς τὴν ὁδὸν ἐξευρηκὼς τῆς ἀπολύσεως τῶν κακῶν. Αὕτη δὲ ἦν ἡ διὰ τῆς ἱερᾶς φιλοσοφίας ἐπιστροφὴ πρὸς τὰ [ee]δεικνύμενα ὑπὸ τοῦ Θεοῦ, ἃ οἱ πολλοὶ οὐχ ὁρῶσι, διὰ τὸ μὴ [f]χρῆσθαι

[b] γοῦν] οὖν S. [bb] τῇ ἑκ. sine ἐν M. Vat. [c] βοήθειαν] ἀΐδιον βοήθειαν S. Holst. marg. [d] λέγει] λέγω S. ἔχοντας, λέγει Holst. marg. [e] ὁ τὴν] ὡς τὴν S. V. M. [ee] δεικνύμενα] διδόμενα Holst. marg. [f] ὀρθῶς χρῆσθαι] χρῆσθαι ὀρθῶς S.

4. τῇ ἑκουσίῳ] τῇ supplent G. et S.

10. διὰ τὸ τοὺς πλείστους] [Sic S. V. M.] Curter. edidit διὰ τοὺς πλείστους. Editor autem Cant., dictante Bentleio, διὰ τὸ πλείστους, cum utrumque plane requiratur, sc. διὰ τὸ τοὺς πλείστους. At non incommoda videtur MSti G. lectio, διὰ τοὺς πλείστους αὐθαίρετα πήματ' ἔχοντας, quam lectori considerandam proponimus. ASHT.

11. λέγει πρὸς ἑαυτὸν] Venetum hic Aurispæ codicem sequi non dubitavimus, in quo sic lectum ex versione ejus liquido constat, sc., *ad seipsum dicit.* Curter. vero e suo edidit, λεγέτω πρὸς—, quod cum ipsi displiceret, haud male ex conjectura apposuit, λέγει οὕτω. Editor autem Cant. illud λεγέτω retinendum censuit, quia *sensum*, ut ait, *satis commodum habet.* Mihi vero contra, nec sensum satis aptum, nec cum antegressis syntaxin habere videtur: nam quænam, quæso, est in his connexio, ἀναβοᾷ, καὶ ἐννοεῖ,—εἶτα—λεγέτω—? Sensum etiam fundit ineptum, quasi ipse Hierocles hoc juberet, λεγέτω πρὸς ἑαυτὸν, cum ille plane referat ad personam supra dictam; atque totius sententiæ series sic procedat, ὁ γοῦν (inquit Hierocles) τὴν λύσιν τῶν κακῶν συνιεὶς,—ἀναβοᾷ—καὶ ἐννοεῖ—· εἶθ' εὑρὼν—, λέγει πρὸς ἑαυτὸν, Ἀλλὰ σὺ θάρσει. Omnino igitur repudiavimus illud λεγέτω, atque, auctore Aurispa, lectionem manifeste veram tibi exhibuimus. ASHT.

ὀρθῶς ταῖς κοιναῖς ἐννοίαις, [g]ἃς [h]προσέφυσεν ὁ δημιουργὸς τῷ λογικῷ γένει πρὸς ἐπίγνωσιν ἑαυτοῦ. Ἐπεὶ οὖν τὸ δεῖξαί τινι ὁτιοῦν δύο προσώπων ἐνεργείας εἰς ταυτὸ συνδραμούσας ἐμφαίνει· (πῶς γὰρ ἂν δείξαις τυφλῷ, κἂν [i]μυριάκις προσφέρῃς ὃ βούλει δεῖξαι; ἢ πῶς ἂν τῷ ὁρῶντι δείξαις μηδὲν προσάγων;) [k]ἀμφότερα οὖν παρεῖναι δεῖ·
[285] τό τε παρὰ τοῦ δεικνύντος προσαγόμενον ἀγαθὸν, [l]καὶ τὸ παρὰ τοῦ, ᾧ δείκνυται, διορατικὸν ὄμμα· ἵνα ἐκεῖθεν μὲν τὸ ὁρατὸν, ἐντεῦθεν δὲ ἡ ὅρασις, συνδράμῃ πρὸς τὴν τῆς δείξεως συμπλήρωσιν. Τούτων δὲ οὕτως ἐχόντων, λάβωμεν ὑπόθεσιν πάντας ἅμα ἀπολυθῆναι [m]ἂν τῶν κακῶν, εἰ πᾶσι δείξειεν ὁ δημιουργὸς καὶ ἐμφανίσειε τὴν τῆς [n]ἑαυτῶν οὐσίας [208] ἐπίγνωσιν, καὶ οἵῳ τῷ δαίμονι χρῶνται. Ἀλλὰ μὴν οὐ πάντες ἅμα ἀπολύονται τῶν κακῶν. Οὐκ ἄρα πᾶσι δείκνυσιν, ἀλλὰ μόνοις ἐκείνοις τοῖς πρὸς ἀπόλυσιν τῶν κακῶν οἴκοθεν ὡρμημένοις, καὶ τὸ παρ' ἑαυτῶν ὄμμα πρὸς θέαν τοῦ δεικνυμένου καὶ ὑποδοχὴν ἀνατείνασιν. Οὐκ ἄρα αὐτὸς αἴτιος τοῦ μὴ πᾶσι δεῖξαι, ἀλλ' οἱ τῶν ἀγαθῶν πέλας [o]ὄντων οὔτ' ἐσορῶντες οὔτε κλύοντες, καὶ διὰ τοῦτ' αὐθαί-

[g] ἃς] αἷς S. V. [h] προέφυσεν V. [i] μυριάκις] μοιριάκις S. [k] ἀμφότερα οὖν] ἀμφ. γὰρ M. οὖν del. V. opt. nam præcessit. et sic Med. HOLST. [l] καὶ τὸ] τὸ om. S. [m] ἂν τῶν] ἂν om. S. [n] ἑαυτῶν] ἑαυτοῦ S. [o] ὄντων] ὄντ' S. i. e. ὄντες.

12. τῆς ἑαυτῶν οὐσίας—] Edidit Curter. τῆς ἑαυτοῦ, et sic quoque legit Aurispa, *cognitionem sui ipsius*, sc. Dei; nec apparet hic codicum dissensus. Veruntamen rectius in versione Gallica intellexit Dacerius, atque illum secutus Bentleius merito correxit ἑαυτῶν, *ipsorum;* et sic nos, flagitante plane sententia, recipimus. Non omnino enim hic, aut in ipso versu, agitur de Dei natura, sed de hominum ipsorum naturæ cognitione; nempe, ut intelligant ὅ εἰσι (ut supra dixit) i. e. *quid ipsi sint*, et οἵῳ τῷ δαίμονι χρῶνται. Atque hanc quidem lectionem firmat ipse Hierocles totidem verbis in superioribus, πρὸς ἐπίγνωσιν τῆς ἑαυτῶν οὐσίας, atque iterum, τὴν ἑαυτῶν οὐσίαν ἰδεῖν. Miror vero, locum priorem, quo præcipue firmatur hæc emendatio, nec ab editore Cant., nec ab ipso sagacissimo Bentleio animadversum fuisse. ASHT.

ρετα πήματ' ἔχειν [p] λεγόμενοι. Αἰτία οὖν ἑλομένου· Θεὸς δὲ κακῶν ἀναίτιος, προλάμπων μὲν ἀεὶ τὰ ἀγαθὰ πᾶσιν, ὅσον ἐφ' ἑαυτῷ, οὐ δεικνὺς δὲ [q] πᾶσιν ἀεὶ, τῷ τὸ θεωρὸν ὄμμα τῶν προτεινομένων ἀγαθῶν ἐν τοῖς πλείστοις μεμυκέναι, καὶ κάτω νεύειν ἀσχολίᾳ τῇ πρὸς τὰ χείρονα.

[286] Ἡ δὲ τοιαύτη τῶν προκειμένων ἐπῶν ἐξήγησις καὶ πρὸς τὴν ἀλήθειαν αὐτὴν συμφωνεῖ, καὶ πρὸς τὴν τῶν [r] ὑποκειμένων ἐπῶν διάνοιαν. Εἰ γὰρ ἐπὶ τῷ Θεῷ ἐστιν ἑλκύσαι πρὸς τὴν ἀλήθειαν τοὺς ἀνθρώπους καὶ ἄκοντας, τί αὐθαίρετα πήματ' ἔχειν [s] αὐτοὺς ἐπεγκαλοῦμεν; [t] τί δὲ συμβουλεύομεν ὡς τὴν ἔριν οὐ δεῖ προσάγειν, εἴκοντα δὲ φεύγειν; ἢ τί τὰ συμβαίνοντα πραέως φέρειν, καὶ ἰᾶσθαι σπουδάζειν, ἐπιτάττομεν; ὅλως γὰρ ἡ διὰ μαθήσεως [v] ἐπ' ἀρετὴν ὁδὸς ἀποκέκλεισται τοῖς Τὸ ἐφ' ἡμῖν ἀναιροῦσιν. [w] Οὐδὲν γὰρ ἔδει πονεῖν οὐδὲ ἐν μελέτῃ καὶ ἔρωτι τίθεσθαι [x] τῶν καλῶν, εἰ τοῦ Θεοῦ ἴδιον ἦν σώζειν ἡμᾶς ἀπὸ κακίας, καὶ τῶν ἀρετῶν πλήρεις ποιεῖν μηδὲν παρ' ἑαυτῶν συνεισφέροντας. Ἀλλ'

p λεγόμενοι] λέγομεν S. λεγόμενοι Holst. marg. τοῦ ante ἑλομένου om. S. q ἀεὶ πᾶσιν] πᾶσιν ἀεὶ S. r ὑπερκειμένων] ὑποκ. S. Vat. M. τῶν προκ. Holst. marg. s αὐτοῖς ἐγκαλοῦμεν] αὐτοὺσ ἐπεγκαλοῦμεν S. V. M. t τί δὲ] τί δαὶ S. v πρὸς ἀρετὴν] ἐπ' ἀρετὴν S. w Οὐ γὰρ ἄν] οὐδὲν γὰρ S. Holst. marg. πονεῖν S. M. Vat. ποιεῖν Curt. x τὰ καλὰ] Sic D. τῶν καλῶν S. ut Curt.

1. λεγόμενοι] Curter. hic edidit λέγομεν, quod aliquo modo ferri potuit, sicut infra, αὐθαίρετα πήματ' ἔχειν ἐγκαλοῦμεν. Sed melius certe fuisset, λέγονται, ut ipse habet Hierocles supra, αὐθαίρετα πήματα ἔχειν λέγονται. Nos tamen illud λεγόμενοι, quod ex Bentleii tantum conjectura, temere ingessit editor Cant., codicis auctoritate multo certiore freti exhibemus. Sic enim in G. λεγόμενοι scriptum reperimus, sed in verborum quidem structura multum diversa, sc. πέλας ὄντες, καὶ διὰ τοῦτ' αὐθαίρετα πήματ' ἔχειν λεγόμενοι, τῷ μητ' ἐσορᾶν, μήτε κλύειν αὐτῶν. Quantum autem valeat hæc lectio, judicio lectoris permittimus. Ad rem nostram satis est vox λεγόμενοι. Illa vero, quæ sequuntur, αἰτία ἑλομένου, θεὸς δ' ἀναίτιος, sunt Platonis verba de Repub. 10. p. 617, a philosophis Platonicis, atque a primævis etiam ecclesiæ patribus sæpissime citata. ASHT. Si vera lectio est λέγομεν supra forte reponendum οὓς διὰ τοῦτο. Quæ G. exhibet, nescio an debeantur interpolatori.

10. αὐτοῖς] Ita G. pro αὐτοὺς ἐγκαλοῦμεν, quod melius nobis visum est. ASHT.

οὕτως ἂν ἡ αἰτία τῆς [y]τῶν πολλῶν πονηρίας [z]Θεοῦ ἦν ἔγκλημα. Εἰ δὲ ἀναίτιός ἐστι [a]κακῶν ὁ Θεὸς, ὥσπερ [210]
καὶ λέγεται, δῆλον ὡς παρ' ἡμᾶς ἡ τῶν ἀγαθῶν ἀπόστασις, ὅτι πέλας ὄντων αὐτῶν, καὶ ἐν ἡμῖν κατὰ τὰς φυσικὰς ἐννοίας κειμένων, οὔτ' ἐσορῶμεν, οὔτε κλύομεν. 5
Αἰτία δὲ τῆς ἀβλεψίας ταύτης καὶ ἀνηκοΐας ἡ λυγρὰ ἔρις, αὐθαίρετος οὖσα βλάβη, ἣν οὐ δεῖ προάγειν ἐπὶ πλεῖον, εἴκοντα δὲ φεύγειν ἀπ' αὐτῆς, καὶ τὴν τῶν κακῶν λύσιν συνιέναι, καὶ τὴν εἰς Θεὸν ἐπιστροφὴν ἐξευρίσκειν. Οὕτω γὰρ ἡ παρὰ τοῦ Θεοῦ [b]ἔλλαμψις, τῆς παρ' ἡμῶν ὁράσεως 10
[289] αὐτῇ συντρεχούσης, δεῖξις γίνεται. Ἔργα δὲ τῆς δείξεως, ψυχῆς [c]ἄκεσις, καὶ σωτηρία ἀπὸ τῶν τῇδε πόνων, καὶ

y τῶν πολλῶν] τῶν om. S. z Θεοῦ] οὐκ S. Holst. marg. a κακῶν] ἐστι κακῶν S. Holst. marg. Infra S. om. καὶ ἐστί. b ἔλλαμψις] ἔλαμψις S. c ἄκεσις] ἄσκησις S. et Holst. marg. ubi mox ἀσκήσεως pro ἀνέσεως.

2. ἀναίτιος κακῶν—καὶ λέγεται, καὶ ἔστι] Sic legimus e G. Ita vero Epict. Enchir. c. 21. ed. L. Bat. θεῖοι ἦσάν τε καὶ ἐλέγοντο. et Simplic. in Epict. p. 195. διὸ καὶ ἔστι καὶ λέγεται—. Atque ipse Hierocles de Provid. ap. Phot. Cod. 214, ταύτην—πρόνοιαν καὶ νομίζεσθαι καὶ εἶναι. Editor Cant. addidit ἔστι post ἀναίτιος; quod tamen subauditum maluit ipse Plato, et Hierocles quoque supra; idque nos, Curterium secuti, exclusimus. ASHT.

3. παρ' ἡμᾶς] Sic G. [et S.] pro παρ' ἡμῖν in editt. pr.; nam παρ' ἡμῖν significare videtur id quod præsto et in promtu nobis est, ut supra, παρ' ἡμῖν δέ ἐστι λαβεῖν, et ap. Plutarch., ὅσα μὴ παρ' ἡμῖν ἐστιν, εὐχόμεθα τὸν Θεὸν διδόναι. At παρ' ἡμᾶς apud philosophos actionis αἰτίαν, *causam* seu *culpam*, in nobis sitam denotat. Sic Plutarch. Placit. 1, 27. ἡ παρ' ἡμᾶς αἰτία. Epicur. Ep. ad Menœc. ap. Laërt. 10, 133. τὰ μὲν ἀπὸ τύχης, τὰ δὲ παρ' ἡμᾶς (sic enim ibi habent editt. omnes, præter Amstel., in qua Meibomius temere inseruit ἡμῶν pro ἡμᾶς. Atque idem est erratum in Chrysippi verbis ap. Gell. 6, 2. sc. παρ' αὐτοῖς pro παρ' αὐτοὺς, i. e. καθ' ὁρμὴν αὐτῶν) sic etiam Diogenianus Plutarcho σύγχρονος in lib. advers. Chrysippum, res παρ' ἡμᾶς, καὶ τὴν ἡμετέραν αἰτίαν γίνεσθαι, sæpe dicit, ap. Euseb. Præp. Ev. 6, 8. ASHT.

7. προάγειν] Ita G. [et S.], quod loco aptius nobis visum est, quam προσάγειν in editt. pr. Carmen quidem ipsum habet προσάγειν, sed id plane hic Hierocles explicat per hæc προάγειν ἐπὶ πλεῖον. Sic etiam in superioribus, περαιτέρω προάγοιμεν. Atque eodem modo ante Hieroclem Iamblichus hoc verbum προσάγειν per προάγειν ἐπὶ πλεῖον explicat in Protrept. cap. 3. ASHT.

12. ἄκεσις] Curter. hic e suo

συναίσθησις τῶν θείων ἀγαθῶν, καὶ κοινωνία τῆς πατρικῆς πολιτείας. Τοσαῦτα περὶ ἀρετῆς καὶ ἀληθείας προειπὼν, καὶ τὰ μὲν τῆς ἀρετῆς παραγγέλματα εἰς τὸν νυκτερινὸν σύλλογον περατώσας, τὰς δὲ τῆς ἀληθείας ἐλπίδας ἕως τῆς ἀκέσεως καὶ σωτηρίας τῆς ψυχῆς ὁρίσας, ἐπάγει [d]τὰ περὶ τῆς τοῦ αὐγοειδοῦς καθαρότητος πτερωτικῆς, τρίτον τι φιλοσοφίας γένος ἐπισυνάπτων τοῖς προειρημένοις.

XXVI. 67—69.

Ἀλλ' εἴργου βρωτῶν, ὧν εἴπομεν, ἔν τε καθαρμοῖς,
ἔν τε λύσει ψυχῆς κρίνων· καὶ φράζευ ἕκαστα,
ἡνίοχον γνώμην στήσας καθύπερθεν ἀρίστην.

Ἡ λογικὴ οὐσία [dd]συμφυὲς ἔχουσα σῶμα παρὰ τοῦ δημιουργοῦ εἰς τὸ εἶναι [e]παρῆλθεν, ὡς μήτε [f]σῶμα εἶναι αὐτὴν, μήτε ἄνευ σώματος· ἀλλ' αὐτὴν μὲν ἀσώματον, ἀποπερατοῦσθαι δὲ εἰς σῶμα τὸ ὅλον αὐτῆς εἶδος.

[d] τὰ] τοῦτα S. [dd] συμφυὲς ἔχουσα παρὰ τοῦ δ. τὸ σῶμα Vat. Med. [e] παρῆλθεν] παρῆχθεν S. [f] τὸ σῶμα] τὸ om. S.

codice edidit ἄνεσις, et sic in Veneto legit Aurispa; nam eodem verbo Latine reddunt, sc. animi *quies*. Attamen rectissime Mer. Casaubonus ex ipso versu ostendit pro ἄνεσις legendum esse ἄκεσις, quod, probante Bentleio, lectori exhibuit editor Cantabrigiensis: idque nos, cum accedat porro MSti G. auctoritas, retinemus; in quo legitur ἄσκησις, sed per scribæ plane incuriam pro ἄκεσις, quia paulo post hoc repetens habet ἀκέσεως. Extra dubium igitur est hæc lectio. ASHT.

6. αὐγοειδοῦς] Sc. σώματος; quod fortasse addi debuit, quia nunc primum αὐγοειδοῦς mentionem facit; præsertim cum in horum repetitione postea addatur σῶμα, sc. τῆς καθαρότητος περὶ τὸ αὐγοειδὲς ἡμῶν σῶμα. ASHT.

12. συμφυὲς ἔχουσα σῶμα—] Ita G. [et S.] melius plane, quam συμφυὲς ἔχουσα παρὰ τοῦ δημιουργοῦ τὸ σῶμα, in editt. pr. Per hoc vero σῶμα vult plane τὸ αὐγοειδὲς supra dictum, quod paulo post vocat συμφυὲς ἀθάνατον σῶμα, et alibi, σῶμα φωτεινὸν, et ἄϋλον, et ψυχῆς λεπτὸν ὄχημα, et σῶμα πνευματικόν: atque adeo hoc ipsum συμφυὲς σῶμα appellavit τὸ συμφυὲς πνεῦμα τῆς ψυχῆς in p. 184. Ita fere Philoponus proœm. in Aristot. de Anim. dicit, εἶναί τι ἀϊδίως ψυχῆς ἐξημμένον σῶμα οὐράνιον, καὶ διὰ τοῦτο ἀΐδιον, ὅ φασιν αὐγοειδὲς, ἢ ἀστροειδές. ASHT.

15. τὸ ὅλον αὐτῆς εἶδος] Sc. ψυχὴ

Οἷον γὰρ ἐπὶ τῶν ἄστρων, τὸ μὲν ἄνω αὐτῶν ἀσώματος οὐ-
[290] σία, τὸ δὲ κάτω, σωματική· καὶ ἔστιν ἥλιος τὸ ὅλον [g]τὸ ἐξ
ἀσωμάτου καὶ σώματος, οὐ ποτὲ διεστώτων εἶτα συνελθόν- [212]
των, (οὕτω γὰρ ἂν καὶ διέστη πάλιν,) ἀλλ' ἅμα [h]συνδεδη-
μιουργημένων, καὶ ἐν τάξει συμπεφυκότων, ὡς τὸ μὲν ἡγού-
μενον εἶναι, τὸ δὲ ἑπόμενον· οὕτως ἔχει καὶ ἐπὶ τῶν
ἐφεξῆς λογικῶν γενῶν, τοῦ τε ἡρωϊκοῦ καὶ τοῦ ἀνθρωπίνου·
καὶ ἔστιν ἕκαστος ἥρως ψυχὴ λογικὴ μετὰ φωτεινοῦ σώ-
ματος· [i]καὶ ὁ ἄνθρωπος ὁμοίως ψυχὴ λογικὴ μετὰ συμ-
φυοῦς ἀθανάτου σώματος. Καὶ τοῦτο τῶν [k]Πυθαγορείων
ἦν δόγμα, ὃ δὴ Πλάτων ὕστερον ἐξέφηνεν, ἀπεικάσας ξυμ-
φύτῳ δυνάμει ὑποπτέρου ζεύγους τε καὶ ἡνιόχου πᾶσαν
θείαν τε καὶ ἀνθρωπίνην ψυχήν. Δεῖ οὖν πρὸς μὲν τελείω-
σιν τῆς ψυχῆς ἀληθείας ἡμῖν καὶ ἀρετῆς· πρὸς δὲ κάθαρσιν
τοῦ αὐγοειδοῦς ἡμῶν σώματος, τῆς τῶν ὑλικῶν μολυσμῶν
ἀποθέσεως, καὶ τῶν ἱερῶν καθαρμῶν παραλήψεως, καὶ
τῆς ἐπεγειρούσης ἡμᾶς πρὸς τὴν ἐντεῦθεν ἀνάπτησιν θεοσυν-

[g] τὸ ἐξ] τ̃ ἐξ S. τοῦ Holst. marg. [h] συνδεδημιουργημένων] συνδημι-
ουργημένων S. [i] καὶ ὁ—σώματος om. S. [k] Πυθαγορείων] Πυθαγο-
ρίων S. et infra.

λογικὴ μετὰ συμφυοῦς σώματος (i. e. αὐγοειδοῦς) est τὸ ὅλον εἶδος τῆς ἀνθρωπίνης οὐσίας, ut dicit paulo post; sicque in sequentibus declarat, λογικὴν ψυχὴν et ἄϋλον σῶμα esse τὸν ἄνθρωπον. ASHT.

1. Οἷον ἐπὶ ἄστρων—] Ecce tibi Pythagoreorum ἀθανάτους θεοὺς, quos ἐγκοσμίων πρώτους, et οὐρανίους, et πρῶτον γένος τῶν κρειττόνων, toties tam magnifice prædicat Hierocles, nempe, ἥλιον καὶ σελήνην καὶ τοὺς ἄλλους ἀστέρας. Nam secundum Pythagoram (ap. Laërt. 8, 27.) et Platon. (ap. Alcin. c. 14.) πάντες οὗτοι νοεραὶ ζῶα, καὶ θεοί. Atque ita dicit hic Hierocles, eorum τὸ ὅλον ἐξ ἀσωμάτου καὶ σώματος constare. Itidem Porphyrius περὶ Ἀποχ. 2, 37. θεοὶ ἀπλανεῖς, καὶ πλανώμενοι, ἐκ ψυχῆς καὶ σώματος ὄντες, ὅρατοι θεοί. Sic Proclus astra vocat ἀστρώους θεούς· τὰ γὰρ ἄστρα τὰς ψυχὰς δηλοῖ τῶν ἀστρώων σωμάτων, in Plat. Timæ. p. 319. ASHT.

8. ἕκαστος ἥρως—] Ita etiam Proclus in Plat. Timæ. p. 290. dicit, πάντα δαίμονα νοερὰν ἔχειν ψυχὴν, καὶ ὄχημα αἰθέριον, ὅπου γε καὶ τῆς ἀνθρωπίνης ψυχῆς ἐξήρτηταί τι τοιοῦτον, ὡς αὐτός φησι, sc. Plato in Phædro p. 246, 247. Itidem Proclus ibid. p. 320, πᾶσαι ψυχαὶ ἔχουσιν ἀστροειδῆ τινα ὀχήματα. ASHT.

δέτου ἀλκῆς. Περὶ ὧν οἱ προκείμενοι στίχοι διδάσκουσι, τὰ μὲν περιττὰ μολύσματα τῆς ὕλης περικόπτοντες διὰ τοῦ, εἴργου [l]βρωτῶν ὧν εἴπομεν· τὴν δὲ ἱερὰν κάθαρσιν καὶ τὴν θεοσύνδετον ἀλκὴν ἐντιθέντες δι' ὧν ἠνίξαντο οὐτωσὶ
[293] λέγοντες, ἔν τε καθαρμοῖς, ἔν τε λύσει ψυχῆς κρίνων· καὶ τὸ ὅλον εἶδος τῆς ἀνθρωπίνης οὐσίας ὁλόκληρον ἡμῖν ἀποδεδώκασι δι' ὧν ἐπήγαγον, ἡνίοχον γνώμην στήσας καθύπερθεν ἀρίστην. Τοῦτο γὰρ καὶ τὴν ὅλην οὐσίαν τοῦ ἀνθρώπου παρέστησε, καὶ τὴν τάξιν τῶν ἐν αὐτῇ μερῶν διεστείλατο, ὅτι τὸ μὲν κριτικὸν, ὡς ἡνιοχοῦν, τὸ δὲ ἑπόμενον, ὡς ἡνιοχούμενον. Ταῦτα γάρ ἐστιν ἐκ τῶν προκειμένων ἐπῶν διδαχθῆναι τὸν τῶν Πυθαγορείων [m]συμβόλων μὴ ἀνήκοον, ὅτι [n]δέοι σὺν τῇ ἀσκήσει τῆς ἀρετῆς, καὶ τῇ ἀναλήψει τῆς ἀληθείας, καὶ καθαρότητος ἐπιμέλειαν ποι-[214]
εῖσθαι τῆς περὶ τὸ αὐγοειδὲς ἡμῶν σῶμα, ὃ καὶ [o]ψυχῆς λεπτὸν ὄχημα οἱ χρησμοὶ καλοῦσι. Διατείνει δὲ αὕτη

[l] βρωτῶν] *βρωμάτων* S. Holst. marg. [m] *συμβόλων* S. pr. ut videtur. [n] δεῖ] *δέοι* S. V. [o] ψυχῆς] ψυχη S. sine acc.

11. Ταῦτα γὰρ] Curter. pro γὰρ haud male conjecit οὖν, quod ad sententiam aptius est; sed melius mihi videtur ταῦτα γοῦν, atque ita, ut opinor, legit Aurispa, qui vertit, *hæc quidem*. ASHT.

12. συμβόλων] Ita recte conjecit Curter., et sic nos recipimus e MSS. Gall. interpol. pro συμβουλῶν in editt. pr.; atque hoc plane postulat sententia; nam ipsa Carmina sunt συμβουλαὶ, i. e. κομματικαὶ καὶ γνωμονικαὶ ὑποθῆκαι, ut in procem. ad Epict. notat Simplicius: Hierocles autem, præter hæc, alterum vult docendi genus a Pythagoreis quoque usurpatum, nempe arcanum illud διὰ συμβόλων, in quibus sub τύπῳ αἰνιγματώδει τὰ τῆς ἀληθείας ἔκρυψαν, ut ait Iamblichus in Vit. Pythag. Hæc igitur in sequentibus vocat συμβολικὰ παραγγέλματα, et συμβολικὰς νουθετήσεις, et τὰ ἱερὰ ἀποφθέγματα, atque eorum hic scientiam aliqualem dicit ad horum versuum, ἀλλ' εἴργου βρωτῶν, mentem intelligendam adprime esse utilem; qua de causa ipse eorum nonnulla profert, explicatque in sequentibus. Atque eodem modo Iamblichus in Protrepticis ad philosophiam postremo loco adjicit Symbolorum Pythagoricorum explicationem. ASHT.

16. οἱ χρησμοὶ] Vult, ut opinor, τὰ ἱερὰ λόγια, seu τὰ τῶν Χαλδαίων λόγια, quæ ipse citat in lib. de Provid. ap. Phot. Cod. 214. et quæ a Porphyrio, Proclo, aliisque

ἡ [p] καθαρότης ἕως σιτίων καὶ ποτῶν καὶ τῆς ὅλης διαίτης τοῦ θνητοῦ ἡμῶν σώματος, ἐν ᾧ τὸ αὐγοειδὲς ἔγκειται προσπνέον τῷ ἀψύχῳ σώματι ζωὴν, καὶ τὴν ἁρμονίαν αὐτοῦ συνέχον. Ζωὴ [q] γάρ τίς ἐστι τὸ ἄϋλον σῶμα, καὶ ζωῆς ἐνύλου γεννητικὸν, δι' ἧς τὸ θνητὸν ἡμῶν ζῷον συμπληροῦται, ἐκ τῆς [r] ἀλόγου ζωῆς καὶ τοῦ ὑλικοῦ σώματος συγκείμενον, εἴδωλον ὂν τοῦ ἀνθρώπου, ὃς ἐκ λογικῆς οὐσίας καὶ σώμα-

p κάθαρσις] καθαρότης S. V. M. q γάρ τις] γάρ τι S. γὰρ τὶς Holst. marg. r ἀλόγου] ἀΰλου Holst. marg.

Platonicis sæpe commemorantur. Vide Fabric. Biblioth. Græc. lib. 1. c. 36. et Cudworth. Intell. System. p. 292 et p. 789. ASHT.

1. *κάθαρσις*] Editor Cant. e Dacerio exhibuit *καθαρότης*· nos autem revocamus *κάθαρσις*, cujus effectus est *καθαρότης*. Hæc, inquit, *κάθαρσις διατείνει ἕως σιτίων καὶ ποτῶν*—, et sic plane dicit infra, *σωματικωτέρα αὕτη ἡ κάθαρσις*. ASHT.

ib. *ὅλης*] G. habet *ἄλλης*. Sic Xenophon *Ἀπομν.* 1, 2. *οὐ θρυπτικὸς ἦν, οὔτ' ἀμπεχόνῃ, οὔθ' ὑποδέσει, οὔτε τῇ ἄλλῃ διαίτῃ*. et 1, 3. *πρὸς φίλους, καὶ ξένους, καὶ πρὸς τὴν ἄλλην διαίτην*. Sed satis commoda est hic lectio vulgata, *ὅλης διαίτης*. ASHT. *ὅλης* S.

4. *Ζωὴ γάρ τίς ἐστι*] G. rectissime nobis illud *τις* suppeditavit, quo carebant editt. pr.; unde minus apta apparet Bentleii correctio, qui *ζωτικὸν* pro *ζωὴ* scriptum voluit. Per *ἄϋλον* vero *σῶμα* Hierocles vult plane *τὸ αὐγοειδὲς*, ut supra notavimus. ASHT.

6. *ἀλόγου*] Dacerius hic e MS. Medic. pro *ἀλόγου* legit *ἀΰλου*, atque sic exhibuit editor Cant.; sed omnino male. Nam primum, *ζωὴ ἔνυλος* in linea præcedente minus apte hic dicitur *ἄϋλος ζωή*: deinde, ipsa antithesis inter *θνητὸν ζῷον* et *λογικὴν οὐσίαν*, (seu *ἄνθρωπον*,) plane poscit hic *ἀλόγου*; dicit enim, inferiorem hominis partem, i. e. merum animal, quod *ἐξ ἀλόγου ζωῆς καὶ ὑλικοῦ σώματος* componitur, imaginem esse superioris partis, quæ *ἐκ λογικῆς οὐσίας* (i. e. *ψυχῆς*) *καὶ ἀΰλου σώματος* (sc. *αὐγοειδοῦς*) consistit; adeo ut *ἄλογος ζωὴ* respondeat *τῇ λογικῇ οὐσίᾳ*, et *σῶμα ὑλικὸν* itidem *τῷ ἀΰλῳ σώματι*. Sic vero brutorum animalium animam Hierocles *ἄλογον ζωὴν* vocavit in superioribus; et *λογικὴ ζωὴ* opponitur *τῇ ἀλόγῳ ζωῇ* a Simplic. in proœm. ad Epict., atque *ἄλογος ζωὴ* apud Proclum idem est ac *ἄλογος ψυχὴ*, in Timæ. p. 311. et sic ap. Simplic. in Epict. sæpissime. Nimirum, *ἄλογοι ζωαὶ* non aliud sunt quam *ἄλογοι ὀρέξεις, τουτέστι, θυμὸς καὶ ἐπιθυμία*, quæ sunt *ζωαὶ τῶν σωμάτων*, ut ait Simplic. in Epict. p. 8. et in p. 20, *ἡ μὲν τῶν ἀλόγων ζώων ἄλογος ζωὴ, σωματικὴ οὖσα*—. Ita Proclus in Plat. Timæ. p. 326, *αἱ ψυχαὶ κρατοῦσι τῆς ἀλόγου ζωῆς*. Itidem Simplic. in Epict. p. 181, *λογικὴ ψυχὴ κρείττων σώματος καὶ ἀλόγου ζωῆς*. Haud immerito igitur nos codicis Curteriani lectionem, *ἀλόγου*, revocavimus. ASHT. *ἀλόγου* S.

7. *ὃς*] Sc. *ἄνθρωπος*. Sic recte

[294] τος ἀΰλου συνέστηκεν. Ἐπεὶ οὖν ἡμεῖς ὁ ἄνθρωπος, ὁ δὲ ἄνθρωπος ταῦτα, προσήκει διὰ πάντων μὲν καθήρασθαι καὶ τελειωθῆναι, τὸν δὲ ἐπιβάλλοντα τρόπον ἐφ' ἑκάστης φύσεως τηρῆσαι. Ἔστι γὰρ ἄλλη ἄλλου κάθαρσις. Οἷον, ψυχῆς λογικῆς, κατὰ μὲν τὸ λογικὸν, κάθαρσις ἐπιστημονικὴ ἀλήθεια· κατὰ δὲ τὸ δοξαστικὸν, ἡ βουλευτικὴ ἀρετή. Θεωρεῖν γὰρ τὰ ἄνω πεφυκότες, καὶ τάττειν τὰ κάτω, ἀληθείας μὲν πρὸς ἐκεῖνα, [s] πολιτικῆς δὲ ἀρετῆς πρὸς ταῦτα δεησόμεθα, ὅπως ἂν τῶν μὲν ἀϊδίων θεωρητικοὶ γινώμεθα, τῶν δὲ ἐνδεχομένων πρακτικοί. Κατ' ἀμφότερα δὲ τοῖς θείοις ὅροις ἐμμένοντες τὸν τῆς ἀλογίας ἀποφύγοιμεν κλύδωνα. Ἀπὸ ταύτης γὰρ δεῖ καθήρασθαι τὴν λογικὴν ἡμῶν

[s] πολιτικῆς] τὸ πολ. S.

edidit Curter., atque ita habet G. Rejicimus igitur illud ὡς, quod e MSS. Gall. pro ὃς temere, et omnino male, intulit editor Cantabr. ASHT.

2. ἄνθρωπος δὲ διὰ ταῦτα] Ita editt. omnes. Dacerius autem e MS. Med. [et sic S.] lectum vult, ὁ δὲ ἄνθρωπος ταῦτα, quod nequaquam melius est. Nam si ἡμεῖς (i. e. ἡ ψυχὴ) ἄνθρωπος, tum certe ὁ ἄνθρωπος nec ταῦτα, nec διὰ ταῦτα, dici potest, sc. σῶμα ἄϋλον et ὑλικόν. At in ejusdem codicis collatione Gudiana legitur, ἄνθρωπος δὲ ταῦτα, sed æque male. Sic igitur recte legi posse mihi videtur, ἀνθρώπου δὲ καὶ ταῦτα. Ita fere Hierocles alibi, σὺ εἶ ἡ ψυχή· τὸ δὲ σῶμα, σόν. Atque ipse Plato in Alcib. 1. ὅστις τὰ τοῦ σώματος γινώσκει, τὰ αὐτοῦ, οὐχ αὑτὸν γινώσκει. Itidem Iamblic. in Protrept. c. 4. αὐτὸς ἕκαστός ἐστιν ἡμῶν ἡ ψυχή· τὸ δὲ αὐτοῦ ἐστι τὸ σῶμα, καὶ τὰ τοῦ σώματος. ASHT.

6. βουλευτικὴ —] Maluit hic Bentleius πολιτικὴ, sicut mox sequitur. Nos vero nil mutandum censemus; cum nulla codicum variatio appareat, et receptam lectionem firmet Aurispæ versio, sc., *consulata virtus*. Sed et βουλευτικὴ satis apte refertur ad τὸ δοξαστικόν; nec sane multum interest inter πολιτικὴν et βουλευτικὴν, cum hæc, ut dicit Aristoteles, illius pars sit, πολιτικὴ δὲ, πρακτικὴ καὶ βουλευτική. Quod et in rem nostram uberius exponit Alex. Aphrodis. lib. 2. de Anima, τῶν τῆς ψυχῆς δυνάμεων ἡ μέν τις ἐστι δοξαστικὴ, ἡ δὲ ἐπιστημονικὴ, καλεῖται δὲ ἑκατέρα νοῦς. ἀλλ' ὁ μὲν πρακτικός τε καὶ δοξαστικὸς, καὶ βουλευτικὸς,—. ὁ δὲ ἐπιστημονικός τε καὶ θεωρητικός. ASHT.

8. πολιτικῆς—δεησόμεθα—] Idem fere dixit supra in p. 121, 2. Διττῆς ἀρετῆς—ψυχῇ δεήσει· πολιτικῆς μὲν πρὸς τὰ κάτω, —. θεωρητικῆς δὲ πρὸς τὰ ἄνω. ASHT.

10. πρακτικοὶ] Sic G. [et S.] ποιητικοὶ editt. pr.

οὐσίαν, [t]ἐπειδὴ καὶ ταύτῃ προσῆλθε τῇ εἰς γένεσιν νεύσει. Ἀλλὰ [v]δὴ καὶ τῷ αὐγοειδεῖ ἡμῶν σώματι προσέφυ σῶμα [w]θνητὸν, οὗ καθαρεῦσαι δεῖ καὶ τοῦτο, καὶ τῆς πρὸς αὐτὸ συμπαθείας ἀπαλλαγῆναι. Λείπεται δὴ οὖν ἡ τοῦ ψυχικοῦ σώματος κάθαρσις, ἣν ποιήσασθαι δεῖ [x]τοῖς ἱεροῖς ἑπόμενον 5

[t] ἐπεὶ καὶ ταύτης προῆλθεν ἐν τῇ γενέσει] ἐπειδὴ καὶ ταύτῃ προσῆλθε τῇ εἰς γένεσιν νεύσει S. M. Vat. [v] δὴ] δεῖ S. et mox om. ἡμῶν. [w] θνητὸν ὄν] θνητὸν οὗ S. et Holst. marg. [x] τοῖς] S. addit εἰρη sed del. ut videtur.

2. Ἀλλὰ δὴ—καθαρεῦσαι δεῖ καὶ τοῦτο—] Ita e codice suo imperfecte edidit Curterius. Pro quibus editor Cant., dictante Bentleio, lectoribus obtrusit, καθαρεῦσαι δὲ δεῖ καὶ τούτου. Addidit sc. Bentleius arbitratu suo δὲ, et τοῦτο in τούτου mutavit. Atqui præterquam quod sic lecta non satis aptam reddunt sententiam, nos istiusmodi commenta omnia e contextu penitus excludimus. Sufficit enim conjecturas nostras lectoris tantum judicio proponere. Atque ita Curter. in margine pro ἀλλὰ δὴ conjecit ἀλλ' ἐπειδὴ, *sed quoniam*, ut ipse vertit; et sic quidem Aurispa, *sed quum*. Ita igitur lectum vult Curter., ἀλλ' ἐπειδὴ καὶ τῷ αὐγοειδεῖ ἡμῶν σ. π. σῶμα θνητὸν ὄν, καθαρεῦσαι δεῖ καὶ τοῦτο, καὶ τῆς πρὸς αὐτὸ —. Nempe, ut τοῦτο referatur ad αὐγοειδὲς, et αὐτὸ ad θνητόν. Atque ita sane interpretatur Dacer., et Cudworth. quoque in Int. Syst. p. 792. Sed omnino male. Sic enim pro αὐτὸ scriptum oportuit ἐκεῖνο. Nos vero ἀλλὰ δὴ retinemus, et cum codices omnes, quantum apparet, habeant τοῦτο non τούτου, totum locum minima mutatione sic recte legi posse opinamur, ἀλλὰ δὴ καὶ τῷ αὐγοειδεῖ ἡμῶν σώματι προσέφυ σῶμα θνητὸν, οὗ καθαρεῦσαι δεῖ καὶ τοῦτο. [sic S.] Nam illud ὄν non omnino hic requiritur; atque, eo excluso, melius plane legitur σῶμα θνητὸν, sicut alibi: at si in οὗ mutetur, toti sententiæ elegantiam lucemque afferre tibi, ut opinor, videbitur: sic enim τοῦτο plane referetur ad αὐγοειδὲς, et αὐτὸ ad σῶμα θνητὸν, prout locus ipse postulat. ASHT.

4. ψυχικοῦ σώματος] Id est, τοῦ αὐγοειδοῦς, quod est ψυχῆς σῶμα ἀθάνατον, et ἄϋλον, eique συμφυὲς, et ideo dictum ψυχικὸν opposite ad σῶμα ὑλικὸν et θνητὸν, cui ex lapsu tantum, ἐν τῇ εἰς γένεσιν νεύσει, ut supra dixit, adjungitur. Nam hoc ψυχικὸν σῶμα, cujus κάθαρσιν nunc vult, idem plane est, quod in pag. sequente ζωτικὸν et αὐγοειδὲς appellat, et purgandum esse dicit ἀπὸ μολυσμῶν ἐκ τῆς πρὸς τὸ ὑλικὸν σῶμα συζεύξεως. Hujus vero ψυχικοῦ σώματος κάθαρσις in se fert etiam ὑλικοῦ σώματος κάθαρσιν, subjungit igitur Hierocles, σωματικωτέρα δὲ αὕτη ἡ κάθαρσις· &c. Rarissima vero est hæc phrasis, ψυχικὸν σῶμα, nec ab alio, quod sciam, ullo usurpata, præterquam ab Apostolo 1 Cor. xv. 44, ἔστι σῶμα ψυχικὸν, καὶ ἔστι σῶμα πνευματικὸν, unde notat Cudworth. Intell. Syst. p. 789,797. Apostolum et Hieroclem iisdem phrasibus eodem in sensu usos esse. Atqui in hoc omnino fallitur vir ille magnus; nam Apostolus per σῶμα ψυχικὸν vult plane terrestre hoc, quo induimur, τὸ

θεσμοῖς, καὶ [y]ταῖς τῶν ἱερῶν τέχναις. Σωματικωτέρα δέ [216]
πως αὕτη ἡ κάθαρσις· διὸ καὶ ὑλῶν ἐφάπτεται παντοδαπῶν, θεραπεύουσα παντοίως, καὶ μεταπείθουσα δραστηρίως τὸ ζωτικὸν τοῦτο σῶμα χωρισθῆναι τῆς ὕλης, καὶ
[297] ἀναπτῆναι πρὸς τὸν αἰθέριον τόπον, ὅπου [z]τὴν κατάταξιν 5
ἔχειν αὐτῷ εὐδαιμονία ἦν πρώτη. Πάντα δὲ τὰ περὶ τοῦτο δρώμενα, ἐὰν θεοπρεπῶς καὶ μὴ ἀγυρτικῶς [a]γίνηται, συνεπόμενα τοῖς τῆς [b]ἀληθείας καὶ ἀρετῆς κανόσιν εὑρίσκεται. Αἱ γὰρ τῆς λογικῆς ψυχῆς καθάρσεις καὶ τοῦ αὐγοειδοῦς ὀχήματος προμηθοῦνται, ὅπως ἂν, αὐταῖς ὑπό- 10

y ταῖς ἱεραῖς τέχναις] ταῖς τῶν ἱερῶν τέχναις Vat. Med. S. z ἡ κατάταξις αὐτοῦ Holst. marg. a γίνηται] γίνεται S. b ἀρετῆς καὶ ἀληθείας] ἀληθείας καὶ ἀρετῆς S. Vid. p. 163, 14.

ὑλικὸν sc. καὶ θνητὸν, τὸ τοῖς ψυχικοῖς ὑπηρετοῦν παθήμασι, ut ait Œcumenius; per πνευματικὸν vero, idem vult corpus in cœlo demum glorificatum, τὸ μηκέτι τοῖς βαρήμασι τῆς φθορᾶς ὑποπίπτον, ἀλλὰ τῇ ἀφθαρσίᾳ καὶ δόξῃ περικεκοσμημένον, ut dicit idem Œcumenius. At Hierocles contra per ψυχικὸν σῶμα nihil aliud vult, quam animi corpus subtile συμφυὲς, quo secum nato vestiebatur; quod ψυχῆς σῶμα αὐγοειδὲς, ἀθάνατον, αἰθέριον, ἄϋλον vocat, atque ὑλικῷ et θνητῷ σώματι semper opponit; quippe quod hoc sit πνευματικὸν ὄχημα τῆς ψυχῆς, et σῶμα πνευματικὸν, ab ipsa origine, antequam in corpus ὑλικὸν descenderit, susceptum, non, post depositum corpus ὑλικὸν, in cœlo (ut dicit Apostolus) olim suscipiendum; adeo ut in harum phrasium explicatione non solum non consentiant, sed et in alia omnia discedant Apostolus et Hierocles. Recte autem paucis rem explicat Dacerius. Confer. Grot. in Matth. xxviii. 9. ASHT.

1. ταῖς τῶν ἱερῶν τέχναις] Edidit Curter. ταῖς ἱεραῖς τέχναις. Nos vero hic recepimus lectionem MSti Florent. ap. Dacer.; atque hoc quidem præ se tulit editor Cant.; et tamen articulum ταῖς, nescio quo modo, omisit. Dacerius vero pro ἱερῶν legendum putavit ἱερέων, quod editori *paulo ineptius videtur*, cum Hierocles (inquit) eadem phrasi de hac ipsa re utatur in sequentibus, ubi dicit τὴν τῶν ἱερῶν τέχνην περὶ τὴν τοῦ αὐγοειδοῦς κάθαρσιν πραγματεύεσθαι. Fac vero errasse Dacerium, haud ita tamen inepte; cum hæc phrasis ἱερέων τέχνη occurrat apud Iamblic. de Myst. p. 56, et ἡ τῶν ἱερέων τέχνη ap. ipsum Platonem in Sympos. p. 202. ASHT.

5. τὴν κατάταξιν ἔχειν αὐτῷ—] Habet hic G. ἡ κατάταξις αὐτοῦ. Sed non mutamus. Respicit vero hic Hierocles ad Platonis verba in Timæo p. 42, ὁ μὲν εὖ τὸν προσήκοντα βιοὺς χρόνον πάλιν εἰς τὴν τοῦ συννόμου πορευθεὶς οἴκησιν ἄστρου, βίον εὐδαίμονα ἕξει. Vide Proclum in Timæ. p. 328. ASHT.

πτερον καὶ τοῦτο γενόμενον, μὴ ἐμποδὼν ἵστηται πρὸς τὴν ἄνω πορείαν. Πτεροφυΐα δὲ αὐτοῦ ἀρίστη, ἡ κατὰ μικρὸν μελέτη τῆς τῶν [c]περιγείων ἀποστάσεως, καὶ ὁ πρὸς τὴν ἀϋλίαν ἐθισμὸς, καὶ ἡ ἀπόθεσις ὧν [d]ἀνεπλήσθη [e]μολυσμῶν ἐκ τῆς πρὸς τὸ ὑλικὸν σῶμα συζεύξεως. Διὰ γὰρ τούτων [f]ἀναβιώσκεται τρόπον τινὰ, καὶ [ff]συλλέγεται, καὶ θείου πληροῦται τόνου, καὶ τῇ νοερᾷ τελειότητι τῆς ψυχῆς [g]συνάπτεται. Τί οὖν [h]ἡ ἐνίων βρωμάτων ἀποχὴ πρὸς ταῦτα συμβάλλοιτο ἄν; [i]ἦ τοῖς ἐθιζομένοις ἀπὸ πάντων χωρίζεσθαι τῶν θνητῶν, τὸ τινῶν ἐντεῦθεν ἤδη παντελῶς ἀποσχέσθαι, καὶ μάλιστα τῶν γλυκυθυμούντων καὶ κατατεινόντων εἰς γένεσιν τὸ θνητὸν σῶμα, πρὸ ὁδοῦ ἂν γένοιτο εἰς κάθαρσιν. Διὸ καὶ ἐν τοῖς συμβολικοῖς παραγγέλμασιν ἐπετάττετό τινων ἀποχὴ, μείζονα μὲν καὶ καθολικώτερον ἔχουσα τὸν προηγούμενον νοῦν, ἑπομένως δὲ καὶ τοῦ μερικοῦ τούτου
[298] ἀπείργουσα, οὗ ἂν τὴν μνήμην ἑκάστοτε ποιῆται· οἷον,

[c] περιγείων] πτερυγίων S. [d] ἂν ἐπλήσθη] ἀνεπλ. S. [e] μολυσμῶν] λογισμῶν Vat. [f] ἀναβιώσκεται] ἀναβιόσκ. S. [ff] συλλέγεται] συνάγεται Holst. marg. [g] συνάπτεται] συνέπτεται S. συνέπεται Vat. [h] ἡ ἐνίων] εἰ ἐνίων S. Curt. τί οὖν ἡ ἐνίων βρωμάτων ἀποχὴ πρὸς Vat. et M. Pro εἰ puto integram vocem εἴργεσθαι substituendam ex versibus: ita clara sententia. HOLST. sc. ἀποχὴ om. Curt. [i] τοῖς] ἦ τοῖς S. Curt. ἦ τοῖς Curt. marg.

6. συλλέγεται] Ita Plato in Phædone, ψυχὴ εἰς αὐτὴν συλλέγεται. sect. 21, 22. ed. Cant. At habet G. συνάγεται. Atque hoc quoque Platonicum est. Sic ap. Porphyr. in Ἀφορμ. νοῦς dicitur συνάγειν ἑαυτὸν, et εἰς ἑαυτὸν συνάγεσθαι sect. 15. Conf. Plat. Phæd. c. 11. ed. Cant. ASHT.

9, συμβάλλοιτο ἄν; τοῖς ἐθιζομένοις—] Sic recipimus e G. sine ἦ, quod habent editt. pr.; ut illa τοῖς ἐθιζομένοις sint respondentis verba; e quibus rite distinctis manifesta fit totius loci sententia, cui editor Cant. (utcunque se hic efferat) male interpunctis verbis, tenebras prorsus offudit. Non negamus tamen, quin satis commode (uti conjecit Curter.) pro vulgato ἦ legatur ἦ, i. e. *certe;* ut sit, ἦ τοῖς ἐθιζομένοις—, *Illis certe, qui se assuefaciunt*—. Sic enim (ut alios mittam) Hieroclis nostri discipulus, Æneas Gazæus, in Theophrasto sæpe illo ἦ, βεβαιωτικῷ, in responsis utitur, sc. ἦ πολλὴν χάριν οἶδα—, ἦ παλαιός μοι φίλος—, ἦ καλῶς λέγεις. At nos hic codicis Medic. lectione, potius quam probabili conjectura, niti voluimus. ASHT.

μήτραν ζῴου μὴ ἐσθίειν. Τοῦτο δὲ [k]οὑτωσὶ μὲν λεγόμενον ἑνός τινος ἀφίστησιν ἡμᾶς τῶν περὶ γῆν, καὶ τούτου σμικροτάτου. Ἐὰν δὲ εἰς τὸ πολύνουν τῆς Πυθαγορικῆς βαθύτητος ἀπίδῃς, τὴν [l]ὅλην τῆς γενέσεως ἀποχὴν δι' ἑνός τινος αἰσθητοῦ παραδείγματος διδαχθήσῃ· καὶ ὡς ἐν βρώμασι τοῦτο οὐ [m]προσοι- [218]
σόμεθα, [n]οὕτως ἐν τοῖς τοῦ αὐγοειδοῦς καθαρσίοις τὸ ἀπὸ 6
τούτου νοούμενον ἐπιτηδεύσομεν. Ὁμοίως δὲ καὶ τὸ καρδίαν μὴ ἐσθίειν, προηγουμένως μὲν εἰς τὴν τοῦ θυμικοῦ κατάστασιν μὴ ἰέναι λέγει· κατ' ἐπακολούθησιν δὲ, καὶ τὴν τούτου τοῦ μέρους ἀποχὴν εἰσηγεῖται. Κατὰ δὲ τὸν αὐτὸν λόγον, καὶ 10
τὸ θνησιμαίων ἀπέχεσθαι δεῖν, [o]θεωρήσομεν τὸ μὲν ὅλον τῆς θνητῆς φύσεως [p]ἀπείργειν ἡμᾶς, ἤδη δὲ καὶ τῆς τῶν ἀθύτων καὶ ἀνιέρων σαρκῶν μεταλήψεως. Δίκαιον γὰρ τῶν συμβολικῶν νουθετήσεων καὶ τὸ [q]προφαινόμενον φυλάττειν, καὶ τὸ εἴσω νοούμενον. Ἐκ γὰρ τῆς [r]συνεχοῦς τοῦ φαινομένου 15

[k] οὑτωσὶ] οὑτωσὶ μὲν S. V. M. [l] ὅλης] ὅλην S. [m] προσησόμεθα Holst. marg. [n] οὕτως] οὕτως δὲ S. ὡς δὲ Curt. [o] θεωρήσομεν] θεωρήσωμεν S. [p] ἀπεῖργον ἢ. ἔτι δὲ Holst. marg. [q] προφαινόμενον Vat. M. S. [r] συνεχοῦς μελέτης τῆς τοῦ φ. Holst. marg.

4. ὅλης] Sic legere non dubitavimus pro ὅλην in prius editis, quia sic plane sensus flagitat, atque ipse Curter. vertit, *totius*, ut et Aurispa; adeo ut ὅλην preli tantum erratum esse videatur; uti in superioribus haud semel ex Curterii versione operarum in Græcis sphalma deprehendimus, etsi in erratis illud notatum non apparet. ASHT. Non ita est.

ib. δι' ἑνός τινος παραδείγματος] Sic recepimus e G., ubi omittitur αἰσθητοῦ, idque rectissime; nam αἰσθητὴ est ὅλη γένεσις, non necesse ergo erat, ut hæc pars, quæ in totius αἰσθητοῦ exemplum proponitur, diceretur αἰσθητή. Atque mihi quidem videtur Dacerius παραδείγματος tantum invenisse in MS. Med. et Lib. Renaud., idque ad αἰσθητοῦ prius editum addidisse; nam cum αἰσθητοῦ desit in G., omnino probabile est, defuisse quoque in ejusdem codicis collatione Salviniana. ASHT. αἰσθητοῦ habet S.

5. ὡς ἐν—, οὕτως ἐν—] Edidit Curter. ὡς ἐν, cui respondet plane οὕτως ἐν, ut notavit Casaubonus; et sic nos recipere non dubitavimus, cum ita lectum in codice suo doceat Aurispa, sic vertens, *ut in cibis—, sic in—purificatione.* ASHT. ὡς μὲν—ὡς δὲ ed. Needham.

14. τὸ προφερόμενον] τὸ προφαινόμενον G.

τηρήσεως ἡ τῶν μειζόνων μελετᾶται κατόρθωσις. Οὕτως οὖν καὶ νῦν ἀκουσώμεθα, ὡς διὰ βραχυτάτου λόγου, μεγίστων ἔργων ἀρχὰς ἡμῖν [s]ἐκδιδόντος τοῦ ἔπους. Εἴργου γάρ φησι βρωμάτων, ὃ ταυτόν ἐστι [t]τῷ, ἀπέχου φθαρτῶν σωμάτων.
[301] Ἐπεὶ δὲ οὐ πάντων νῦν ἀπέχεσθαι δυνατὸν, ἐπάγει ὧν εἴπομεν. [v]Καὶ ποῦ περὶ τούτων εἴρηται ὑποδείκνυσιν, ἔν τε καθαρμοῖς, ἔν τε λύσει ψυχῆς· ἵν' ἡ ἀποχὴ τῶν τροφῶν τῆς διαυγείας τοῦ σωματικοῦ ὀχήματος ἐπιμέλειαν [w]ποιῆται πρέπουσαν τῇ καθαιρομένῃ ψυχῇ, καὶ ἀπολυομένῃ τῶν ὑλικῶν κατοχῶν. Τῇ δὲ τοιαύτῃ ἐπιτηδεύσει τὸν κριτικὸν [x]ἐπέστησε λογισμὸν, τὸν δυνάμενον τὴν τοῦ αὐγοειδοῦς θεραπείαν τῇ καθαρότητι τῆς ψυχῆς σύμφωνον ἀποδοῦναι. Διὸ καὶ ἡνίοχον γνώμην αὐτὸν προσηγόρευσεν, ὡς ἐφεστάναι πεφυκότα τῇ τοῦ ὀχήματος εὐταξίᾳ. Γνώμην μὲν, ὅτι λογικὴ δύναμις ἦν· ἡνίοχον δὲ, ὅτι ἐφαπτομένη καὶ [y]ἐπιστατοῦσα τοῦ σώματος. Τὸ δὲ ἐρωτικὸν ὄμμα ὑπὲρ τὸν

[s] ἐνδιδόντος] ἐκδιδόντος S. [t] τῷ] τὸ S. [v] καὶ τὶ που Holst. marg. [w] ποιῆται] ποιεῖται S. [x] ἐπέστησε] ὑπέστησε S. [y] ἐπιστᾶσα] ἐπιστατοῦσα M. V. S.

15. λογικὴ δύναμις ἦν·] [Sic S.] Sc. ψυχῆς. At G. habet λογικῆς ψυχῆς δύναμις ἦν, quod melius fortasse videatur; nisi sic malis, λογικὴ ψυχῆς δύναμις ἦν. Nam per γνώμην hic vult τὸ λογιστικὸν μέρος τῆς ψυχῆς, i. e. τὸν νοῦν, seu, τὸ ἡγεμονικόν. ASHT.

16. ἐρωτικὸν ὄμμα] Ita e codice suo edidit Curter. [sic S.] cui consentit Aurispæ versio, sc., *lumen amore incensum*. Et est sane hæc Platonis in Phædro phrasis p. 253; ubi tamen ἐρωτικὸν ὄμμα est τοῦ ἐρωμένου, non ipsius aurigæ ἐρῶντος oculus, quem hic vult Hierocles. Sed potuit ille quidem hanc phrasim ad aurigæ oculum transferre, si epitheton illud, ἐρωτικὸν, ad loci sensum apte quadraret, prout existimat Dacerius; at mihi quidem longe secus videtur; cum Hierocles hic non omnino de amore loquatur, sed de duplici tantum γνώμης circa ὄχημα functione, prout vel νοῦν, vel ψυχὴν, cui νοῦς præest, denotat. Atque hoc, ut opinor, sentiens Bentleius, pro ἐρωτικὸν substitui voluit θεωρητικὸν, quod lectori obtrudere non dubitavit editor Cantabrigiensis. Sed, utcunque speciosum hoc sit, nos in re dubia nullius conjecturam in contextum admittimus; præsertim cum G. habeat ὁρατικὸν, quod eodem fere

ἡνίοχον τέτακται. Εἰ γὰρ καὶ μία ψυχὴ, ἀλλ' ὄμματι [220]
μὲν οἷον θεωρεῖ τὸ τῆς ἀληθείας πεδίον· τῇ δὲ [z]ἀνὰ λόγον
πρὸς χεῖρα δυνάμει τὸ συμφυὲς σῶμα κατέχει, καὶ πρὸς
ἑαυτὴν ἐπιστρέφει, ἵν' ὅλη πρὸς τὸ θεῖον [a]ἴδῃ, καὶ τὴν θείαν
[b]ὁμοιότητα κτήσηται. Καὶ ὁ μὲν καθόλου τῆς ἀποχῆς τύ- 5
πος τοιοῦτος, καὶ τοσούτων [c]ἀγαθῶν στοχαζόμενος· τὰ δὲ
ἐπὶ μέρους ἐν τοῖς ἱεροῖς ἀποφθέγμασιν ἐν ἀπορρήτῳ παρε-
[302] δίδοτο, ὧν ἕκαστον εἰ καὶ μερικὴν ἀποχὴν εἰσηγεῖτο, οἷον,
κυάμων μὲν [d]ἐν σπέρμασι, [e]θνησειδίων δὲ ἐν ζῴοις, καὶ
τούτων κατὰ γένος, ὡς ἐπὶ ἰχθύων τὸ, [f]ἐρυθρίνου ἀπέχεσθαι, 10
καὶ ἐν χερσαίοις ἄλλου, καὶ ἑτέρου τινὸς ἐν πτηνοῖς, καὶ
τὸ τελευταῖον, μέρη τινὰ ζῴων [g]ἀπηγόρευσεν, οἷον, κεφαλὴν
μὴ ἐσθίειν, μηδὲ καρδίαν· ὅμως καὶ ἐν ἑκάστῳ τούτων

z ἀναλόγῳ] ἀνάλογον S. a ἴδῃ] εἴδη S. b ὁμοίωσιν] ὁμοιότητα S. c τῶν ἀγαθῶν] τῶν om. S. d ἐν σπέρμασι] ἐν om. S. e θνησειδίων] θνησιδίων S. θνησιμαίων Holst. marg. f ἐρυθρίνου ἀπέχου] ἐ. ἀπεχεσθαι S. τοῦ ἐρυθρίνου ἀπέχεσθαι M. V. Holst. marg. g ἀπηγόρευεν] ἀπηγόρευσεν S.

redeat. Quicquid autem hoc sit, loci mens plane est, τὴν γνώμην, seu, τὴν λογικὴν δύναμιν τῆς ψυχῆς, i. e. τὸν νοῦν, superiorem sc. animi partem, oculi in edito positi, atque accurate prospectantis, et ἡγεμονοῦντος munus obire, dum inferior ψυχῆς pars manuum vice fungitur, et habenas tractans currum dirigit. Attamen vox præcedens, ἐπιστατοῦσα, me movet, ut in re incerta lectoris judicio proponam, annon legi hic possit ἐπιστατικὸν ὄμμα. Nam sic fere ap. Porphyrium legimus τὴν ἐπίστασιν τοῦ λογισμοῦ, et τῆς ψυχῆς τὸ ἐπιστατικὸν ὄμμα, et ἀμήχανον esse (ἵππους) διοικεῖν καθηκόντως,—μὴ οὐχὶ τοῦ ἡνιόχου ἐφεστῶτος ὄμματος, &c. περὶ Ἀποχ. I. 43. Sed huic conjecturæ non nimis confidimus. Quod si cum Dacerio malis ἐρωτικὸν ὄμμα, tum intelligas oportet mentis aurigantis oculum veri pulchrique amore incensum, unde acies ejus acrius intenditur, et exardescit ἡ πολλὴ σπουδὴ τὸ ἀληθείας ἰδεῖν πεδίον, οὗ ἐστιν, ut in eodem Phædro dicit Plato (ad quæ quidem verba mox respicit Hierocles) atque ita fere loquitur Proclus in Plat. Theol. I. 2. ἔρωτι ἀναπλήσας τὴν ψυχὴν—συνεργῷ εἰς θεωρίαν,—καὶ πρὸς ἀλήθειαν ἐγείρας τὸ νοητὸν ὄμμα. At hæc mihi nimis mystica videtur explicatio, atque, ut dixi, loci sententiæ minus congrua. ASHT.

9. θνησειδίων] G. habet hic θνησιμαίων, sicut superius legitur. Sed eodem redeunt. ASHT.

τὴν τελειότητα τῆς καθάρσεως ἐναπετυποῦτο ὁ λόγος· διὰ μέν τινας φυσικὰς ἰδιότητας τόδε ἢ τόδε εἰς σωματικὴν ἀποχὴν κατατάξας, δι' ἑκάστου δὲ τῆς θνητῆς προσπαθείας κάθαρσιν εἰσηγούμενος, καὶ ἐθίζων διὰ πάντων εἰς ἑαυτὸν ἐπιστραφῆναι τὸν ἄνθρωπον, καὶ τοῦ μὲν τῆς γενέσεως καὶ φθορᾶς τόπου ἐξαναδῦναι, πρὸς δὲ τὸ Ἡλύσιον πεδίον καὶ αἰθέρα τὸν ἐλεύθερον [h] μετοικίσασθαι. Ἐπειδὴ δὲ ἐν τάξει τὴν [i] ἐπίδοσιν τῆς ἀποχῆς ἐποιοῦντο, διὰ τοῦτο καὶ μαχόμενα, ὡς ἂν οἰηθείη τις, εὑρίσκεται παρ' αὐτοῖς σύμβολα. [k] Τῷ γὰρ ζῴων ἀπέχου τὸ [l] καρδίας ἀπέχου ἐναντίον· εἰ μή πού τις τὸ μὲν καρδίας ἀπέχου τοῖς ἀρχομένοις παρηγγέλθαι λέγοι, τὸ δὲ ζῴων, τοῖς ἤδη τελείοις. Περιττὴ γὰρ ἡ κατὰ μέρος ἀποχή, οἷς τὸ ὅλον ζῷον [m] ἀπηγόρευτο. Διὸ οὐ παρέργως προσέχειν δεῖ τῇ τάξει τῆς ἀναβάσεως, ἣν ἐμφαίνει τὰ ἔπη. Εἴργου, γάρ φησι, βρωμάτων· εἶτα, ὡς ἐρωτῶντός τινος, ποίων; ἀπεκρίνατο, ὧν
[305] εἴπομεν. Καὶ πάλιν ὡς πρὸς δευτέραν πεῦσιν ζητοῦσαν, [222]
ποῦ εἶπον περὶ τούτων οἱ [n] Πυθαγόρειοι, καὶ ἐν ποίαις μαθημάτων παραδόσεσιν ἀποχὰς βρωμάτων [o] συνέφηναν; ἐπήγαγεν, ἔν τε καθαρμοῖς, ἔν τε λύσει ψυχῆς· ὡς τῶν μὲν καθαρμῶν προηγουμένων, τῆς δὲ λύσεως ἑπακολουθούσης. Καθαρμοὶ δὲ λογικῆς ψυχῆς εἰσιν αἱ μαθηματικαὶ ἐπιστῆμαι, καὶ [p] ἀναγωγὸς λύσις ἡ διαλεκτικὴ τῶν ὄντων

[h] μετοικήσασθαι] μετοικίσασθαι S. Holst. marg. [i] ἀπόδοσιν Holst. marg. [k] Τῷ γὰρ] τὸ γὰρ S. [l] καρδίας] καρδίαν S. [m] ἀπηγορεύετο] ἀπηγόρευτο S. V. M. ἀπηγόρευται Holst. marg. [n] Πυθαγόρειοι] Πυθαγόριοι S. et sic infra. [o] συνέφηναν] συνύφηναν S. συνέφηναν Holst. marg. [p] ἀναγωγὸς] ἀναῦ sine acc. S. qui mox ἐποπτία.

16. ὡς] Ita G. et S. ὥσπερ edd.

19. συνέφηναν] Sic G., quod melius nobis visum est, quam prius editum, ἀποχὴν εἰρήκασι. Sic supra, δόγμα, ὃ Πλάτων ἐξέφηνε. et, ἀνυπόστατον συναπέφηνε, Photius de Hierocle. Cod. 214. ASHT.

23. ἀναγωγὸς] Editt. priores τροπαροξυτόνως habent ἀνάγωγος. Nos vero grammaticorum regulæ obsequimur, secundum quam ἀνά-

ἐποπτεία. Διὸ [q]καὶ ἐνικῶς ἀπήγγελται, ἔν τε λύσει ψυχῆς· ὅτι εἰς μίαν ἐπιστήμην [r]αὕτη τελεῖ, τῆς μαθηματικῆς πλῆθος ἐπιστημῶν περιεχούσης. Τοῖς οὖν ἐπὶ ψυχῆς εἰς κάθαρσιν καὶ ἀπόλυσιν οἰκείως παρειλημμένοις δεῖ τὰ ἀναλογοῦντα καὶ ἐπὶ τοῦ αὐγοειδοῦς ἐπιτάξαι. Οὐκοῦν τοῖς τε μαθηματικοῖς καθαρμοῖς τοὺς τελεστικοὺς συνεισιέναι, καὶ τῇ διαλεκτικῇ λύσει τὴν ἱερατικὴν ἀναγωγὴν συνέπεσθαι ἀνάγκη. Ταῦτα γὰρ ἰδίως καθαίροντα καὶ τελειοῦντα τὸ πνευματικὸν ὄχημα τῆς λογικῆς ψυχῆς, τῆς μὲν [s]ὑλικῆς ἀξίως ἀζωΐας αὐτὸ χωρίζει, πρὸς δὲ τὴν τῶν καθαρῶν πνευμά-

q διὸ καὶ] καὶ om. S. r αὕτη et mox πλῆθος S. pro αὐτὴ—πλεῖστον. s ὑλικῆς ἀζ.] ὑλικῆς ἀξίως ἀζ. S. ὑλ. ἀξίας ἀζωΐας Vat. Med. simul puto alterum ex marg. irrepsisse HOLST. ἀταξίας Holst. marg. ἄλλ. ἀταξίας. γρ' ἀλογίας Curt. marg.

γωγος est, ὁ μὴ τῆς θεούσης ἀγωγῆς τετυχηκώς. Hesych. et Etym. M. ἀναγωγὸς vero, ὁ ἄνω ἄγων, quo in sensu ab Hierocle cæterisque Platonicis sæpe usurpatur; sic p. 260. τὴν καταγωγὸν ῥοπὴν τῇ ἀναγωγῷ δυνάμει—ἰασαίμεθα, atque hic plane ψυχῆς λύσις ἀναγωγὸς est, quæ animam reddit expeditam πρὸς τὴν ἄνω πορείαν, ut dixit supra. Ita Proclus in Plat. Timæ. dicit illum qui recte vult προσομιλεῖν θεοῖς, debere ἀρετὰς καθαρτικὰς καὶ ἀναγωγοὺς προβεβλῆσθαι, pag. 65. atque in pag. 290. τοῦτο τὸ γένος ὑψηλόν ἐστι καὶ ἀναγωγὸν τῶν ψυχῶν, —τῶν μὲν ἀναγωγῶν ἀναγωγοί. Ita ἀναγωγὸς ζωὴ ap. Dionys. Areop. Ecc. Hier. c. 3. i. e. ἡ τὰ ἄνω ζητοῦσα. Schol. Maxim. ASHT.

3. πλῆθος] Ita rectissime habet G. pro πλεῖστον, quod ex conjectura editor Cant. inseruit. Sic Hierocles πλῆθος εἰδῶν, p. 23, 18. et μαθημάτων πλῆθος, Porphyr. περὶ Ἀποχ. I. 29. ASHT.

7. ἱερατικὴν ἀναγωγὴν] Sic ἱερατικὴ θεραπεία ap. Iamblic. p. 26. ed. Galæ. et ἱερατικὴ ἀναγωγή. Ib. p. 177, quæ sc. elevat ad ἐποπτείαν, ut supra dixit; nam ἱερατικῆς ἔργον τέχνης est ἀναγαγεῖν πρὸς τὰ ὄντως καλὰ, uti postea ad v. 70 dicit ipse Hierocles. ASHT.

10. ἀζωΐας] Sic e codice suo edidit Curter. Sed notavit in margine, ἄλλ., i. e. in alio se reperisse ἀταξίας, at ipsi placere ἀλογίας. Nec ille quidem male conjecit ἀλογίας, sic enim ὑλικῆς ἀλογίας in proœmii initio. Sed alteram illam lectionem, ἀταξίας, habet etiam G.; quæ quidem loco satis apte convenit, et τῇ τοῦ ὀχήματος εὐταξίᾳ, de qua in superioribus locutus est, ex adverso respondet. His autem editor Cant. nec κριτικὸν λογισμὸν adhibens, nec omnino attendens, cum in MSS. Gall., ut ait, legerit εὐζωΐας (plane pro ἀζωΐας) inde excogitatam a Bentleio lectionem, συζωΐας arripuit, atque more suo lectoribus obtrusit. Nimirum, vir ille doctissimus, et in lexicographis versatissimus, cum in illis vocabulum ἀζωΐα non invene-

των συνουσίαν ἐπιτηδείως ἔχειν παρασκευάζει. Μὴ [t]καθαρῷ
[306] γὰρ καθαροῦ ἐφάπτεσθαι οὐκ ἔστι θέμις. Ὥσπερ οὖν
τὴν ψυχὴν ἐπιστήμῃ καὶ ἀρετῇ [v]προσήκει [w]κοσμῆσαι, ὅπως
ἂν τοῖς ἀεὶ τοιούτοις συνεῖναι δύνηται· οὕτω καὶ τὸ αὐγοειδὲς
[x]καθαρὸν καὶ ἄϋλον δεῖ παρασκευάσαι, ἵνα τὴν τῶν αἰθερίων
σωμάτων ἀνάσχηται κοινωνίαν. Δι' [y]ὁμοιότητα γὰρ [z]φιλεῖ
πάντα πρὸς ἄλληλα συνάπτεσθαι, τῇ δὲ ἀνομοιότητι καὶ
τὰ ἐγγὺς ὄντα τοῖς τόποις χωρίζεται. Τοῦτο τῆς τελειοτά-
της φιλοσοφίας τὸ μέτρον οἱ Πυθαγόρειοι παρέδοσαν, πρὸς
τὴν ὅλου [a]τοῦ ἀνθρώπου τελειότητα οἰκεῖον καὶ σύμμετρον·
Ὁ γὰρ ψυχῆς μόνης ἐπιμέλειαν ποιούμενος, τοῦ δὲ σώμα-
τος ἀμελῶν, οὐ τὸν ὅλον ἄνθρωπον καθαίρει. Πάλιν δ' αὖ [224]
ὁ τοῦ σώματος οἰόμενος δεῖν ἐπιμελεῖσθαι χωρὶς τῆς ψυχῆς,
ἢ [b]τὰς τοῦ σώματος θεραπείας συντελέσειν τι τῇ ψυχῇ

[t] καθαρὸν] καθαρ̃ S. i. e. καθαρῷ. [v] δεῖ] προσήκει S. V. [w] κοσμεῖσθαι] κοσμήσαι Holst. marg. [x] καθαρὸν] καὶ καθαρὸν S. [y] ὁμοιότητος] ὁμοιότη̃ S. [z] πάντα φιλεῖ] φιλεῖ πάντα S. V. [a] τοῦ ἀνθρώπου] τοῦ om. S. [b] τὰς τοῦ σώματος] τὰ σώμα̃ S.

rit, eo amandato, suum illud συζωΐα sub Hieroclis nomine hic introductum voluit. Nos vero consultis, ut par erat, philosophis, vocem ἀζωΐα a Platonicis hoc in sensu usurpatam sæpissime deprehendimus: exempli gratia, apud Proclum in Plat. Theol. pag. 46. τὸ ζωῆς παρεκτικὸν, ἀζωΐας αἴτιον οὐκ ἔστι. et paulo post, ἔνυλα γενόμενα, καὶ ἀζωΐας ἀναπλησθέντα. Itidem in pag. 47. οὔτε γὰρ ἀζωΐαν, οὔτε στέρησιν τῷ παντὶ παρεμπίπτειν δυνατόν. Et paulo inferius, τὰ ἔνυλα τῇ ἀζωΐᾳ συγκέκραται. Similiter etiam loquitur Porphyrius in Ἀφορμ. sect. 21. τῆς ὕλης τὰ ἴδια, —ἄζωος, οὔτε γὰρ νοῦς, οὔτε ψυχὴ, οὐ ζῶν καθ' ἑαυτό· et sect. 22. τῇ ἀζωΐᾳ (συμβαίνει) τὸ μὴ παθεῖν, καθ' ὅσον ἀζωΐα. Et paulo post, ψυχὴ οὐκ ἦν ἐξ ἀζωΐας καὶ ζωῆς συγκείμενον πρᾶγμα. Notandum denique est (id quod editor Cant. non animadvertit) Aurispæ codicem pariter ac Curterianum habuisse ἀζωΐας; sic enim vertit, *a materiali morte dividunt*, i. e. τῆς ὑλικῆς ἀζωΐας χωρίζει. Quocirca lectioni Curterianæ jus suum reddidimus. ASHT.

1. **Μὴ καθαρὸν —**] Platonis sunt hæc verba in Phædone [p. 67 B.] aliquantum variata; quæ accuratius supra citabantur in proœmio. ASHT.

3. κοσμεῖσθαι] G. [cum S.] habet κοσμῆσαι, quod melius convenire videatur cum sequente παρασκευάσαι. ASHT.

6. Δι' ὁμοιότητος] δι' ὁμοιότητα G.

μηδὲν δι' ἑαυτῆς [c] καθαιρομένη, τὸ αὐτὸ διαμαρτάνει. Ὁ δὲ δι' ἀμφοτέρων οἰκείως προϊὼν ὅλος τελειοῦται, καὶ κατὰ τοῦτο [d] συνάπτεται τῇ τῶν ἱερῶν τέχνῃ [e] ἡ φιλοσοφία, ὡς περὶ τὴν τοῦ αὐγοειδοῦς κάθαρσιν πραγματευομένη· ἣν εἰ χωρίσειας τοῦ φιλοσόφου νοῦ, οὐκ ἔτι τὴν αὐτὴν δύναμιν ἔχουσαν εὑρήσεις. Καὶ γὰρ τῶν [f] συμπληρούντων τὴν ἡμετέραν τελείωσιν τὰ μὲν ὁ φιλόσοφος νοῦς [g] προεξεῦρε, τὰ δὲ ἡ τελεστικὴ ἐνέργεια συνεισήγαγε, τῷ φιλοσόφῳ νῷ ἑπο-
[309] μένη. Τελεστικὴν δὲ ἐνέργειαν λέγω, τὴν τοῦ αὐγοειδοῦς καθαρτικὴν δύναμιν, ἵνα τῆς ὅλης φιλοσοφίας τὸ μὲν θεωρητικὸν προηγῆται, ὡς νοῦς, τὸ δὲ πρακτικὸν, ὡς δύναμις, ἕπηται. Τοῦ δὲ πρακτικοῦ δύο θῶμεν εἴδη, πολιτικὸν καὶ τελεστικόν· τὸ μὲν διὰ τῶν ἀρετῶν τῆς ἀλογίας ἀποκαθαῖρον ἡμᾶς, τὸ δὲ διὰ τῶν ἱερῶν μεθόδων τὰς ὑλικὰς φαντασίας ἀποτέμνον. Δεῖγμα δὲ οὐ μικρὸν τῆς μὲν πολιτικῆς φιλοσοφίας οἱ ἐν κοινῷ κείμενοι νόμοι· τῆς δὲ τελεστικῆς φιλοσοφίας, τὰ τῶν πόλεων ἱερά. Καὶ ἔστι τὸ μὲν ἀκρότατον τῆς ὅλης φιλοσοφίας ὁ θεωρητικὸς νοῦς· μέσον δὲ, ὁ πολιτικός· καὶ τρίτον, ὁ τελεστικός· τοῦ μὲν πρώτου πρὸς τὰ δύο τὴν ὀφθαλμοῦ ἀναλογίαν ἀποσώζοντος· [h] τῶν δὲ μετ' αὐτὸ πρὸς ἐκεῖνο τὴν [i] χειρὸς καὶ ποδὸς ἀξίαν ἐχόν-

[c] καθαιρουμένη Holst. marg. [d] συνάπτεται] συνήπτετο S. [e] ἡ φιλοσοφία] ἡ om. S. [f] συμπληρούντων om. S. [g] προσεξεῦρε Holst. marg. [h] τῶν δὲ] τὸν δὲ S. [i] χειρὸς] χειρὸν S.

4. πραγματευομένη] Sc. τῇ τῶν ἱερῶν τέχνῃ. Nam illa plane est, quam Hierocles versari dicit περὶ τὴν τοῦ αὐγοειδοῦς κάθαρσιν. Male igitur lectum in editt. prioribus πραγματευομένη, sc. φιλοσοφία. Cum philosophiæ munus tantum sit ἡ τῆς λογικῆς ψυχῆς κάθαρσις, ut sæpe dixit. Hic itaque coire vult philosophiam ψυχῆς καθαρτικὴν cum ἱερᾷ τέχνῃ περὶ τὴν τοῦ αὐγοειδοῦς σώματος κάθαρσιν πραγματευομένῃ, ut ex iis conjunctis totius hominis (sc. ψυχῆς καὶ συμφυοῦς σώματος) fiat purgatio. ASHT..

5. δύναμιν ἔχουσαν εὑρήσεις] Ita G. [et S.] ἔχουσαν in prius editis defuit.

17. φιλοσοφίας] Hoc omittitur in G.; atque abesse quidem potest satis commode, quia præcessit in linea antecedente. ASHT. Habet S.

των· πρὸς ἄλληλα δὲ πάντων συντεταγμένων, ὡς ἀτελὲς εἶναι ὁτιοῦν τούτων, καὶ ἐγγὺς μάταιον, μὴ τῆς τῶν λοιπῶν [k] συνεργίας τυγχάνον. Διὸ εἰς μίαν ἕνωσιν συνελθεῖν δεῖ τὴν τῆς ἀληθείας εὑρετικὴν ἐπιστήμην, καὶ [l] τὴν ἀρετῆς προβλητικὴν δύναμιν, [m] καὶ τὴν καθαρότητος ἀπεργαστικήν, ἵνα σύμφωνον τῷ ἡγουμένῳ νῷ τὸ πολιτικὸν ἔργον ἀποτελῆται, [226] καὶ τούτοις ἀμφοτέροις ὁμολογούμενον τὸ ἱερὸν ἔργον ἀποφαίνηται. Τοῦτο τῆς Πυθαγορικῆς [n] ἀγωγῆς τὸ πέρας, ὅλους δι' ὅλων ὑποπτέρους γενέσθαι πρὸς τὴν τῶν θείων ἀγαθῶν μετάληψιν, ἵν' ὅταν ὁ τοῦ θανάτου καιρὸς ἐνστῇ, [310] καταλιπόντες ἐπὶ γῆς τὸ θνητὸν σῶμα, καὶ τὴν τούτου φύσιν ἀποδυσάμενοι, πρὸς τὴν οὐρανίαν πορείαν ὦσιν εὔζωνοι οἱ τῶν φιλοσοφίας ἀγώνων ἀθληταί· τότε γὰρ καὶ τὴν ἀρχαίαν αὐτοῖς ἀποδίδοσθαι στάσιν, καὶ θεοποιεῖσθαι, ὅσον οἷόν τε ἀνθρώποις [o] Θεοῖς γενέσθαι, μηνύει ὁ λόγος διὰ τῶν ἑξῆς.

XXVII. 70, 71.

Ἦν δ' ἀπολείψας σῶμ' εἰς αἰθέρ' ἐλεύθερον ἔλθῃς,
ἔσσεαι ἀθάνατος θεὸς, ἄμβροτος, οὐκ ἔτι θνητός.

[k] συνεργίας S. Holst. marg.
[l] τῆς ἀρετῆς] τὴν ἀρετῆς S.
[m] καὶ τῆς καθ.
[n] ἀγωγῆς] ἀρετῆς S. cum ἀγωγῆς in marg. p. m.
[o] Θεοὺς] Θεοῖς S.

4. προβλητικὴν] Nulla hic codicum variatio apparet; at si conjectare mihi liceat, omnino malim ποιητικὴν, quia per hanc δύναμιν vult plane φιλοσοφίαν πρακτικὴν, quam in proœmio dixit esse ἀρετῆς ποιητικὴν, adeo ut vix dubitari possit, quin de eadem re hic loquens eodem verbo usus sit, præsertim cum non tam loco aptum sit illud προβλητικήν; philosophia enim non προβάλλει, i. e. *emittit*, virtutem, sed eam operando ποιεῖ, *efficit*; atque ideo hoc πολιτικὸν ἔργον, seu πρακτικὸν, mox vocat. ASHT.

14. ὅσον οἷόν τε—] Idem fere dixerat superius. Respicit autem ad Platonis verba de Repub. 10. pag. 613. εἰς ὅσον δυνατὸν ἀνθρώπῳ ὁμοιοῦσθαι θεῷ. ASHT.

18. εἰς αἰθέρ' ἐλεύθερον ἔλθῃς] Seneca ad Polybium c. 28. *Ne invideris fratri tuo: quiescit tandem tutus, tandem æternus est. Fruitur nunc aperto et libero cœlo: ex humili et depresso in eum emicuit locum, quisquis ille est, qui solutas*

Τοῦτο πέρας τῶν πόνων τὸ κάλλιστον. Τοῦτο, [p] ὡς Πλάτων φησὶν, ὁ μέγας ἀγὼν, καὶ ἐλπὶς ἡ μεγάλη· τοῦτο φιλοσοφίας ὁ [q] τελειότατος σκοπὸς, τοῦτο τῆς [r] ἱερατικῆς καὶ τελεστικῆς [s] τέχνης τὸ μέγιστον ἔργον, οἰκειῶσαι

[p] ὡς Πλάτων] ὡς habet S. [q] τελεώτατος] τελειότατος S. [r] ἐρωτικῆς] leg. ἱερατικῆς. Vid. p. 305. (=174, 7.) HOLST. [s] ἔργον τέχνης τὸ μέγιστον] τέχνης τὸ μ. ἔργον S.

vinculis animas beato recipit sinu. Nec aliter oraculum Apollinis Milesii, cujus etiam Lactantius meminit, de Anima Piorum: Ψυχὴ μὲν μέχρι οὗ δεσμοῖς πρὸς σῶμα κρατεῖται Φθαρτὰ νοοῦσα πάθη, θνηταῖς ἀλγηδόσιν εἶκει. Ἡνίκα δ' ἀνάλυσιν βροτέην μετὰ σῶμα μαρανθὲν Ὠκίστην εὕρηται, ἐς αἰθέρα πᾶσα φορεῖται Αἰὲν ἀγήραος οὖσα, μένει δ' εἰς πάμπαν ἀτειρής. Et Iarchas apud Philostratum de Vita Apoll. Tyan. p. 142. τὰ τοῦ ἀέρος ἕλκοντα, θνητὰ πάντα· τὰ δὲ τοῦ αἰθέρος ἀθάνατά τε καὶ θεῖα. NEEDHAM.

1. Τοῦτο, ὡς Πλάτων φησὶν,] G. nobis suppeditavit illud ὡς, quod defuit in editt. prioribus. Platonis vero verba in Phædone sect. 46. p. 114. ed. Cant. sunt hæc, καλὸν γὰρ τὸ ἆθλον, καὶ ἡ ἐλπὶς μεγάλη. ASHT.

3. καρπὸς] G. [et S.] pro καρπὸς habent σκοπός. Et sic quidem habet ipse Hierocles in proœmio, ubi dicit τῆς Πυθαγορικῆς φιλοσοφίας τὸν τελειότατον σκοπὸν esse πρὸς τὴν θείαν ὁμοίωσιν ἀνάγειν, et in fine commentarii, σκοπὸς ὁμοιωθῆναι τῷ θεῷ. Sed et alibi habet καρπὸς, nec mutato opus est. ASHT.

ib. ἱερατικῆς] Edidit Curter. ἐρωτικῆς. [et sic S.] Quod cum loco ineptum et absonum plane esset, et ipsa sententia poscere videretur ἱερατικῆς, ita editori Cant. legendum dictavit Bentleius; idque nos retinendum duximus, non solum ob dictantis in hac re acumen, sed ob ipsius rei evidentiam; cum in præcedentibus id unice egerit Hierocles, ut doceret, τὴν τοῦ αὐγοειδοῦς σώματος κάθαρσιν et ἀναγωγὴν non aliter fieri posse, quam διὰ τῶν ἱερῶν μεθόδων, et secundum τὰς τῶν ἱερῶν τέχνας, et τοὺς τῶν ἱερῶν θεσμοὺς, seu, ut alibi vocat, ἱερατικοὺς θεσμοὺς, nempe, per ritus θεουργικοὺς, qui partim τελεστικοὶ, partim ἱερατικοὶ sunt; atque adeo junctim sæpe reperiuntur, et συνωνύμως etiam sæpe usurpantur: et sic plane Hierocles id, quod supra vocavit τὸ ἱερὸν ἔργον, explicatius hic ἱερατικῆς καὶ τελεστικῆς ἔργον τέχνης appellat. Ita et Iamblichus τὴν ἱερατικὴν, et τὰ ἱερὰ ἔργα, idem facit, pag. 102, 103. ed. Galæ. Adde, quod Hierocles superius eodem fere, quo hic, modo conjunxit καθαρμοὺς τελεστικοὺς et ἱερατικὴν ἀναγωγήν; atque sicut ille hic dicit, τοῦτο τῆς ἱερατικῆς—ἔργον—, ἀναγαγεῖν πρὸς τὰ ὄντως καλὰ, ita et Iamblichus dicit τὴν ἱερατικὴν καὶ θεουργικὴν esse θύραν πρὸς τὸν δημιουργὸν τῶν ὅλων, et ad eum προσάγειν et συνάπτειν τὴν ψυχὴν—καὶ τοῦτο (inquit) τέλος ἐστὶ τῆς παρ' Αἰγυπτίοις ἱερατικῆς ἀναγωγῆς. Ib. p. 177. Hanc autem ἱερατικὴν ἀναγωγὴν, sive τὴν ἁγιστείαν τὴν ἐν ἱεροῖς, Pythagoras ab Ægyptiis didicit, ut dicit Isocrates

μὲν καὶ ἀναγαγεῖν πρὸς τὰ ὄντως καλὰ, ἀπολῦσαι δὲ τῶν τῇδε πόνων, ὡς ἔκ τινος καταγείου σπηλαίου τῆς ἐνύλου ζωῆς, καὶ ἀναγαγεῖν πρὸς τὰς αἰθερίους αὐγὰς, καὶ [t]ταῖς μακάρων ἐνιδρῦσαι νήσοις, τοὺς διὰ τῶν προειρημένων ὁδεύσαντας. Τούτοις γὰρ καὶ τὸ τῆς ἀποθεώσεως ἀπόκειται γέρας· ἐπειδὴ εἰς [v]Θεῶν γένος οὐ θέμις ἀφικνεῖσθαι ἄλλῳ, ἢ τῷ κτησαμένῳ ἀλήθειαν μὲν καὶ ἀρετὴν ἐν ψυχῇ, καθα-
[313] ρότητα δὲ ἐν τῷ πνευματικῷ αὐτῆς ὀχήματι. Οὕτω γὰρ ὑγιής τις καὶ ὁλόκληρος γενόμενος εἰς τὸ τῆς ἀρχαίας ἕξεως εἶδος ἀποκαθίσταται, διὰ τῆς πρὸς τὸν ὀρθὸν λόγον ἑνώσεως ἀπολαβὼν ἑαυτὸν, καὶ πάντα τὸν θεῖον κόσμον ἀναγνωρίσας, [228]
καὶ τὸν δημιουργὸν [w]τοῦδε τοῦ παντὸς, [κατὰ τὸ δυνατὸν

[t] τ. τῶν μακάρων Holst. marg. [v] γένος Θεῶν] Θεῶν γένος S. Holst. marg. [w] τουδὶ] τοῦδε S. qui om. κατὰ τ. δ. ἀνθρώπῳ. Habet M. 2. ap. Holst.

in Busiride; vel etiam a Zabrato (i. e. Zoroastre) ut putat L.Holst. in not. ad Porphyr. Vit. Pythag. sect. 12. ed. Kuster. ASHT.

1. ἀπολῦσαι δὲ τῶν τῇδε πόνων] Ita quidem supra p. 156, 10. τῶν τῇδε ἐλευθεροῦται πόνων. et p. 161, 12. σωτηρία ἀπὸ τῶν τῇδε πόνων. Bentleius autem malit hic τῶν τῇδε τόπων, ut conveniat cum σπηλαίῳ, et opponatur αἰθερίοις αὐγαῖς et μακάρων νήσοις, quæ continuo sequuntur. Hanc conjecturam astruit Hierocles p. 157, 2. ἐκ τῶν τῇδε τόπων, ὥσπερ ἐκ δεσμωτηρίων, ἐλευθερούμενοι. Et iterum p. 173, 5. καὶ τοῦ μὲν τῆς γενέσεως καὶ φθορᾶς τόπου ἐξαναδῦναι, πρὸς δὲ τὸ Ἡλύσιον πεδίον καὶ αἰθέρα τὸν ἐλεύθερον μετοικήσασθαι. Perplacet quidem hæc castigatio, sed nil mutare ausus sum, cum mss. taceant et textum firmet Aurispa: *atque a laboribus hujus terrenæ vitæ, tanquam ab aliqua subterranea spelunca liberantur.* Vid. Porphyr. de Ant. Nymph. p. 109, 10. ed. Rom. 1630. NEEDHAM.

6. ἐπειδὴ] G. [et S.] ἐπεὶ edd.

9. ὑγιής τε καὶ —] Sic G. pro ὑγιής τις in prius editis [et S.] Atque ita habet Hierocles in proœmio, etsi paulo aliter exstant verba ap. ipsum Platonem in Timæ. p. 44. sc. ὁλόκληρος ὑγιής τε—. ASHT.

12. κατὰ τὸ δυνατὸν ἀνθρώπῳ] Dicit hic editor Cant. se *totum hunc locum, mendo fœdatum, et ingenti lacuna hiantem, restituisse.* At mendum illud erat plane typographicum, sc. δημιουργικὸν pro δημιουργὸν (sic enim vertit Curter., *opificem* i. e. δημιουργὸν) hæc igitur erat lectio Curteriana, τὸν δημιουργὸν τουδὶ τοῦ παντὸς ἐξευρὼν, quæ proba et satis sana est. Sed *lacunam*, inquit, explevimus. Scilicet, ubi nulla erat. Addidit, fateor, e MS. Med. hæc verba, κατὰ τὸ δύνατὸν ἀνθρώπῳ, quæ tamen salvo sensu

